ἢ εἰς μέρ(ος). καὶ περὶ τοῦ παραθεμένου εἰς τὸ ἀναλαβεῖν μετὰ θάνατ(όν) σου ἢ θάνατον αὐτοῦ, πῶς δύναται κινεῖν πρὸ τοῦ θανάτου σου. περὶ τοίνυν πολλῶν ὄντων κληρονόμων καὶ ἑνὸς ἐναγομένου, ὕστερον δὲ αὐτῶν ἐναγομένων, πῶς οὐ δύναται χρήσασθαι τῇ παραγραφῇ, ζήτ(ει) βι. να' τί. β' κε. κα' (= 20) οὗ ἡ ἀρχή Ἐὰν καθ' ἑνὸς τῶν κληρονόμων ἡ περὶ παραθ(ήκης) ἀγωγὴ κινηθῇ. καὶ περὶ κληρονόμ(ου) ἀγνοοῦντος παρατεθειμένον εἶναι τὸ πρᾶγμα ἢ κεχρημένον καὶ πωλή(σαν)τ(ος) τὸ τοιοῦτον. (2) Καὶ ἐὰν ἀπῄτ(ησε) τὴν τιμὴν ἢ ἥττονος, ἤπερ ἐχρῆν, ἐπώλ(ησε). (3) Καὶ εἰ δυνάμενος τὸ πρᾶγμα λαβεῖν οὐ βούλ(ε)τ(αι) ἢ λαβὼν ἀπὸ οἱουδήτινος τρόπου οὐκ ἀποδίδω(σι). (4) Καὶ [περὶ] τοῦ νομίζοντος εἶναι κληρονόμ(ον) καὶ πωλήσαντ(ος) ἐν τῷ νομίζειν αὐτὸν εἶναι κληρονό(μον). (5) Καὶ ὅτι ἡ ἀντεναγωγὴ τῆς παραθ(ήκης) ἁρμό(ζει) τῷ τὴν παραθ(ήκην) δεξαμένῳ καὶ οὐκ ἐπιδέχεται τὸν ἔνδικον ὅρκον. (6) Καὶ ὁ μεσεγγυητ(ὴς) μὴ φέρων τὸ πρᾶγμα ἐνάγετ(αι). ἔχει δὲ διαστίξεις περὶ μεσεγγυητῶν διαφόρους. (7) Καὶ ἐὰν μεσεγγυητὴς τὸν ὃν ἔλαβε δοῦλ(ον) δεδεμένον, λύ(ει) οἰκτειρήσας, πῶς δόλ(ῳ) ὑπόκειται. καὶ ὅτι ἐπὶ τῆς παραθήκης ὁ δόλος διαβαίνει κατὰ κληρονόμων, ἐπὶ δὲ τῶν λοιπῶν ἀγωγῶν εἰς μόνον τὸ περιελθὸν ἀπὸ δόλ(ου) τοῦ διαθεμένου ὁ κληρονόμος

7 σκεβρίον Ed. : cf. Ducangii gloss. s. v. σκεβρίον

23-24 παραθεμένον

ἐνάγεται. καὶ ὅτι ἐὰν δημοσίᾳ τραπεζίτ(ης) ἐκστῇ τῶν ἰδίων, ἐν τῇ διαπρά(σει) τῶν πραγμάτων προτιμῶνται καὶ τῶν ἐχόντων προνόμιον οἱ παραθέμενοι αὐτῷ πράγματα οὐκ ἐπὶ τόκῳ οὔτε μετὰ τὸ παραθέσθαι λαβόντες. (11) Καὶ περὶ δούλ(ου) παραθεμένου μοι σκεῦος, πῶς δύναμαι ἀντιδιδόναι αὐτῷ τὸ τοιοῦτον, ἔνθα μή ἐστιν ἀμελείας ὑπόνοια, κἂν κλέψας ὁ δοῦλος ἀγνοοῦντί μοι παρέθετο. (12) Καὶ περὶ τοῦ ἐὰν ἐν Ἀσίᾳ παράθωμαι καὶ συμφωνήσω λαβεῖν ἐν Ῥώμῃ, τὰς δαπ(ά)ν(ας) ἐγὼ ποιῶ. καὶ ὅτι, ἔνθα ἐστὶ τὸ δεπόσιτον, ἀποδίδοται, ὁπουδήποτε παρετέθ(η), τὸ αὐτὸ καὶ ἐπὶ πασῶν τῶν καλῇ πίστει ἀγωγῶν. εἰ δὲ ἰδίῳ κινδύνῳ ὁ ἐνάγων θελήσει καὶ δαπαν(ήμασιν) ἰδίοις ἐνεχθῆναι, ἀκούεται. τὸ αὐτὸ καὶ ἐπὶ τῆς περὶ ἀποκρυβέντων πραγμάτων ἀγωγῆς. καὶ περὶ τοῦ, ὥσπερ τὸ ἐξ ἐπερωτ(ήσεως) ἢ ἐκ διαθήκης χρεωστούμενον μετὰ προκάταρξιν τῷ ἐναγομένῳ ἀπόλλυτ(αι), οὕτω καὶ τῷ τὴν παραθ(ήκην) δεξαμένῳ, εἰ δυνάμενος ἐν τῇ προκατάρξει ἀποδοῦναι οὐκ ἀπέδωκ(εν). (13) Καὶ ὅτι ἐπὶ ταύτης τῆς παραθ(ήκης) χώρα τῇ περὶ κλοπῆς μετὰ τὸ πλημμεληθῆ(ναι) δόλ(ον). (14) Καὶ ὅτι ἡ παρὰ τοῦ διαθεμένου δοθ(εῖσά) μοι παραθ(ήκη) γρά(π)τ(ει) πολλοὺς κληρονόμ(ους) καὶ τῶν μὲν ὑπεισελθόντων τὴν κληρονομ(ίαν), τῶν δὲ διασκεπτομένων, δίδοται ὑπεισελθ(οῦ)σ(ιν) ἀσφαλ(είας) πρός με γενομένης. τὸ δὲ μεῖζον μέρ(ος) τῶν κληρονόμων οὐκ ἐκ τῶν προσώπων, ἀλλ' ἐκ τοῦ ποσοῦ τῶν κληρονομιαίων μερῶν. καὶ περὶ τοῦ ἐὰν εἴτε ὁ τὴν παραθ(ήκην) λαβὼν εἴτε ὁ κληρονόμ(ος) αὐτοῦ ἐναχθῇ καὶ φυσικ(ῶς) τὸ πρᾶγμα πρὸ ψήφου φθαρῇ, ἐλευθεροῦται. (16) Καὶ ἐὰν τὸ παρατεθέν μοι παράθωμαί σοι καὶ ποιήσῃς δόλ(ον), ἐνέχομαι εἰς τὸ ἐκχωρῆ(σαι) τὰς ἀγωγὰς τὰς κατὰ σοῦ. (17) Καὶ περὶ πολλῶν παραθεμένων δοκοῦντ(ος) ἑνὸς ἑκάστου εἰς ὁλόκληρ(ον) παρατίθεσθαι, τοὐναντίον δὲ ἐπὶ πολλῶν πρᾶγμα κοινὸν παραθεμένων. καὶ ὅτι ἡ δεσποτ(εία) καὶ νομὴ τοῦ παραθεμένου μένει πλὴν τοῦ μεσεγγυωμένου. ἐκεῖ γὰρ ὁ μεσεγγυητ(ὴς) νέμεται. (18) Καὶ περὶ τοῦ λαβόντος παραθήκην ἀπὸ θορύβου ἢ ἐμπρησμοῦ ἢ καταπτώσεως ἢ ναυαγίου, πῶς διηνεκῶς καὶ εἰς ὁλόκληρον καὶ εἰς τὸ διπλοῦν ἐνάγεται. ἀπὸ δὲ δόλ(ου) αὐτοῦ καὶ οἱ κληρονόμ(οι) αὐτοῦ κατὰ τὰ κληρονομιαῖα μέρη καὶ εἰς τὸ ἁπλοῦν καὶ ἐντὸς ἐνιαυτοῦ. (19) Καὶ περὶ τοῦ τὸν ὑπεξούσιον τὴν περὶ παραθ(ήκης) ἀγωγὴν | κινεῖν. (20) Καὶ περὶ τοῦ ἀδόλως ἀπολέσαντ(ος) 48v τὴν παραθ(ήκην). (21) Καὶ περὶ ὑπεξουσίου λαβόντος παραθ(ήκην) καὶ αὐτεξουσίου γενομένου ἢ ἐλευθερωθέντος κατέχοντος ταύτην, πῶς τῇ περὶ πεκουλ(ίου) ὁ πατὴρ οὐκ ἐναγεται, ἀλλ' ὁ υἱός

1-2 *ἐν τῇ διαδόσει* Ed. | 4 capp. 8-10 Edit. desunt in Tip. | 22 cap. 15 item

4 *λαβών* | 8 *ὁπουδήποτε εἰ π.* | 18 *διασκεπομένων*

καὶ ὁ ἐλευθερωθεὶς δοῦλ(ος). (22) Καὶ περὶ δύο κληρονόμων μου δέκα νομίσματα παρατεθέντα μοι κατὰ δόλον ἀνὰ πέντε μερισάντων ἢ σκεῦος χωνευσάντων παρατεθὲν ἢ εἰ ἕτερον εἶδος ἀφανίσουσι. (24) Καὶ περὶ τοῦ συμφωνήσαντος τὰ παρατεθέντα μοι δοῦναι ἢ μὴ τὰ αὐτά, ἀλλὰ τοσαῦτα, πότ(ε) κινεῖται ἡ περὶ παραθ(ήκης) ἀγωγὴ καὶ πότ(ε) τόκος ἀπαιτεῖται. (25) Καὶ περὶ τοῦ ἐὰν ἐν τῷ καιρῷ τῆς μνηστείας τῆς αὐτεξουσίου μου θυγατρὸς ἢ μετὰ ταῦτα ὑποδέξωμαι τὰ προσενεχθέντα αὐτῇ παρὰ τοῦ μνηστῆρος, ποίαις ἀγωγαῖς ἐνέχεται ὁ κληρονόμος μου μετὰ τελευτήν μου. καὶ περὶ τοῦ ἐὰν ἀσφράγιστα χρήματα παρατεθέντα μοι, ἐφ' ᾧ τοσαῦτα ἀποδοῦναι, δαπανήσω εἰς χρείαν μου. (26,2). Καὶ ὅτι καὶ τόκος ἐκ συμφωνίας ἀπαιτεῖται (26,3) καὶ περὶ τοῦ γρά(ψαν)τ(ος) ἔχειν με παραθ(ήκην) αὐτοῦ κἀκεῖνο(ν) ἐμήν, τί δεῖ γενέσθαι ἀπὸ τῆς ἐπιστολῆς καὶ ποῖο(ς) δείκνυ(σι). (28) Καὶ ὅτι ὁ ἐκ τῶν παρατεθέντων αὐτῷ λαβὼν τόκ(ον) ἢ συγχρησάμενος τοῖς παρατεθεῖσι δίδω(σι) τόκ(ον). (29) Καὶ περὶ τοῦ λαβόντος ἄργυρον ἢ σάκκον ἐσφραγισμένον παρ' ἐμοῦ καὶ χρησαμένου αὐτοῖς παρὰ γνώμην μου, ποίαις ἀγωγαῖς ὑπόκειται. (31) Καὶ περὶ τοῦ ὑποπεσόντος κεφαλικῷ ἐγκλήματ(ι) καὶ παραθεμένου μοι, πῶς τῷ δημο(σίῳ) ὀφείλ(ω) δοῦναι τὴν παραθ(ήκην). καὶ περὶ λῃστοῦ ἢ κλέπτου παραθεμένου, εἰ ἀπαιτ(εῖ) τὴν παραθ(ήκην) ὁ δεσπότ(ης) ἢ μή, τίνι ὀφείλ(ει) καταβάλλεσθαι. καὶ ἐὰν ὡς ἀλλότρ(ια) παράθωνται ταῦτα ὅ τε κλέπτης καὶ ὁ λῃστὴς ἢ ὡς ἴδια. (32) Καὶ ὅτι ὁ μὴ τῆς παρα(θήκης) ἐπιμελούμενος ὡς τῶν ἰδίων δόλ(ον) πλημμελεῖ. (33) Καὶ περὶ δούλ(ου) σου μετ' ἐμοῦ χρήματα μεσεγγυητ(ῇ) παραθεμένου, σὺ ἔχεις τὴν περὶ παραθ(ήκης) καὶ τὴν τὸ ἴδιον ἀπαιτοῦσαν. (34) Καὶ περὶ τοῦ μὴ ἀνασχομένου δοῦναι τὴν παραθ(ήκην), ἕως οὗ λάβῃ νομίσματα. (35) Καὶ ὅτι ἡ τυχηρὰ περίστασις οὐ κινδυνεύεται τῷ λαβόντι τὴν παρα(θήκην), μόνον γὰρ δόλ(ον) καὶ μεγάλην ἀμέλειαν ἀπαιτεῖται. καὶ εἰ ὁ κληρονόμος τοῦ παραθηκαρ(ίου) τὴν παραθ(ήκην) κρύπτει ἢ ἐπαύσατο δόλ(ῳ) νέμεσθαι, ποίαις ἀγωγαῖς ὑπόκεινται. (36) Καὶ πότε ἐπὶ τῆς παραθ(ήκης) καὶ ἐπὶ τῶν ἄλλων καλῇ πίστει ἀγωγῶν οἱ τόκοι τρέχουσι. (37) Καὶ ὅτι ὁ δυνάμενος διὰ τῆς περὶ παραθ(ήκης) ἀγωγῆς τόκ(ον) ἀπαιτῆσαι καὶ μόνου τοῦ κε(φαλαίου) μνημονεύσας οὐ δύναται μετὰ καταδίκην ἰδιαζόντως κινῆσαι περὶ τῶν τόκων. (38) Καὶ περὶ τοῦ ἐὰν μεσεγγυηθ(ῇ) συμβόλαιον μερικῆς ἤδη καταβολῆς γενομένης, ἐφ ᾧ, εἰ καταβληθῇ τὸ ὑπό-

---

3 capp. 23, 26,1, 27, 30 Editionis desunt in Tipuc.

1-2 δέκα ii | 2 παρατεθέντων | 25 λάβῃ ii

λοιπον, δοθῆναι αὐτὸ τῷ χρεώστῃ, πῶς δύναται ἐκεῖνος καταβαλὼν κινεῖν κατὰ τοῦ μεσεγγυητ(οῦ). (39) *Καὶ περὶ δεξαμένου χάρτ(ην) διαλύ(σεώς) τινων τυχὸν διαλυθέντων καὶ μεσεγγυησάντων τὸν χάρτ(ην) διά τινας αἱρέ(σεις).* (40) *Καὶ περὶ τοῦ λαβόντος παραθ(ήκην) καὶ παραθεμένου αὐτὴν ἑτέρῳ ἐγγράφως.* (41) *Καὶ περὶ τοῦ λαβόντος ἐπὶ παραθήκ(ῃ) νομίσματα καὶ δανείσαντος ταῦτα ὀνόματ(ι) ἰδίῳ ἢ ἑτέρου τινός, τί γίνεται.* (42) *Καὶ περὶ κληρονομιαίου δούλ(ου) παραθεμένου.* (43) *Καὶ ὅτι ὁ μὴ ἀποκαθιστῶν τὴν παραθ(ήκην) ἐναγόμενος ὀνόματι ἰδίῳ καὶ καταδικαζόμενος ἀτιμοῦται.* (44) *Καὶ ὅτι ἡ περὶ παραθ(ήκης) ἀγωγὴ ἀντελλόγῳ οὐχ ὑπόκειται, ὁ δὲ ἀντ(ι)λέγων ἔχειν ἑτέραν ἀγωγὴν μετὰ τὴν ἀποκατάστασιν τῆς παραθ(ήκης) ἐν ἑτέρῳ δικαστηρίῳ κινείτω ταύτην.* (45) *Καὶ περὶ τοῦ ἐάν [τις] παράθῃ μοι χρυσόν, ἄργυρον ἢ | βώλου σταθμὸν* 49r *καὶ γρά(ψῃ) πολλοὺς κληρονόμ(ους) καὶ οἱ μὲν λάβωσι τὸ λάχος αὐτῶν, εἷς δ' ὑπέρθηται ἢ τυχηρῶς ἐμποδισθῇ λαβεῖν καὶ μετὰ ταῦτα ὁ τὴν παραθ(ήκην) λαβὼν εἰς ἐναντ(ίαν) ἔπε(σε) τύχην ἢ χωρὶς δόλ(ου) τὴν παραθ(ήκην) ἀπώλε(σέ) σοι, μὴ ἔχειν ἐξουσίαν κατὰ τῶν κληρονόμων τὸν μὴ λαβόντα χωρεῖν.* (46) *Καὶ ὅτι ὁ παραθ(ήκην) λαβὼν ἐπί τισιν ὅροις πληρουμένων τῶν δοξάντων, ἀποκαθιστάσθω αὐτὴν μὴ κωλυόμενος ἀφ' οἱουδήπ(ο)τ(ε) ὥστε αὐτὴν διδόναι, ἀλλὰ καὶ ὁ παραγγέλλων αὐτ(ῷ) μὴ ἀποκαταστῆσαι ὑποκείσθω τοῖς συμβησομένοις κατὰ τύχην τοῖς παρατεθεῖ(σι) πράγμασι καὶ ἀπαιτείσθω τοὺς ἀπὸ τριεκατοστῆς τόκους, κἂν μὴ χρυ(σὸς) εἴη τὸ παρατεθέν. καὶ περὶ τῶν γενομένων ἀλόγως παραγγελιῶν ἐν ταῖς παραθήκαις καὶ διαμαρτυρουμένων πρὸς τοὺς ἐνοίκους. περὶ τῆς παρακατασχέσεως τοῦ ἐποίκου καὶ σιτηρ(εσίων) καὶ ἀννό(νων) ζήτ(ει) ἐναντίον βι. ιθ' τί. γ' τὸ τέλ(ος). Περὶ παραθ(ήκης) ζήτει βι. β' τί. γ' κε. κγ' οὗ ἡ ἀρχὴ Ἔσθ' ὅτε δόλ(ος) μόνος. καὶ κε. με' οὗ ἡ ἀρχὴ Οὔτε ἐνέχυρον. καὶ βι. νβ' τί. α' κε. α' τὸ τε(λευταῖον) θέ.* (= in medio ultimo themate) *οὗ ἡ ἀρχὴ Καὶ ὁ παραθήκην λαβών. καὶ βι. κ' τί. δ' κε. ιζ' οὗ ἡ ἀρχὴ Ἐὰν παράσχω σοι οἴκη(σ)ιν. καὶ θέ. α', β', δ'. καὶ βι. κβ' τί. α' κε. λδ' οὗ ἡ ἀρχὴ Ἔχων μοι ἐν παρακαταθήκῃ. καὶ κε. λς'* (= 35) *οὗ ἡ ἀρχή. Ὁ τοῦ γραμμ(α)τ(είου) κίνδυνος. καὶ βι. κς' τί. ε'. κε. λε' οὗ ἡ ἀρχὴ Ἐὰν ὁ δοῦλ(ός) μου ἐκ τοῦ πεκουλ(ίου) αὐτοῦ. καὶ κε. οη' οὗ ἡ ἀρχὴ Ἐὰν ἀγνοοῦντ(ός) μου. καὶ βι. λ' τί. α' κε. ξ' οὗ ἡ ἀρχὴ Ἡ δι(ά)τ(αξις) πᾶσα κάλλιστα ἐκτίθεται νόμιμ(ον). καὶ τοῦ νγ' βι. τί. α' κε. ιβ' θε'. α' οὗ ἡ ἀρχὴ Εἰ μὲν γὰρ πλοῖον ὅλον μισθώ(σῃ) ὁ ναύκληρ(ος). καὶ βι. ξ' τί. ιβ' κε. ιδ' θέ. α'* (= 2) *οὗ ἡ ἀρχὴ Ὁ μισθωτὸς ἔχει. καὶ κε. ξβ'* (= 61) *θέ. α' οὗ ἡ ἀρχὴ Ἐὰν ὁ ἐνεχυριασθείς. καὶ τί. μα' κε. α' καὶ τελευταῖον. καὶ τί. ς' κε. λς' οὗ ἡ ἀρχὴ Ὁ πλαστὸς προκουρ(ά)τ(ω)ρ.*

---

33 initium citatum desideratur in libri 30, tit. 1 (unici) cap. 60 Editionis et Suppl. | 34 libri 53 tit. 1 cap. 12 deest in Ed. et in Suppl.

5-6 *παραθήκ(η) ii* | 19 *παραγγέλων* | 25 *ζήτει ..: τέ(λος)* in margine cum signo ÷ ad *παραγγελιῶν* lineae 22-23 spectante | 37 *ἐνεχυρεασθείς*

ΒΙ(ΒΛΙΟΝ) ΙΔ'. ΤΙ(ΤΛΟΣ) α'.

Περὶ ἐντολῶν ἐπιτιθεμένων τισὶ καὶ τῶν ἀγωγῶν τῶν κινουμένων παρ' ἀμφοτ(έ)ρων αὐτῶν κατ' ἀλλήλων.

(1) *Καὶ ποίοις τρόποις καὶ διὰ τίνων συνίσταται ἡ ἐντολή, καὶ ὅτι κατὰ χάριν δεῖ εἶναι.* (2) *Καὶ πότε ὁ ἐντειλάμενος ἐνέχεται καὶ πότε ὁ ἐνταλθείς. καὶ ἐὰν ὀνόμ(α)τ(ι) ἐμῷ καὶ σῷ καὶ ἐμῷ ἢ σῷ καὶ ἑτέρ(ου) ἐντέλλε(ται). καὶ ἐφ' οἷς ἐνέχομαι ἢ μή.* (3) *Καὶ ὅτι κρείττονα τὴν αἵρε(σιν) τοῦ ἐνταλθέ(ν)τ(ος) ὁ ἐντειλάμενος δύναται ποιεῖν. καὶ ἐὰν ἐντείλωμαί σοι ἀγορά(σαι) πρᾶγμα μὴ προσθεὶς τὸ τίμημα* (4) *ἢ εἶπον ν' νομίσματα, ποίας ἔχομεν κατ' ἀλλήλων ἀγωγ(άς).* (5) *Καὶ ὅτι τοὺς ὅρους τῆς ἐντολῆς οὐ δεῖ ὑπερβαίνειν. καὶ ἐὰν ἐντείλωμαί σοι ἀγορά(σαι) μοι τὸν Πέτρου οἶκον ρ' νομισμάτων καὶ πωλή(σης) ἐνενή(κον)τ(α).* (6) *Καὶ ὁ ἐνταλθ(εὶς) διοικῆ(σαι) τῇ περὶ ἐντολῆς ἐνάγεται. καὶ περὶ τοῦ ἐὰν ἀνάσχωμαι σε ὑπὲρ ἐμοῦ ἐγγυήσασθαι ἢ ἄλλως παρεμβαλεῖν τῇ περὶ ἐντολ(ῆς) ἐνέχομαι. καὶ ὅτι ἐπὶ αἰσχρῷ πράγμ(α)τ(ι) ἐντολὴ οὐ συνίσταται. καὶ περὶ τοῦ ἐὰν ἐντείλωμαί σοι ὑπὲρ ἑτέρου πρᾶξαι ἢ ὑπὲρ σοῦ μόνου. καὶ περὶ διοικητ(οῦ) ἰδικ(οῦ) καὶ γε(νικοῦ) ἐπιτραπέντ(ος) δανεῖσαι οἰκείῳ κινδύνῳ καὶ δήλους παρασχεῖν μοι τόκ(ους), πῶς ἐνέχεταί μοι, εἰ πλείους δυνηθ(ῇ) λαβεῖν τόκους καὶ κερδᾶναι. καὶ περὶ τοῦ ἐάν τις τὴν ἐπὶ τοῖς κεκριμένοις ἐκπλήρω(σιν) ὑπέλθ(ῃ) ὑπὲρ ἑτέρου, συμφωνήσας δῆλον ποσὸν λαβεῖν ἐξ ἀποτελέσματ(ος) τῆς δίκης ἐπ' ὀνόμ(α)τ(ι) ἑτέρ(ου), πῶς οὐκ ἔχει ἀπαίτη(σιν), ἀλλὰ καὶ συνηγορίας εἴργεται. εἰ δὲ ὁ ἐπὶ δόσει παρεμβαλὼν συνεφώνησεν οἰκείῳ κινδύνῳ | ὁμολογῆ(σαι), οὐκ ἔχ(ει) τὴν περὶ προτροπῆς ἀγωγήν, ἐφ' οἷς κατε-* 49v
κρίθ(η). καὶ πότε ἔχει τὴν οὐτιλίαν. (7) *Καὶ ὅτι τὸ ὁρισθὲν τῷ διοικητ(ῇ) τῆς δίκης ὀψώνιον ἐξτραορδίνως ἀπαιτεῖτ(αι) καὶ πότε ὀφείλ(ει) δοθῆναι.* (8) *Ἐνάγετ(αι) ταύτ(ῃ) καὶ ὁ διοικητ(ὴς) μὴ ἀποδιδοὺς τὰ δικαιώμ(α)τ(α) τῆς δίκης. καὶ ἐὰν κατὰ προδοσίαν τοῦ διοικητ(οῦ) τῆς δίκης ἀπολυθῇ ὁ ἀντίδικός μου, ταύτ(ῃ) ἐνέχεται, εἰ εὐπορεῖ, εἰ δ' οὖν, τῇ περὶ δόλ(ου). καὶ ἐάν, ἐφ' οἷς ἐνταλθ(ῶ) διοικῆ(σαι), ἐντείλωμαί σοι αὐτά διοικῆ(σαι), κατὰ σοῦ τὴν περὶ ἐντολ(ῆς) ἔχω, ἐγὼ δὲ ἐνέχομαι διὰ τὸ ἔχειν σε ἔνοχον. καὶ ἐὰν ἐπίτροποι ἐντείλωνται τῷ συνεπιτρόπῳ δοῦλ(ον) ἀγορά(σαι) τῷ*

---

9 *ὁ ἐνταλθεὶς δύναται* | *ἐντείλεται* | 10 *ν' ii* | 12 *ρ' ii* | 15 *παρεμβάλαι* | 20 *κεκρυμμένοις* (cf. Dig. XVII, 1, 6,6 : judicatum) | 28 *ἀπολυθεῖ*

ἀνήβῳ εἴτε ἐπιζήμ(ιον) εἴτε ἀναγκαῖον καὶ μὴ ἀγορασθῇ, διάστιξιν ἀνά(γνωθι) ἀναγκαίον. καὶ περὶ τοῦ ἐὰν ἐλεύθερος καλῇ πίστει δουλεύων σοι παράσχῃ μοι χρήμ(α)τ(α) ἐκ τοῦ ἁρμόζοντ(ος) αὐτῷ πεκουλ(ίου), ἵνα παράσχω σοι ὑπὲρ τοῦ ἀγορά(σαι) με καὶ ἐλευθερῶ(σαι) αὐτόν, πότ(ε) δίδοται κατ' ἐμοῦ ἡ περὶ ἐντολ(ῆς) ἢ οὔ. Καὶ περὶ τοῦ, πότε ἁρμόζει ἡ περὶ ἐντολῆς ἀγωγὴ καὶ τίσιν. καὶ περὶ ἐγγυητ(οῦ) καταβαλόντος ἐν τῷ ἠγνοηκέναι καταβαλεῖν τὸν χρεώστην ἢ ἐλευθερωθῆ(ναι) δι' ἀποχῆς ἢ συμφών(ου), πῶς οὐχ ὑπόκειτ(αι) τῇ περὶ ἐντολῆς, ὥσπερ καί, ὅτε ἐναχθεὶς εἰς πλέον τοῦ χρέους ἐν ἀγνοίᾳ καταδικασθ(ῇ) καὶ μὴ ἐγκαλέσηται, συγγινώσκεται. εἰ γὰρ ᾔδει μὴ τοσοῦτον εἶναι τὸ χρέος καὶ οὐκ ἐξεκαλέσατο, ἐκβάλλεται παραγρα(φῇ), εἰ μὴ ἄρα διὰ πενίαν οὐκ ἐξεκαλέσατο ἢ διεμαρτύρατ(ο) τὸν χρεώστην ἐκκαλέσασθαι. καὶ περὶ τοῦ ἐὰν κατὰ ἐν ολήν μου ἀγορά(σ)ας δοῦλ(ον), ἀναγκά(ζῃ) μοι αὐτὸν παραδοῦναι, εἰ δὲ χωρὶς δόλ(ου) σου καὶ ῥαθυμίας ἔφυγεν, οὐκ ἐνέχῃ, εἰ μὴ ἐπὶ τῷ ἀσφαλίσασθαί με, ὡς ἐὰν ἐντὸς αὐτοῦ γένῃ, ἀποκαθιστᾶς μοι αὐτόν. εἰ δὲ οὐκ ἠγόρα(σ)ας, ἀλλὰ διὰ κέρδος ἢ φιλ(ίαν) ἕτερον ἀγορά(σαι) συνεχώρησας, ἐνέχῃ μοι τῇ περὶ ἐντολῆς. (10) Τὸ αὐτὸ καὶ περὶ ἀγροῦ. καὶ περὶ τοῦ, ὅτι ὁ διοικητ(ής) μου τῶν ὄντων παρ' αὐτῷ χρημάτων δίδω(σι) τόκ(ους) ἀπὸ ὑπερθέ(σ)εως καὶ οὓς ἔλα(βε) δανείσας, κἂν μὴ ἐνετειλάμην αὐτῷ. καὶ ἀπὸ συγχρή(σεως) δίδω(σι) τῶν χρημάτων καὶ ἐκ συγχρή(σεως) τοῦ τόκ(ου) τόκ(ους) δίδω(σι). καὶ ὅτι τὸν δανειακὸν ἔχω, ἐὰν ἐντείλωμαί σοι δανείσασθαι παρὰ τῶν διοικητῶν μου. καὶ περὶ τοῦ ἐὰν ἐντείλῃ τῷ διοικητ(ῇ) σου δανείσασθαι καὶ ἐγγυησάμενος αὐτὸν καταδικασθῶ, ποίαν ἀγωγὴν κατὰ σοῦ ἔχω. καὶ περὶ τοῦ ἐὰν ἐντείλωμαί σοι ἐπερωτῆ(σαι) Πέτρον. καὶ περὶ μητρὸς παρασχούσης ὑπὲρ θυγατρ(ὸς) προῖκα καὶ μετὰ τὴν ἐπίδ(οσιν) ἐπερωτησάσης τὴν ταύτης ἀνάληψιν συναινέ(σει) τῆς θυγατρ(ός), πῶς ὑπόκειται τῇ περὶ ἐντολ(ῆς). καὶ ὅτι, εἰ εἴπω τότε ἐρρῶσθαι τὰ παρὰ τῶν διοικητῶν μου καὶ τῶν δούλων μου γινόμενα, ὅτε παρεντιθεμένου Πέτρου γένωνται, οὐκ ἐστι Πέτρος διοικητ(ὴς) οὔτε ἐνέχεται ἐπὶ τοῖς γινομένοις, εἰ μὴ ἀπὸ μόνου δόλ(ου), ᾗ καὶ ὑπόκειται. καὶ περὶ τοῦ ἐὰν χωρὶς τόκ(ου) ἐντείλωμαι τῷ διοικητῇ μου δανεῖσαί σοι, ὁ δὲ ἐπὶ τόκ(ῳ) δανείσῃ, δίδω(σί) μοι καὶ τὸν τόκ(ον), εἰ μὴ κινδύνῳ αὐτοῦ ἐδάνεισε. καὶ ὅτι ἀντελλογισμοὺς ἡ περὶ ἐντολ(ῆς) ἀγωγὴ δέχεται, καὶ περὶ τοῦ ἐὰν ὁ διοικητ(ής) μου μὴ ἐνταλθ(εὶς) ποιήσῃ μὴ ἀναγκαῖον δαπάνημα καὶ μὴ λογίζωμαι τὴν δαπάνην. καὶ περὶ ἐγγυητ(οῦ) ἐξ οἰκείου προσώπου παραλιπόντ(ος) παραγρα(φήν), ᾗ ὁ ἐναγό-

17 cap. 9 Editionis deest in Tipuc. 27-28 τοῦ διοικητοῦ..: γενόμενα Ed.

6 καταβαλλόντος | 9 ἐκκαλέσεται | 14 ἀσφαλ. μοι | 21-22 περὶ τῶν διοικ., ut cod. Coisl. Basil. | 34 λογίζομαι

μενος οὐκ ἠδύνατο χρήσασθαι, ἢ ἠδύνατο χρήσασθαι. καὶ περὶ τοῦ ἐὰν ὡς ἐπ' ἀντιδώρῳ ἀποχῆς ὁ ἐγγυητ(ὴς) τύχ(οι) παρὰ τοῦ δανειστοῦ καὶ μάλιστα, ἐὰν αἰτ(ίᾳ) θαν(ά)τ(ου) αὐτοῦ γέγο(νεν) ἢ ἐληγατεύθ(η). (11) *Καὶ πότ(ε) ὁ ἐγγυητὴς τοῦ δανειστοῦ κληρονομῶν κινεῖ κατὰ τοῦ χρεώστου.* (12) *Καὶ ὅτι, εἰ μὴ ἐπ' ἀντιδώρῳ, ἀλλ' ἁπλῶς δωρούμενος τῷ ἐγγυητ(ῇ) ὁ δανειστὴς παρεχώρη(σεν), οὐκ ἔχει τὴν περὶ ἐντολ(ῆς) ἀγωγ(ήν). καὶ περὶ τοῦ ἐάν τις καταβάλλ(ῃ) ὡς τῷ ἐγγυητ(ῇ) δωρούμενος, καὶ εἰ δοῦλ(ος) ἦν ἢ υἱὸς ὁ τοιοῦτος | ἐγγυητής, καί τις ὡς δωρούμενος αὐτοῖς καταβάλλῃ,* (50r) *πῶς ὁ πατὴρ οὐκ ἔχει τὴν περὶ ἐντολ(ῆς), ἀλλ' ὅτι ὁ δοῦλ(ος) ἐγγυησάμενος καταβάλλ(ει). καὶ ὅτι υἱοῦ ἐγγυησαμένου, εἰ μὴ κατὰ κέλευσιν τοῦ πατρὸς ἠγγυήσατ(ο), οὐκ ἔχει ὁ πατὴρ τὴν περὶ ἐντολῆς, εἰ μὴ πολλάκις ὁ υἱὸς κέκτηται πεκούλ(ιον). καὶ περὶ τοῦ εἰ υἱὸς καταβάλλ(ει) κατὰ κέλευσίν μου, ὁ πατὴρ ἔχει τὴν περὶ ἐντολ(ῆς). εἰ δὲ αὐτεξούσιος ὁ υἱὸς γεγονὼς καταβάλλ(ει), ἔχει ἰμφακτ(ούμ). καὶ περὶ τοῦ ἐὰν μετὰ τὴν αὐτεξουσιότ(η)τ(α) ὁ πατὴρ καταβάλλ(ῃ). καὶ περὶ τοῦ ἐὰν ἀγορά(σας) ἀγρὸν παρασχὼν μερικὸν τίμημα ἐντειλάμενος παραδοθῆ(ναι) αὐτὸν τῷ ἀπελευθέρῳ μου παρασχόντι τὸ ὑπόλοιπον τίμημα καὶ τούτ(ου) γινομένου πωλή(σω) τὸν ἀγρὸν συναινοῦντος κἀκείνου, τί δεῖ γενέσθαι ἐπὶ τῷ καταβληθέ(ν)τ(ι) παρ' αὐτοῦ μερικοῦ τοῦ ἀγροῦ τιμήμ(α)τ(ι). καὶ περὶ τοῦ ἐὰν κατὰ ἐντολήν σου ἀγορά(σω) πρᾶγμα, κἂν μὴ θέλ(ῃς) τὸ ἀγορασθέν, πῶς, εἴ τι ἐδαπ(ά)ν(ησα), διὰ τῆς περὶ ἐντολ(ῆς) ἀπαιτῶ καὶ τόκ(ον). καὶ πότε καὶ πρὸ ὑπερθέ(σ)εως ἀπαιτῶ τόκ(ον). καὶ περὶ τοῦ ἐὰν δώ(σω) σοι νομίσματα καταβαλεῖν τῷ δανειστῇ μου καὶ οὐ καταβάλ(ῃς) καὶ περὶ τῶν τόκων αὐτῶν. καὶ περὶ τοῦ ἐν εἰδή(σει) κατὰ ἐντολὴν ἀσώτ(ου) νέου ἐγγυησαμένου ὑπὲρ αὐτοῦ πόρνην, πῶς οὐκ ἔχεις τὴν περὶ ἐντολ(ῆς). καὶ περὶ τοῦ ἐὰν δι' ἐπιστολ(ῆς) παράθωμαί σοί τινα τῶν ἐμῶν φίλων καὶ δαπανήσῃς, οὐχ ὑπόκειμαι τῇ περὶ ἐντολῆς. καὶ περὶ τοῦ ἐὰν ἐντείλωμαί σοι δανεῖσαι ὑπεξουσίῳ, πότ(ε) ἐνέχομαι καὶ πότε οὔ. καὶ περὶ τοῦ ἐὰν μετὰ τὸ δανεῖσαί σε ἐντείλωμαί σοι δανεῖσαι ἢ τῷ κινδύνῳ μου δοῦναι προθεσμίαν τῷ χρεώστῃ, πότε ἐνέχομαι ἢ μή. καὶ περὶ ἐπιτρόπου πανθέ(ν)τ(ος), ἐντειλαμένου δὲ καταδέξασθαι ἢ δοκιμά(σαι) τὰ δανεισθέ(ν)τ(α) παρ' αὐτοῦ. καὶ περὶ τοῦ ἐὰν ἐντείλωμαι ἀπαιτ(ῆσαί) σε χρέος, εἶτα κωλύσω σε καὶ δέξωμαι τὸ παρὰ σοῦ ἀπαιτηθ(έν). καὶ περὶ τοῦ ἐὰν ἐντείλωμαί σοι μετὰ θάνατόν μου ποιῆσαι μνημεῖον ἢ ἀγρὸν ἀγορά(σαι) τοῖς κληρονόμ(οις) μου.* (15) *Καὶ περὶ τοῦ ἐὰν ἀγνοῶν πράξῃς τὸ κωλυθ(έν).* (16) *Καὶ περὶ τοῦ ἐὰν ἐντείλωμαί*

---

26 *τῶν ἐμῶν φίλων* deest in Ed. | 3 capp. 13 et 14 Editionis desunt in Tipuc.

---

14 *ἴμφακτ(ουμ)* | 22 *ἀπαιτεῖ καὶ τ.* | *(σω) σοι ii* | 23 *καταβάλλ(ῃς)* | 25 *ἔχει*

σοι ἐπὶ σωτηρίᾳ μού τι ποιῆσαι ἐν τοῖς οἰκήμα(σί) σου, τυχὸν κτίσμα(σι), πῶς ἔχεις τὴν περὶ ἐντολ(ῆς) καὶ πῶς γίνεται λόγος δαπ(ά)ν(ης) καὶ ὑπεξαίρε(σ)ις τοῦ· εἰς ὅσον ὁ οἶκος σου τιμιώτ(ε)ρ(ος) ἐγένετο. (17) Καὶ περὶ τοῦ ἐὰν ἐντείλωμαί σοι ἀπαιτ(ῆσαι), εἶτα πρὸ τοῦ ἀπαιτῆ(σαί) σε κινή(σω) τὴν περὶ ἐντολ(ῆς) καὶ πρὸ ψήφου ἀπαιτήσῃς. (18) Καὶ περὶ τοῦ ἐὰν ἀνάσχωμαί σου ἐντελλομένου δανεισθῆ(ναί) μοι. (19) Καὶ ἐὰν μετὰ ἐντολ(ὴν) τοῦ δούλ(ου) μου ἀγοράσῃς αὐτόν. (20) Καὶ τί δεῖ ποιεῖν τὸν ἐνταλθ(έν)τ(α). καὶ περὶ τοῦ ἐγγυησαμ(έ)ν(ου) χωρὶς ἐντολ(ῆς) ὑπὲρ τοῦ ἀπόντ(ος), πῶς τὴν περὶ διοική(σεως) ἔχει. (21) Καὶ περὶ τοῦ ἐὰν ἕτερος ἐντείληταί μοι ἐγγυήσασθαι ἢ ὁμολογῆσαι ὑπὲρ σοῦ, πότε οὐκ ἔχω κατὰ σοῦ καὶ πότε ἔχω τὴν περὶ ἐντολ(ῆς). (22) Καὶ περὶ τοῦ ἐὰν ἐντείλωμαί σοι ὑπὸ ἡμέρ(αν) ἐγγυήσασθαι καὶ χωρὶς αἱρέ(σ)εως ἐγγυήσῃ καὶ καταβάλ(ῃς). καὶ περὶ τοῦ ἐὰν χρεώστης μου κινδύνῳ αὐτοῦ μεταθήσει μοι τὸν ἴδιον χρεώστην ἢ κατὰ παράκλησιν τοῦ ἐγγυητ(οῦ) ἐνάγω τῷ ὑπευθύνῳ. καὶ περὶ τοῦ ἐὰν τῶν δανειστῶν πωλούντων τὰ ἐνέχυρά μου, ὑποβάλλω τινὰς ἀγορά(σαι) μοι αὐτά. καὶ περὶ τοῦ ἐντειλαμένου ἑνὶ τῶν κληρονόμων ἀγορά(σαι) μοι πρᾶγμα κληρονομιαῖον, πῶς οὐκ ἔχομεν κατ' ἀλλήλων. καὶ περὶ δημευθέντος ἐντελλομένου τινὶ ἀγορά(σαι) τὰ αὐτοῦ παρὰ τοῦ δημο(σίου). καὶ ὅτι αἱ αἰσχραὶ ἐντολ(αὶ) οὐ συνίστανται. καὶ περὶ τοῦ ἐὰν δώσω σοι νομίσματα ἐπὶ τῷ δοῦναι Πέτρῳ καὶ δαπανήσ(ῃς) αὐτά, ποίας ἀγωγὰς ἔχω. καὶ περὶ τοῦ ἐὰν χρεωστῶν σοι ἐντείλωμαι τῷ δούλ(ῳ) σου καταβαλεῖν ὑπὲρ ἐμοῦ. καὶ περὶ τοῦ ἐὰν ὁ φυγάς μου δοῦλ(ος), ὢν παρὰ τῷ κλέπτῃ, δοῦλον ἀγορά(σῃ). καὶ περὶ τοῦ ἐὰν δοθεὶς κουράτ(ω)ρ ἐπὶ διαπρά(σει) πραγμάτων τὰς τιμὰς τῶν πραθέντων μὴ καταβάλ(ῃ) τοῖς δανεισταῖς, ποίαις
ἀγωγ(αῖς ὑπό|κειται τοῖς παρουσι δανεισταῖς ἢ τοῖς ἀποῦσι. καὶ εἰ κατ' 50v
ἐντολ(ὴν) τῶν παρόντων ἐπώλη(σεν). καὶ ὅτι ἔξεστι μὴ ὑποδέχεσθαι τὴν ἐντολ(ήν), ὑποδεξάμενος δὲ ὀφείλ(ει) πληρῶ(σαι), εἰ μὴ εὐκαίρως ἀπαγορεύσε. (23, 24, 25) Καὶ εἰ ἠρρώστη(σεν) ἢ κεφαλ(ικὴν) ἔχθραν ἔσχεν ἢ ἀνίσχυρ(ος) ἡ ἀγωγή ἐστιν ἢ δίκαιον ἕτερον προβάλλεται. (26) Λύεται ἐντολὴ θανάτ(ῳ) τῆς ἐνοχῆς ἔσθ' ὅτε μενούσης. καὶ περὶ τοῦ εἰ τὸν θάνατον ἀγνοῶν πληρώ(σει) τὸ ἐνταλθ(έν). καὶ περὶ τοῦ εἰ ἐντείλωμαι καταβαλεῖν Πέτρῳ καὶ καταβάλ(ῃ) ἐμοῦ ἀποθανόντος καὶ σοῦ ἀγνοοῦντος. καὶ περὶ τοῦ μετατιθέντος ἐγγυητ(οῦ) ἴδιον χρεώστην τῷ δανειστῇ, πῶς καταβεβληκέναι δοκεῖ, κἂν ἄπορος ἦν ὁ μετατεθείς. καὶ περὶ τοῦ ἐὰν θέλων δωρήσασθαι τῷ ἐγγυησαμένῳ σοι ἐλευθερώσω σε χρεωστοῦντά μοι. καὶ ὅτι ὁ ἐγγυητὴς

---

12 καταβάλλ(ῃς) | 13 ad μοι in margine: ζήτει καὶ τοῦ κς' βι. τί. δ' | 18 ἀγορᾶ(σαι) τὰ παρ' αὐτοῦ π. τ. δημ. | 19-20 δώσω σοι ii | 24 καταβάλλ(ῃ) | 31 ἐντείλομαι | 32 καταβάλλ(ῃ)

πλέον οὐδὲν, ὧν κατέβαλ(ε), λαμβά(νει). καὶ περὶ ἐγγυητοῦ καταβαλόντ(ος) ἀληθ(εῖ) διοικητ(ῇ) ἢ μὴ ἀληθ(εῖ) διοικητ(ῇ). καὶ ὅτι ὁ ἐνταλθεὶς οὐκ ἀπαιτεῖ ἅπερ ἐληστεύθη ἢ ναυα(γίῳ) ἀπώλεσεν ἢ περὶ τὴν ἰδίαν καὶ τῶν ἰδίων νόσον ἐδαπάνησε. καὶ περὶ τοῦ ἐὰν δοῦλ(ος), ὃν κατ' ἐντολήν μου ἠγόρα(σ)ας, κλέψῃ παρὰ σοῦ ἄνευ κακίας σου. καὶ περὶ τεχνίτ(ου) κατ' ἐντολ(ήν) μου δοῦλ(ον) ἀγοράσαντ(ος) δέκα νομισμάτων καὶ παιδεύσαντ(ος) αὐτὸν καὶ πωλήσαντος κ' νομισμάτων καὶ τοῦ δούλ(ου) μὴ ὄντος ὑγιοῦς ἀντιστρεφομένου. καὶ εἰ κατὰ κέλευσίν μου ἐδίδαξεν αὐτόν, ἀνά(γνωθι) διαστίξεις. (27) Καὶ περὶ τοῦ ἐὰν ἐντείλωμαι χρεώστη[ν] σου ἐλευθερῶσαι. καὶ περὶ τοῦ ἐὰν παράσχω σοι δοῦλ(ον) ἐπὶ τῷ ἐλευθερῶσαι αὐτὸν μετὰ θάνατόν μου. καὶ περὶ τοῦ μὴ δυναμένου πληρῶ(σαι) τὸ ἐνταλθ(έν), ἵνα, ὅτε δυνηθ(ῇ), λέ(γῃ) τοῦτο τῷ ἐντειλαμένῳ, εἰ δ' οὖν, ἐνέχεσθαι αὐτὸν εἰς τὸ διαφέρον, ὁ δὲ μὴ δυνηθ(εὶς) συγγινώσκεται. λύεται ἡ ἐντολὴ τελευτῶντος καὶ τοῦ ἐνταλθ(έν)τ(ος). καὶ ὅτι τὰ καλ(ῇ) πίστει δαπανήμ(α)τ(α) δίδονται παρὰ τοῦ ἐντειλαμένου, εἰ καὶ αὐτὸς ἧττον ἠδύνατο δαπανῆ(σαι). καὶ περὶ τοῦ ἐντειλαμένου μοι δανεῖσαί σοι, εἰ δανείσω σοι, πῶς οὐ καταδικάζεταί μοι, εἰ μὴ ἐκχωρηθ(ῇ) τὰς κατὰ σοῦ ἀγωγ(άς). εἰ δὲ ἐναγ γω σοι, τί γίνεται. (28) Καὶ περὶ ἐντειλαμένου καὶ καταβαλόντος, πότε ἐλευθεροῖ τὸν ἐναγόμενον ἢ μή. (29) Καὶ περὶ ἐγγυητ(οῦ) μὴ ἀντιτιθέντ(ος) παραγρα(φὴν) ἁρμόζουσαν τῷ ἐναγομένῳ, τυχὸν τῆς ἀναργυρίας ἢ συμφώνου, καὶ καταβάλ(ῃ). καὶ ὅτι ἡ μεγάλ(η) ἀμέλεια τοῦ ἐγγυητ(οῦ) πλησιάζει δόλῳ. καὶ ἐὰν ἀγνοήσας ὁ ἐγγυητ(ὴς) ὡς οὐκ ἰσχυρῶς ἐνέχεται, καταβάλ(ῃ), ἀνά(γνωθι) διαστίξεις. καὶ ἐὰν ὁ ἐγγυητ(ὴς) παραλίπ(ῃ) προκουράτ(ω)ρ(ος) παραγραφήν. καὶ περὶ δανειστοῦ μὴ ἀριθμήσαντος καὶ λαβόντος ἢ δεύτερον λαβόντος ἢ κατὰ ψῆφον λαβόντος. καὶ περὶ τοῦ ἐὰν τῷ χρό(νῳ) μόνος ὁ ἐγγυητ(ὴς) ἐλευθερωθ(εὶς) καταβάλ(ῃ). (30) Καὶ περὶ τοῦ ἐὰν παράσχω σοι δοῦλ(ον) ἐπὶ τῷ ἐλευθερῶ(σαι) καὶ κωλυθεὶς ὑπὸ τοῦ κουράτ(ω)ρ(ός) μου ἠλευθέρω(σ)ας αὐτόν. (31) Καὶ ἐὰν χρεωστήσῃς μοι ἀπὸ ἀγωγῆς εἴσω μὲν ἐνιαυτ(οῦ) τὴν καταδίκην ἐχούσης εἰς τὸ τετραπλοῦν, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν καὶ ἐντείλωμαί σοι διοικῆ(σαι) τὰ πράγματά μου. (32) Καὶ περὶ τοῦ ἐὰν ἐντείλωμαί σοι κινδύνῳ μου κληρονομῆ(σαι) τὴν ἁρμόζουσάν μοι κληρονομίαν ἢ παραιτήσασθαι τὸ ληγατευθ(έν). καὶ ὅτι, ἐφ' ὧν συναλλαγμάτων ὁ διδόμενος ἐγγυητ(ὴς) ἐνέχεται, ἐπὶ τῶν αὐτῶν ὁ ἐντελλόμενος ὑπόκειται τῇ περὶ ἐντολ(ῆς). (33) Καὶ περὶ ἐνταλθέντος

---

1 καταβαλλόντος | 6 δέκα ii | 7 κ' ii | 9 χρεώστη | 18 περὶ ἐνταλθ(έν)τ(ος) C., sicut Cod. Coisl. Basilicorum ; cf. Dig. XVII, 1, 28 : ... mandatorem debitoris solventem... | 18 καταβαλλόν^τ | 20-21 καταβάλλ(η) | 22 καταβάλλ(η) | 25 μόνῳ ; cf. Dig. XVII, 1, 29,6 :... si solus tempore liberatus... | 26 καταβάλλ(η) | 28 χρεωστήσῃς μου | 32 παρατίσασθαι

ἐγγυήσασθαι εἰς ρ' νομίσματα καὶ εἰς ἧττον ἢ πλέον ἐγγυησαμένου. (34) Καὶ περὶ τοῦ, ὅτι, ἐὰν ἐντείλωμαί σοι διοικεῖν τὰ πράγματά μου καὶ ἀπαιτ(ήσῃς) χρεώστας καὶ γρά(ψῃς) μοι, τοῦτο τὸ ποσὸν ἔχειν ἐν δανείῳ ἐπὶ τοιῷδε τόκῳ, οὐκ ἔχει χώραν ὁ δανειακός, ἀλλ' ἡ περὶ ἐντολῆς. ἀνά(γνωθι) διαστίξεις θαυμασίας. διαστίζει γὰρ τὰ περὶ δανείου | ἀπὸ τῆς ἐντολ(ῆς). 51r καὶ πῶς οὐ συνίσταται δάνειον, εἰ καὶ κινδυνεύεις ἐπὶ τοῖς ἐκ τοῦ ἀργύρου χρήμα(σι). καὶ περὶ τοῦ ἐὰν μερικῷ σοι κληρονόμῳ ὄντι ἐντείλωμαι κληρονομιαῖον ἀγρὸν ἀγορά(σαι), κἂν ἀποθά(νω) πρὶν ἀγορά(σῃς), ἡ περὶ ἐντολ(ῆς) ἁρμόσει ἀπαιτοῦσα ὅσα ἡ περὶ πρά(σεως). (35) Καὶ περὶ τοῦ ἐὰν ἐντείλωμαί σοι τῷ μερικῷ δεσπότ(ῃ) ἀγορά(σαι) μοι τὸν ἀγρόν, πῶς ἀγοράζων τὰ λοιπὰ μέρ(η) ἀναγκάζῃ καὶ τὸ ἴδιον δοῦναί μοι. καὶ εἰ ὥρισα τὴν τιμὴν ἢ μή, τί δεῖ γενέσθαι. (36) Καὶ εἰ ἀγρὸν ἀνὰ μέρος πωλούμενον ἐντείλωμαί σοι ἀγορά(σαι) μοι ἐφ' ᾧ μὴ ἄλλως ἐνέχεσθαί με, εἰ μὴ ὅλον ἀγοράσεις ἢ μὴ συνεφώνησα τοῦτο. (37) Καὶ περὶ τοῦ ἐὰν δῆλον δοῦλ(ον) ἠγγυησάμην ὑπὲρ σοῦ δοῦναι καὶ κατέβαλ(ον), πῶς ἡ τιμὴ τούτου σκοπεῖται, ὅσου ἄξιος ἦν, ὅτε κατέβαλον, οὐ μήν, καθ' ὃν [καιρὸν] ἐνάγω, κἂν ἀπέθανεν ὁ δοῦλος. ἐπὶ δὲ τῆς ἐπερωτή(σεως) τὸ ἐναντίον ὁ τῆς προκατάρξεως σκοπεῖται. (38) Καὶ περὶ τοῦ ἔχοντος οἶκον κοινὸν μετὰ τοῦ φυσικοῦ υἱοῦ αὐτοῦ καὶ ἐπιτρέψαντος αὐτῷ ὑποθέσθαι τὸν οἶκον τῷ δανειστῇ αὐτοῦ, καὶ τοῦ υἱοῦ τελευτήσαντος δικαζομένου τούτου χάριν τοῦ πατρὸς μετὰ τῶν ἐπιτρόπων τοῦ υἱοῦ, ἀνά(γνωθι). ζήτ(ησις) γάρ ἐστι τοῦ συμφώνου τοῦ χρόνου καὶ τοῦ προσώπου τοῦ χρεώστου. (39) Καὶ ὅτι δυνατὸν τὸν δεξάμενον ἐντολ(ὴν) συμφωνεῖν ὥστε κινδυνεύειν αὐτὸν ἐπὶ τῷ πράγμ(α)τ(ι). τὸ αὐτὸ καὶ ἐπὶ παρακαταθήκῃ. (41) Καὶ περὶ τοῦ, πότ(ε) μονοπλεύρως κινεῖται ἡ περὶ ἐντολ(ῆς). (42) Καὶ περὶ τοῦ ἐνταλθέντος πολυπραγμονῆ(σαι) τὴν καταλειφθεῖσάν μοι κληρονομ(ίαν) καὶ εἰπόντος μικρὰν ταύτ(ην) εἶναι καὶ ἀγοράσαντ(ος) καὶ τοῦ εἰπόντος εὔπορον εἶναι τὸν μέλλοντα ἐξ ἐμοῦ δανείζεσθαι ἐνταλθέ(ν)τ(α) τὰ περὶ αὐτοῦ περιεργάζεσθαι. (43) Καὶ περὶ ἐνταλθέντος δανεῖσαι. (44) Καὶ τί ἐστι δόλος ἐπὶ τῇ ἐντολ(ῇ) καὶ ποσαχῶς λέγεται. (45) Καὶ περὶ τοῦ [ὅτι], ἐὰν κατ' ἐντολήν μου ἀγοράσῃς, κινεῖται ἡ περὶ ἐντολ(ῆς) καὶ πρὸ τῆς καταβολῆς τοῦ τιμήματ(ος) καὶ τὰ λοιπά, ἃ διέξεισι τὸ κε(φάλαιον). καὶ περὶ τοῦ, ὅτι κατ' ἐντολήν μου ἐναχθεὶς οὐ δύνασαι ἐναγαγεῖν μοι χωρὶς αἰτ(ίας) εὐλόγ(ου), ἐφ' ᾧ τὴν δίκην εἰς ἐμὲ μετενεχθῆναι. διοικῶν δὲ τὰ πράγματά μου, ἐὰν ὁμολογήσῃς δανειστῇ μου καὶ πρὶν ἢ καταβάλ(ῃς), δύνασαι τοῦτο ποιεῖν. καὶ περὶ τοῦ ἐὰν ὡμολόγησά σε παριστᾶν εἰς δικαστήρ(ιον) καὶ οὐ παρέστησα ἢ ὑπὲρ σοῦ γέγονα χρεώστης ἢ ἐγὼ μὲν ἐντείλωμαί σοι καταβαλεῖν τῷ δανειστῇ μου, σὺ

24 cap. 40 Editionis deest in Tipuc.

1 ρ' *ii* | πλεῖον | 2-3 ἀπαιτ͡ | 6 κινδυνεύει | 15 κατέβαλλ(ον)

δὲ ὁμολογήσῃς καὶ καταδικασθ(ῇς). καὶ ὅτι, κἂν πολυπλασιασθῇ τὸ ποσὸν παρὰ τοῦ ἐγγυητοῦ, ὃ ἐνηγγυήσατο δαπανήσας εὐλόγως, δίδοται αὐτῷ. καὶ περὶ τοῦ ἐὰν κινδύνῳ τοῦ χρεώστου μου ἐπερωτ(ήσω) χρεώστην αὐτοῦ, ἀνά(γνωθι) ἑρμηνείαν σοφήν. (46) *Καὶ περὶ τοῦ ὁμολογήσαντ(ος) ρ΄ νομίσματα διδόναι, εἰ μὴ παράσχῃς Πέτρον, ἐγὼ δὲ ἐγγυήσωμαι καὶ ἀγορά(σω) τὸν Πέτρον ἧττονος. καὶ περὶ φανερᾶς ἐντολῆς καὶ ἀφανοῦς, πότε δεῖ τὸν ἐνταλθ(έν)τ(α) καὶ δι᾽ ἑτέρων δόσεων ἐπὶ συμφέροντι τῶν ἐναγομένων πληροῦν αὐτήν.* (47) *Καὶ ὅτι γυνή, ἐὰν ὁμολογήσῃ ἐν προικὶ τῷ ἐγγυητῇ ὅπερ χρεωστεῖ γενομένου τοῦ γάμου, δύναται τὴν περὶ ἐντολ(ῆς) ἀγωγὴν παραχρῆμα κινεῖν ὁ ἐγγυητὴς διὰ τὰ βάρη τοῦ γάμου. καὶ περὶ τοῦ ἐγγυησαμένου παρασχεῖν δοῦλ(ον) καὶ παρασχόντ(ος) ἀλλότριον.* (48) *Καὶ ἐὰν ἔντοκον χρέος ἐγγυήσωμαι καὶ τοῦ ἐναγομένου λέγοντος μὴ εἶναι ἔντοκον, ἐγὼ καταβάλλω. ἢ [εἰ] ἐγὼ παρὰ τοῦ δανειστοῦ ἐνήχθην καὶ παρήγγειλέ μοι ὁ ὑπεύθυνος εἰπεῖν τὸ χρέος ἄτοκον εἶναι κἀγὼ μὴ ἐπειθάρχησα. καὶ περὶ τοῦ ἐὰν ἐντείλωμαί σοι δανεῖσαι ὡς διοικητ(ῇ) μου, ἐφ᾽ ᾧ καὶ τὸ γραμματεῖον δοθῆναί μοι καὶ τὸν κίνδυνον καὶ τὸ κέρδος | ἐμὲ ὁρᾶν, ἢ ᾧτινι* **51v** *θέλεις, δανείσῃς, ἀνά(γνωθι), διαστίξεις γὰρ ἔχ(ει) τινάς, αἷς πρόκειται καὶ τὸ ἀγορά(σαι) μοι ἀγρόν, εἰ θελήσεις.* (49) *Καὶ περὶ τοῦ ἐὰν δοῦλ(όν) σου παρὰ Πέτρου καλῇ πίστει ἀγορά(σω) καὶ ἐντειλαμένου μου πωλήσῃς αὐτὸν ἀγνοῶν σὸν εἶναι, πῶς ἐνέχ(η) τῇ περὶ πρά(σ)εως ἀγωγῇ τῷ ἀγοραστῇ.* (50) *Καὶ περὶ τοῦ ἐὰν ὁ διοικητ(ὴς) τῶν πραγμάτων τοῦ ἐγγυητ(οῦ) καταβάλ(ῃ) τῷ δανειστῇ, ὥστε καὶ αὐτὸν καὶ τὸν ἐναγόμενον ἐλευθερῶ(σαι). καὶ περὶ τοῦ ἐγγυησαμένου σῖτον καὶ καταβαλ(όν)τ(ος) Ἄφρον ἢ πλέον τῆς τιμῆς τοῦ καταβληθέντος πράγματος ἐξ ἀνάγκης τοῦ καταβαλεῖν δαπανήσῃ ἢ δοῦλ(ον) καταβάλ(ῃ) καὶ ἀποθάν(ῃ) ἢ ὀλίγου γένηται τιμήματος νοσήσας ἢ πλημμελήσας.* (51) *Καὶ περὶ τοῦ εἰ κατὰ ἄγνοιαν πρὸ τῆς προθεσμίας καταβάλλ(ει) ὁ ἐγγυητ(ής).* (52) *Καὶ περὶ τοῦ ὁμολογοῦντος σῖτον καὶ μὴ προστιθέντος καλὸν καὶ ἐγγυητοῦ αὐτοῦ. ἀνά(γνωθι), ὡραῖον.* (53) *Καὶ περὶ τοῦ ἐὰν κατ᾽ ἐντολ(ὴν) ἄλλου ἐγγυήσωμαι ὑπὲρ σοῦ παρόντος σου καὶ μὴ ἀντιλέγοντος, πῶς ἔχω κατὰ τῶν δύο τὴν περὶ ἐντολ(ῆς) ἀγωγήν. ἢ εἰ σὺ ἠγνόεις ἢ οὐκ ἤθελες, τί δεῖ γενέσθαι.* (54) *Καὶ περὶ τοῦ ἐὰν δοῦλ(ος) ἐντείληταί μοι ἀγορά(σαι) αὐτόν, πότε συνίσταται ἐντολ(ὴ) καὶ πότε οὔ. καὶ περὶ τοῦ ἐὰν ἐντολ(ῇ) τοῦ καλῇ πίστει δουλεύοντός μοι ἐλευθέρου ἀγορά(σω) αὐτόν.* (55) *Καὶ περὶ προκουράτ(ω)ρ(ος) μὴ ἀποδιδόντος τὰ παραδοθ(έν)τ(α), πῶς ὑπόκειται τῇ μανδάτ(ι).* (56,2) *Καὶ ὅτι ὁ ἐγγυητὴς διὰ τὴν ἡλικίαν τοῦ δανειστοῦ σφραγίσας τὰ χρήματα ἐν τῷ προσαγαγεῖν καὶ ἀποθέμενος αὐτὰ δημο(σίᾳ), παραχρῆμα κινεῖ τὴν περὶ*

---

2 ἐνεγγυήσατο | 4-5 ρ΄ *ii* | 18 ἀγοράσαι με | 22 καταβάλλ(η) | 25 καταβάλλ(η) | 26 καὶ εἰ περὶ τοῦ

ἐντολῆς. καὶ ὅτι τὸ χρεωστούμενον ἐκ τῆς πρώτης διοική(σ)εως εἰς τὴν δευτ(έ)ρ(αν) μεταφέρεται. καὶ περὶ ἀφανοῦς σιτηρεσίου. καὶ ὅτι τὰ καλῇ πίστει δαπανηθέντα λαμβά(νει) ὁ διοικητής, κἂν μὴ δυνηθῇ πληρῶ(σαι) τὴν ἐντολ(ήν). (57) Καὶ περὶ σωματεμπό(ρου) ἐνταλθέντος πωλῆσαι ἀνδράποδον καὶ τοῦ ἐνταλθέντος τελευτήσαντος τῶν κληρονόμων αὐτοῦ πωλησάντων τὸ ἀνδράποδον, πῶς διὰ χρό(νου) κυριεύουσιν οἱ ἀγορασταί, ὁ δὲ σωματέμπορος, πῶς κινεῖ τὴν πουβλικιανήν. (58) Καὶ περὶ τοῦ, εἰ διεκδική(σω) τὸν τελευτήσαντα προηγουμένης ἐντολῆς ἢ μή, ποίας ἀγωγὰς ἔχω κατὰ τῶν κληρονόμων αὐτοῦ, ἀνά(γνωθι), ἔστι γὰρ ὡρ(αῖον). καὶ περὶ τοῦ ἐὰν χρεωστῶν μοι δέδωκ(ας) μανδάτ(ω)ρ(α), καὶ τελευτήσαντός σου κατὰ σύμφωνον τοῦ πλείονος μέρους τῶν δανειστῶν ἐψηφίσθη, ἀρκεσθῆναι αὐτοὺς μοίρᾳ. καὶ εἰ παρήμην ἢ ἀπελιμπανόμην, τί δεῖ γενέσθαι. (59) Καὶ περὶ τοῦ ἐὰν κατὰ μανδάτ(ον) μου ἐπερωτ(ήσῃς) τὸν χρεώστην μου ἐμοῦ μὴ δωρουμένου σοι. καὶ περὶ ἐγγυητ(οῦ) ἀγοράζοντος παρὰ δανειστοῦ τὸ ἐνέχυρον. καὶ πότε ὁ εἷς τῶν δύο ἐντειλαμένων ἐνέχεται καὶ πότε οἱ δύο. καὶ περὶ δανειστοῦ πωλήσ(αν)τ(ος) τὰ ἐνέχυρα, πῶς ἐκνικωμένων οὐ δύναται κινεῖν κατὰ τοῦ μανδάτ(ω)ρ(ος). καὶ περὶ τοῦ ἐὰν ἐντείλωμαί σοι δανεῖσαι Πέτρῳ ὑποσχόμενος τὸ ἀζήμιόν σε ποιεῖν, ἕως οὗ ζῇ, καὶ πολλάκις ὀχληθεὶς οὐκ ἐποίησα τὸ ἱκανόν. καὶ περὶ τοῦ ἐὰν ἐντείλωμαί σοι λαβεῖν ἀσφάλειαν ἀξιόχρε(ων) παρὰ τοῦ χρεώστου καὶ μὴ λάβῃς ἐγγύας ἢ ἐνέχυρον, οὐ πληροῖς τὸ μανδ(ά)τ(ον). (60,2) Καὶ περὶ τοῦ, εἰ μέλλοντί σοι γαμεῖν, ἔγρα(ψα) οὕτως · γίνωσκέ με τὴν κόρην ἀγαπᾶν καὶ κατ' εὐχήν μου συνάπτεσθαί σοι αὐτήν, καὶ εἰ μὴ ἀξιόχρεώς ἐστιν ἡ μήτηρ τῆς κόρης εἰς τὴν ὑπὲρ αὐτῆς ἐπαγγελλομένην προῖκα, ὅμως ἐγὼ διὰ τὴν ἀγάπην σου, ὅπερ ἂν ἐπερωτήσῃς, ὡς ἐμοῦ ἐπιτρέψαντος πληρώ(σει). καὶ ἐὰν δύο τισὶν ἐπιτρέψω διοικῆ(σαι) τὰ πράγματά μου. καὶ περὶ τοῦ ἐὰν ῥητῶς ἢ σιωπηρῶς συνέδοξεν, ὥστε τὸν ἄνδρα | τρέφειν τὴν γυ- **52r**
ναῖκα καὶ τὸν πατέρα αὐτῆς διδόναι τόκον τῆς προικός. καὶ περὶ τοῦ ἐὰν ἐπιτρέψω τῷ ἀδελφόπαιδί μου περὶ πάντων τῶν ἐμῶν, ὡς θέλει, πραγματεύεσθαι, εἴτε πωλῆ(σαι) θέλει εἴτε ὁτιοῦν πράττειν, ἐμοῦ κύρια πάντα τὰ παρὰ σοῦ ἡγουμένου καὶ μὴ πρὸς ἓν ἀντιλέγοντος, ἢ πρὸς μηδεμίαν πρᾶξιν, πῶς τὰ παρ' αὐτοῦ κατὰ ἀπάτην γινόμενα οὐκ ἰσχύει. (61) Καὶ περὶ ὑπεξουσίου ἐνταλθέντος ἀπαιτῆσαι καὶ μετὰ αὐτεξουσιότητ(α) εἰσπραξαμένου. (62) Καὶ ὅτι φιλονεικίαν ἔχων περὶ κλήρου πρὸς τὸν κληρονόμον τὸν γεγραμμένον ἔγρα(ψα) τῷ ἀδελφῷ μου χωρὶς ἐπερωτή(σεως) κοινὸν ἔσεσθαι, ὅπερ ἂν ἐξ ἀποτελέσματος τῆς δίκης σχῶ καὶ λαβών τινα διελυσάμην μετὰ τοῦ γεγραμμένου. καὶ περὶ τοῦ ἐὰν ἐνταλθ(εὶς) ἐγγυήσασθαι ὑπέρ τινος μὴ

25-26 πληρῶ(σαι) cod. et Editio

ἐγγυήσωμαι, ἀλλ' ἐντείλωμαι. (63) Καὶ περὶ διοικητοῦ οἴκοθεν καὶ ἐκ δανείου δαπανήσαντος. (64) Καὶ περὶ ἐγγυησαμένου τινὰ καὶ λαβόντος ἐνέχυρα παρ' αὐτοῦ καὶ ἐναχθέντος καὶ καταβαλόντος καὶ τελευτήσαντ(ος) ἐπὶ υἱῷ κληρονόμῳ. (65) Καὶ ὅτι ἐντειλάμενός τινι δύναται κινῆσαι ἀγωγὴν πρὸ προκατάρξεως ἀνακαλούμενος τὴν ἐντολήν. (67) Καὶ ὁ ἐντολεὺς μὴ αἰτήσας τὴν ἁρμόζουσαν τῷ δεσπότῃ τῶν πραγμάτων διακατοχὴν ἐνάγεται τῇ περὶ ἐντολ(ῆς) ἀγωγ(ῇ). (68) Καὶ περὶ τοῦ ἐγγυησαμένου τινὰ εἰδότα καὶ μὴ [ἀντι]λέγοντ(α). (69) Καὶ δι' ἐπιστολ(ὴν) μανδ(ά)τ(ον) συνίσταται. (70) Καὶ περὶ τοῦ δανείσαντος κατ' ἐντολήν τινος καὶ λαβόντος ἐνέχυρα. (71) Καὶ περὶ διοικητοῦ βλάψαντος τὴν τοῦ δεσπότου δίκην. (72) Καὶ περὶ ἐγγυητοῦ πρὸ καταβολῆς ἢ καταδίκης δυναμένου κινῆσαι ἢ μή. (73) Καὶ πότε ὁ διοικητὴς καὶ ἐπὶ ποίοις δόλ(ον) ἀπαιτ(εῖ)τ(αι). καὶ πότ(ε) ἐγκαλοῦσι περὶ ὧν ἀπήτ(ησεν) ἢ οὐκ ἀπήτ(ησε) καὶ ἀμέλειαν εἰσπράττεται. (74) Καὶ τί δοκεῖ ποιεῖν ὁ τὴν ἐντολ(ὴν) παρεξελθών. (75) Καὶ ὅτι τὰ τυχηρὰ οὐκ ἀπαιτ(εῖ)τ(αι). (76) Καὶ περὶ τοῦ παρὰ δύο ἐνταλθέντ(ος) ἵππους ἀγοράσ(αι) καὶ ἀγοράσαντος καὶ κατὰ κοινὴν γνώμην ἑκατέρων ἑνὶ τούτων αὐτοὺς παραδόντος. (77) Καὶ ὅτι ἡ ἐντολὴ τελευτ(ῶν)τ(ος) τοῦ ἐντειλαμένου σβέννυται. περὶ τοίνυν ἐντολ(έως) μετὰ προκάταρξιν τῆς δίκης τελευτῶντ(ος) τοῦ ἐντειλαμ(έ)ν(ου), ὅτι δεῖ πληρ(οῦν) τὴν δίκην καὶ οὐ παύεται, ζήτ(ει) βι. η' τί. β' τὸ τέλος (=97). (78) Καὶ περὶ ἐντολ(ῆς) ἐπὶ ἀγορα(σίᾳ) φορτίων δοθείσ(ης). (80) Καὶ περὶ τοῦ ὑπέρ τινος ἐντειλαμένου καὶ καταβαλόντ(ος). (81) Καὶ περὶ τοῦ κατὰ ἐντολήν τινος πωλήσαντος πρᾶγμα καὶ τὸ τίμημα λαβόντ(ος), εἴτε ἐπηρωτήθ(η) τόκ(ον) ὑπὲρ τὸν ὡρισμένον, εἴτε ὑπέρθε(σιν) ἐποίησε καὶ μὴ κατέβαλ(ε). (82) Καὶ περὶ τοῦ ἐργολαβήσαντος ἀλλοτρ(ίαν) δίκην καὶ ἀπαιτοῦντος ἐκπληρωθῆ(ναι) τὰ ὑποσχεθέ(ν)τ(α) ἐπὶ ταύτῃ τῇ αἰτ(ίᾳ), πῶς κακῶς ἀπαιτ(εῖ). (84) Καὶ περὶ τοῦ μὴ ἀγοράζειν ἀλλοτρ(ίαν) δίκην ἢ ἐκχωρήσεις γίνεσθαι τῶν ἁρμοζουσῶν δικῶν, εἰ μὴ ἄρα ἡ κληρονομ(ία) ἐστὶ παρὰ συγκληρονόμ(ου) ταύτ(ης) ἐκχωρουμ(έ)ν(η) ἢ ληγατ(ά)ρ(ιος) ἀγωγῇ αὐτ(ῆς) ληγατευθεὶς ἢ δανειστὴς ὑπὲρ τοῦ χρέους ἀγωγὴν λαμβάνων ἢ ὑπὲρ τῆς τῶν ἐνυποτεθειμένων ἀσφαλ(είας) ἐκχωρουμένη ἀγωγ(ὴ) ἢ ἄλλως κατὰ δωρεὰν λαμβάνων τὴν ἐκχώρη(σ)ιν. (86) Εἰ δὲ χρήματ(α) δεδωκώς τις ἀγωγὴν ἐξεχωρήθ(η) ἄχρι μόνης τῆς ποσότ(η)τ(ος) τῆς παρ' αὐτοῦ δοθείσης κινεῖ τὴν ἐκχωρηθεῖσαν αὐτῷ ἀγωγὴν καὶ τῶν τόκων. καὶ εἰ δωρεὰ καθαρὰ γένοιτο ἀγωγῶν, τὴν

5 cap. 66 Editionis desideratur in Tip. | 21 cap. 79 Editionis deest in Tipuc. | 26 cap. 83 item | 32 cap. 85 item

9 ἐντολήν τινα | 21 φόρτων | 24 κατέβαλλ(ε) | 30 ἐνυποζ (θ supra) | 34 τοῖς τόκοις

ἐπὶ ταῖς δωρεαῖς ἐκχώρησιν ἰσχύειν. (87) Καὶ περὶ δούλ(ου) ἐντειλαμένου τινὶ ἀγοράσ(αι) αὐτὸν καὶ ἐλευθερῶ(σαι). Περὶ τοίνυν ἐντόλ(ῆς) καὶ τίνες ἐνέχονται ἢ μὴ ἢ κατὰ τίνων δίδοται καὶ πότε κατὰ πατρὸς υἱοῦ ἐνόχ(ου) γενομένου, ζήτ(ει) βι. β' τί. γ' κε. νη' οὗ ἡ ἀρχὴ Ἀπὸ ποιναλίας αἰτ(ίας). καὶ βι. ζ' τί. ε' κε. νς' οὗ ἡ ἀρχὴ Ὁ ὑπεξούσιος καὶ ἀπὸ συναλλαγμάτων καὶ ἀπὸ ἁμαρτημάτων. καὶ βι. β' τί. γ' κε. ξη' (= 70) οὗ ἡ ἀρχὴ Τὸ δίκαιον, ὅπερ ἔχει τις τιμωρεῖσθαι. καὶ κε. ρν' (= 151) οὗ ἡ ἀρχὴ Οὐδεὶς ποιεῖ τινι ζημίαν. καὶ κε. ρξζ' θέ. α' οὗ ἡ ἀρχὴ Ὁ κελεύσει ἄρχοντος ποιῶν. καὶ κε. ρξδ' | οὗ ἡ ἀρχὴ Κελεύσας με ζημιωθῆ(ναι). καὶ βι. ξ' τί. γ' κε. λζ' 52v οὗ ἡ ἀρχὴ Εἰ ὁ κελεύσας ἔχει ἐξουσίαν ἐπιτάττειν. καὶ βι. ζ' τί. γ' κε. ε' οὗ ἡ ἀρχὴ Ὁ οἰκείῳ δικαίῳ, οὐκ ἀλλοτρ(ίῳ). καὶ κε. ς' καὶ ζ' περὶ τὰ μέσα. καὶ κε. ιβ' (= 13) οὗ ἡ ἀρχὴ Ὁ διδοὺς δικαστὴν ὀφείλ(ει) ἄρχων εἶναι. καὶ κε. ις' οὗ ἡ ἀρχὴ Καὶ μέρος καὶ πᾶσαν δικαιοδοσίαν. καὶ βι. ι' τί. γ' κε. ζ' θε'. ς' οὗ ἡ ἀρχὴ Ἐὰν δοῦλ(ός) μου συμφωνή(σῃ) δοῦναί μοί τι ὑπὲρ τοῦ ἐλευθερωθῆ(ναι). καὶ βι. ιθ' τί. ιβ' κε. α', β'. καὶ βι. κα' τί. β' κε. ια' θέ. τελευταῖ(ον) οὗ ἡ ἀρχὴ Ὁ ὑπεξουσίαν κελεύσει τοῦ πατρὸς ἀγαγόμενος. καὶ βι. κδ' τί. γ' κε. ιβ' οὗ ἡ ἀρχὴ Εἰ μὲν ὡς δωρουμενός τινι δέδωκ(ας). καὶ βι. κε' τι. β' κε. κα' οὗ ἡ ἀρχὴ Ὁ προκουράτ(ω)ρ μου περὶ τῆς ὑποθ(έσεως). καὶ βι. κς' τί. α' κε. ιγ' οὗ ἡ ἀρχὴ Ἐὰν κατ' ἐντολ(ὴν) μου δανείσῃς Πέτρῳ. καὶ κε. οα', θε. γ' οὗ ἡ ἀρχὴ Εἰ καὶ μέλλοντί μοι δανείζειν ἐντείληταί τις καὶ ὅλον τὸν τί(τλον). καὶ τί. ε' κε. ιβ' οὗ ἡ ἀρχὴ Καὶ τῷ ἔχοντ(ι) ἰδικὸν μανδάτ(ον). καὶ κε. λη' θέ. α' οὗ ἡ ἀρχὴ Ἐὰν ἐπιτρέψω τῷ χρεώστῃ μου καὶ κε. ξς' οὗ ἡ ἀρχὴ Ἐὰν ἐπιτρέποντ(ος) τοῦ ἀνήβου. καὶ κε. οθ' οὗ ἡ ἀρχὴ Ἐὰν ὁ χρεωστῶν μοι πρᾶγμα. καὶ κε. πβ' (= 75) θέ. β' περὶ τὸ τέλος οὗ ἡ ἀρχὴ Τῆς περὶ πεκουλ(ίου) ἀγωγῆς κινουμένης. καὶ πς' οὗ ἡ ἀρχὴ Τῷ τῆς δίκης ἐντολ(εῖ), πζ' οὗ ἡ ἀρχὴ Ὁ γενικὸς προκουράτ(ω)ρ καὶ κε. πθ' θέ. α' οὗ ἡ ἀρχὴ Ἐὰν δύο ποσότητας ἐποφειλόμ(ε)νος παρὰ σοῦ. καὶ κε. ϛε' [θε'. η'] οὗ ἡ ἀρχὴ Ἐὰν μανδατοφόρος ἐναχθ(ῇ) καὶ κε. ρε' (= 106) οὗ ἡ ἀρχὴ Ἐὰν ἐπιτρέψω καταβληθῆναί τινι. καὶ κε. ρς' (= 108) θε'. α' οὗ ἡ ἀρχὴ Ἐάν τις κατ' ἐντολ(ήν) μου ἐπερωτ(ήσῃ). καὶ κε. ριη' (= 120) οὗ ἡ ἀρχὴ Ὁ ἄκοντος ἢ ἀγνοοῦντος τοῦ δανειστοῦ. καὶ κε. ριθ' (= 121) οὗ ἡ ἀρχὴ Ὁ ἀπὸ τῆς ἐντολῆς. καὶ κε. ρκθ' (= 130) οὗ ἡ ἀρχὴ Κἂν ἀποχ(ὴν) ἐποίησεν ὁ δανειστής. καὶ τί. ζ' τοῦ αὐτ(οῦ) κς' βι.

7 ἔχει τοῦ τιμ. Ed. | 9 Ὁ κελεύσας ζημ. Ed. | 10 εἰ μὲν κελεύσει τινὸς ἔχοντος ἐξουσίαν ἐπιτάττειν Ed. | 11 οὐκ ἀλλοτρίῳ deest in Ed. | 13 π. τὴν δικαιοδ. Ed. | 14 Ἐὰν ὁ δοῦλός μου Ed. | 16 Ὁ ὑπεξούσιος κελ. τοῦ π... Ed. | 19 ὑποθήκης Ed. | 22 ἰδικὸν σύμφωνον Ed. | 28-29 Ὁ μανδ. ἐναχθεὶς Ed.

12 δικαστής

κε. λζ' οὗ ἡ ἀρχὴ Οἱ τὸν ἐκδικητὸν τοῦ ἀπόντος ἐγγυησάμενοι. καὶ κε. ξγ' θέ. γ' οὗ ἡ ἀρχὴ Ἐὰν γυνὴ διὰ τὸ μὴ αὐτὴ ἀντιφωνῆσαι. καὶ βι. κη' τί. ια' κε. ις' (= 21) θέ. α' οὗ ἡ ἀρχὴ Ἐὰν ὁ δοῦλ(ος) τῆς γυναικὸς διαζυγίου αἰτ(ίᾳ) κατὰ κέλευσιν. Καὶ βι λε' τί. ια' κε. οζ' (= 72) οὗ ἡ ἀρχὴ Ἔγραψέ μέ τις καὶ τὸν ἴδιόν μου κουράτ(ω)ρ(α). καὶ τὸ β' αὐτοῦ θέμα ἀνά(γνωθι). καὶ τί. ιδ' κε. λε' (= 27) οὗ ἡ ἀρχὴ Ὁ κληρονόμος ὑποκαταστὰς τῷ ἰδίῳ συγκληρονόμῳ. καὶ θέ. α' τοῦ αὐτοῦ κε. καὶ τί. ις' τοῦ αὐτοῦ λε' βι. κε. ς' οὗ ἡ ἀρχὴ Εἰ καὶ δῆλός ἐστιν ὁ πλήξας, γίνεται ἡ ἐξέτασις. καὶ βι. μγ' τί. α' κε. α' τὸ τέ(λος) καὶ κε. ρλα' (= 128) οὗ ἡ ἀρχὴ Ἐὰν ἐπερωτήσω σε δοῦναί μοι ἢ Πέτρῳ ἀγρόν. καὶ [βι. μδ'] τί. ζ' κε. ια' οὗ ἡ ἀρχὴ Ἐὰν ἡ γυνή μου δοῦσά μοι προῖκα. καὶ τί. ιε' κε. β' οὗ ἡ ἀρχὴ Ἐνετειλάμην εἰς χρῆ(σιν) ἀγορά(σαι) τῆς γυναικός μου κόσμια. καὶ κε. ε' οὗ ἡ ἀρχὴ Εἰ δὲ καὶ ἐντείλ(η)τ(αί) σοι γυνή. δεῖ δὲ ἀναγνῶναί σε καὶ τὸν ιθ' τί. τοῦ αὐτοῦ μδ' βι. φησὶ γὰρ περὶ αἱρέ(σεων) καὶ δηλώ(σεων) καὶ αἰτιῶν καὶ τρόπου. καὶ ἐπειδὴ ταῖς ἐντολαῖς ἀναγκαῖόν ἐστι παρακολουθῆσαί τι ἐκ τούτων, διὰ τοῦτο καὶ ἀνά(γνωθι) τὸν τοιοῦτον τίτλον δυνάμενον ἐν πολλοῖς ὠφελῆσαί σε. καὶ βι. μζ' τί. α' κε. θ' (=8,2) θέ. α' οὗ ἡ ἀρχὴ Ἐὰν γνώμῃ ἢ κελεύσει μου. καὶ κε. ιθ' (= 17 in fine) θέ. β' οὗ ἡ ἀρχὴ Ἐὰν βουλόμενος Πέτρῳ δωρήσασθαι ἐντείλωμαί σοι. καὶ βι. μη' τί. β' κε. δ' οὗ ἡ ἀρχὴ Εἰ ὁ πατὴρ ἐπιτρέψει τῷ υἱῷ ἐλευθερῶ(σαι). καὶ τί. ις' κε. β' οὗ ἡ ἀρχὴ Ἐάν τις κατὰ ἐντολ(ήν) τινος ἀγορά(σ)ας οἰκέτην. καὶ βι. μθ' τί. ς' κε. ε' (= 4 in fine) οὗ ἡ ἀρχὴ Τὰ αὐτὰ καὶ ἐπὶ παίδων πατρώνων. καὶ κε. ιβ' οὗ ἡ ἀρχὴ Ἐάν τοῦ ἀπελευθέρου πρὸς περιγραφὴν τοῦ πάτρωνος. καὶ βι. ν' τί. α' κε. νς' οὗ ἡ ἀρχὴ Ὃ κατ' ἐπιτροπήν μου ἠγόρα(σ)ας, ὅταν ἐμοὶ παραδῷς. | καὶ τί. β' κε. α' θέ. ιε' τὸ τέ(λος) καὶ θέ. ις' 53r
οὗ ἡ ἀρχὴ Δι' ἐντολ(έως) καὶ κηδεμ(ό)ν(ος). καὶ θέ. ιζ' οὗ ἡ ἀρχὴ Τὸ κελεύσει μου ἑτέρῳ παραδοθ(έν). καὶ κε. κ' (= 19) οὗ ἡ ἀρχὴ Εἰ χρήσω σοι πρᾶγμα καὶ ἢ ἐμοὶ ἢ ᾧ κελεύσω. καὶ βι. να' τί. δ' κε. ε' θέ. ζ' οὗ ἡ ἀρχὴ Ἐὰν δανειστὴς διαλυσάμενος περὶ τοῦ χρέους. καὶ βι. νβ' τί. α' κε. ε' (= 4,1) οὗ ἡ ἀρχὴ Ἐάν τις ἀλλότρι(α) διοική(σῃ) πράγματα, εἰ μὲν κατὰ προτροπὴν τοῦ δεσπότ(ου). καὶ βι. νγ' τί. α' κε. ξγ' (= 25) οὗ ἡ ἀρχὴ Ὁ ἐνταλθεὶς οὐκ ἀπαιτεῖ, ἅπερ, ἐληστεύθ(η). καὶ βι. νη' τί. ι' κε. με' θέ. θ' οὗ ἡ ἀρχὴ Ἐὰν κατὰ μανδάτ(ον) μου ἄλλος κωλύσῃ τινά. καὶ θέ. ι'. καὶ τί. κγ' θέ. ε' (= 12) οὗ ἡ ἀρχὴ Μισθωτ(οῦ) καινοτομοῦντος ἢ δενδρο-

11 διδοῦσα προῖκα Ed. | 19 Παύλῳ Ed. | 25 ὅτε μοι Ed. | 29 περὶ τοῦ χρεώστου Ed. | 30-31 κατὰ ἐντολὴν Ed. | 32 libri 58 tit. 10 cap. 45 desideratur in fragm. Ed. et in Suppl.

11 τί ιε' κε. ιβ'

τομοῦντος. καὶ τί. κδ' κε. ζ' θέ. α' οὗ ἡ ἀρχὴ Εἰ ὁ διοικητής μου αἰτήσας λάβοι. καὶ κε. θ' οὗ ἡ ἀρχὴ Εἰ παρακλήσει σου ᾔτησα Πέτρον καὶ κε. ιδ' οὗ ἡ ἀρχὴ Ἐὰν δοῦλός σου ἢ υἱὸς λάβῃ τι παρακαλέσας. καὶ βι. ξ' τί. α' κε. ι' θέ η' οὗ ἡ ἀρχὴ Ὑποπίπτει τῷ νόμῳ καὶ ὁ ὑπολαβών. καὶ [τί. γ'] κε. λζ' οὗ ἡ ἀρχὴ Εἰ μὲν κελεύσει τινὸς ἔχοντος ἐξουσίαν. καὶ τί ε' κε. β' οὗ ἡ ἀρχὴ Ἐὰν εἰδότος τοῦ δεσπότ(ου) φονεύσῃ δοῦλ(ος). μάλιστα δὲ τὸ πρῶτον θέ. καὶ τί. ϛ' κε. ιη' οὗ ἡ ἀρχὴ Ἐὰν δοῦλ(ος) χρήματα τοῦ δεσπότ(ου) παράσχῃ τινί. καὶ τί. ιβ' κε. ιδ' θέ. θ' οὗ ἡ ἀρχὴ Πάντες οἱ κινδυνεύοντες ἐπὶ ἀλλοτρ(ίῳ) πράγματι. καὶ τί. ιζ' κε. ζ'. θέ. ϛ' οὗ ἡ ἀρχὴ Ἐξωθεῖν δοκεῖ καὶ ὁ ἐντειλάμενος ἢ κελεύσας καὶ τί. κα' κε. ια' θε. γ' οὗ ἡ ἀρχὴ Καὶ ὁ ἐντειλάμενος ὑβρισθῆναί τινα καὶ ὁ ὑβρίσας. καὶ κε. ιε' (= 14) *θέ. κϛ' οὗ ἡ ἀρχὴ Καὶ ὁ κελεύσει δεσπότ(ου) ἐξετάζων. καὶ τί. κγ' κε. ια'* (= 12) *οὗ ἡ ἀρχὴ Ἐὰν οἰκέτης τάφον καταλύσῃ. καὶ τί. λγ' κε. ιη' οὗ ἡ ἀρχὴ Ὁ λέγων, ὅτι ἕτερός μοι ἐνετείλατ(ο) ἁμαρτῆ(σαι). περὶ τοίνυν ἐντολῶν καὶ ἐντολέων ἀνά(γνωθι) βι. ιγ' τί. β' κε. α' θέ. ϛ'. καὶ βι. ιδ' τί. α', γ', ϛ', θέ. γ' καὶ ζ'. καὶ βι. ιζ' τί. α' κε. ζ'. καὶ βι. κϛ' τί. δ' κε. λε'. καὶ τί. ε' κε. ριε'. καὶ βι. νγ' τί. α' κε. κε' θέ. γ'. περὶ ἐντολέων ἀνά(γνωθι) καὶ βι. η' τί. β' κε. π' ἄχρι τοῦ ρα'. καὶ βι. θ' τί. ι' κε. β'. καὶ τί. α' κε. δ'. καὶ τί. ι' κε. ι'. καὶ τί. ια' κε. κ' καὶ βι. να' τί. δ' κε. θ' καὶ κθ', λζ' θέ. δ'. καὶ τοῦ κδ' βι. τί. γ' κε. ε', ιβ' καὶ βι. νγ' τί. η' κε. ιδ'. καὶ βι. ξ' τί. ιβ' κε. ξη'. καὶ τί. ι' κε. ιϛ'.*

1-2 libri 58 tit. 24 capp. 7, 9, 14 desiderantur in fragm. Ed. et in Suppl.

ΒΙ(ΒΛΙΟΝ) ΙΕ' [ΤΙΤΛΟΣ α']

Περὶ πραγμάτων ἐκδικουμένων καὶ φανερώσεως αὐτῶν.

(1) *Αὕτη χώραν ἔχ(ει) ἡ ἀγωγὴ ἐπὶ τῶν καθ' ἕκαστον ἐμψύχων ἀψύχων ἀκινήτων καὶ ὑπεξουσίου υἱοῦ προσθή(κῃ) αἰτ(ίας). καὶ περὶ ἀγέλης προσηκούσης τῷ κινοῦντι κἂν τὰ καθ' ἕκαστον τῆς ἀγέλης ἀλλότρ(ιά) εἰσι.* (2) *Καὶ εἰ ἐξ ἴσου τισὶ δύο διαφέρ(ει) καὶ εἰ μεῖζόν ἐστι τοῦ ἑνὸς τὸ μέρ(ος), πότ(ε) δύναται ὁ εἷς ἢ οἱ δύο τὴν ὅλην ἀγέλην διεκδικεῖν ἢ μή.* (3,1) *Καὶ ὅτι ὁ ἐξαρτισμὸς τοῦ πλοίου καὶ ἡ σκάφη ἰδιαζόντως ἐκδικοῦντ(αι). καὶ περὶ τοῦ ἐὰν δύο πράγματ(α) τῆς αὐτῆς ποιότ(η)τ(ος) ὄντα μιγῶσιν ἢ φύσεως, ὥστε μὴ δύνανται χωρισθῆ(ναι), πῶς ἕκαστος τῶν δεσποτῶν τὸ ἀναλογοῦν αὐτῷ ἐκδικεῖ, κἂν ἄδηλόν ἐστι, πόσον ἕκαστος ἔχ(ει) καὶ οὐχί.* (4) *Καὶ ποῖαι ἀγωγαὶ κινοῦνται κατ' ἀλλήλων τῶν δεσποτῶν. καὶ ποῖαι κατὰ τοῦ χωνεύσαντος.* (5) *Τὸ αὐτὸ καὶ ἐπὶ σίτ(ου) παρὰ γνώμην τῶν δεσποτῶν μιγέντ(ος). εἰ γὰρ κατὰ γνώμην, κοινὸς γίνεται. καὶ περὶ τοῦ ἐὰν ἀπὸ μέλιτος ἐμοῦ καὶ σοῦ οἴνου οἰνόμελι γένηται. καὶ εἰ μετὰ τοῦ ἀργύρου σου μόλιβδός μου χωνευθ(ῇ) καὶ δύναται χωρισθῆ(ναι) ἢ μή, ἢ χαλκὸς καὶ χρυσός. καὶ περὶ τοῦ τικτομένου ἐκ τῆς ἐμῆς φορβάδος καὶ τοῦ σοῦ ἵππου. καὶ περὶ δένδρου μου εἰς τὸν ἀγρόν σου παρὰ σοῦ φυτευθέ(ν)τ(ος) καὶ ῥιζώσαντ(ος). | καὶ περὶ τοῦ ἐὰν περὶ τὸ σῶμα συμφωνοῦμεν, περὶ δὲ τὴν* 53v *ὀνομασ(ίαν) πλανώμ(ε)θ(α) ἢ πολλοὶ τῆς αὐτῆς ὀνομασ(ίας) εἰσὶ καὶ οὐ δηλοῦται, περὶ ποίου ἐνήγαγον, τί γίνεται.* (6) *Καὶ περὶ τοῦ, τί ὀφείλ(ει) λέγειν ὁ περὶ πράγματ(ος) ἐνάγων, ἀνά(γνωθι), ὥρ(αἰόν) ἐστι. καὶ τί οὐκ ὀφείλ(ει) λέ(γ)ειν. καὶ ἐπὶ ἀγροῦ ὁμοίως.* (7) *Καὶ περὶ τοῦ προσαγαγόντος ἑαυτὸν καίπερ μὴ αὐτὸς νεμόμενος τῇ τοῦ ἀγροῦ ἀπαιτή(σει).* (8) *Καὶ περὶ τοῦ ἐὰν ἀγρὸν ἐμοὶ καὶ σοὶ ἐξ ἴσου διαφέροντ(α) κοινῶς σὺ καὶ Πέτρος νέμεσθε. εἰ δὲ διῃρημέν(ως), τί δεῖ γενέσθαι. τοῦτ(ο) δὲ χώραν οὐκ ἔχει ἐπὶ κινητῷ πράγματ(ι) ἢ κληρονομιαίῳ.* (9) *Καὶ ὅτι πᾶς ὁ νεμόμ(ε)ν(ος) ἐξ οἱουδήποτ(ε) τίτλου, οἷον κατὰ παραθ(ήκην) ἢ χρῆ(σιν) καὶ δυνάμενος ἀποκαταστῆσαι ἐνάγεται τῇ περὶ πράγματος ἀγωγῇ πρότερον ἀποδεικνύοντ(ι) αὐτοῦ εἶναι τὸ πρᾶγμα.* (10) *Καὶ περὶ καλ(ῇ) πίστει νομέως, ποῦ ἀποκαθίστησι τὸ πρᾶγμα καὶ δαπ(ά)ν(ῃ) τίνος πλὴν*

---

9 *ἐκδικεῖται* Ed. | 11 *δύνασθαι* Ed. | 12 *καὶ οὐχί* deest in Ed. | 31 *πρότερον — πρᾶγμα* verba desunt in Ed.

τῶν τροφῶν, τῆς ὁδοῦ καὶ τοῦ πλοός. (11) *Καὶ εἰ ὁ ἀπαιτῶν κινδύνῳ τῷ αὐτοῦ βούλεται ἀποκαταστῆναι, ἔνθα ψηφίζεται* (12-[13]) *Καὶ περὶ κακῇ πίστει* [*νομέως ἀνάγνωθι*] *διαστίξεις θαυμασίας περὶ ἀποκαταστάσεως καὶ τῶν ἐν αὐτῇ παρακαλουθημάτων.* (14) *Καὶ ποίας ἀγωγ(ὰς) ἔχει ἄδειαν ὁ ἀπαιτῶν κινῆσαι κατὰ τοῦ νεμομένου.* (15) *Καὶ εἰ μαστίξας ὁ νεμόμενος τὸν δοῦλ(ον) ἀπέδωκ(ε) καὶ ἐὰν ὁ νομεὺς ἐξ ἀνάγκης τὸ πρᾶγμα πωλή(σῃ) διὰ τὸ μὴ φθαρῆ(ναι) ἢ τοὺς καρπούς. καὶ περὶ τοῦ ἐὰν τὸ ἐκνικώμενον ἀποθάν(ῃ) χωρὶς ἀμελ(είας) τοῦ νομέως.* (16) *Καὶ ὅτι καὶ μετὰ θάνατον ἀναγκαία ἐστὶν ἡ ψῆφος διὰ τὸν καρπὸν καὶ τὸν τοκετὸν καὶ τὴν ἐπερώ(τησιν) τῆς ἐκνική(σεως). καὶ πότε τὰ τυχη ά οὐκ ἐπιγινώσκει ὁ νομεύς. καὶ περὶ τοῦ, ὅτι οὐκ ἔστιν ἀμέλ(εια) τὸ ἀπολῦσαι πλοῖον, κἂν ναυαγήσῃ ἐν καιρῷ πλωΐμῳ, εἰ μὴ ἐνεπιστεύθ(η) ἀνικάνοις. καὶ περὶ τοῦ, πότε ἐπιγινώσκει τοῦ δούλ(ου) τὸν κίνδυνον ὁ νομεύς.* (17) *Καὶ περὶ πράγματος ἀποθανόντος μετὰ τὴν ὑπέρθεσιν τοῦ νομέως, εἰς τί εὐθύνεται, καὶ τί δ δω(σι). καὶ τοῦ δόλ(ῳ) παυσαμένου.* (19) *Καὶ περὶ τοῦ, πότε ἀσφαλίζεται τὸν ἐναγόμενον ὁ κινῶν.* (20) *Καὶ τί δίδω(σι) τῷ δεσπότ(ῃ) ὁ νεμόμενος μετὰ προκάταρξιν.* (21) *Καὶ περὶ τοῦ νεμομένου καλῇ πίστει τὸν ἐκνικώμενον δοῦλ(ον), πότε ἀπολύεται ἢ μὴ τοῦ δούλ(ου) φυγ(όν)τ(ος). περὶ δὲ τοῦ ἀρνουμένου δύνασθαι παραστῆσαι τὸν πταίσαντα δοῦλ(ον), τί γίνεται, ζήτ(ει) βι. ξ′ τί. ε′ κε. κβ′ θέ. β′* (= 3) *οὗ ἡ ἀρχὴ Ἀρνουμένου τοῦ δεσπότ(ου) ἔχειν τὸν δοῦλ(ον). καὶ τοῦ ζ′ βι. τί. ιε′ ὅλον. καὶ τί. δ′ τούτ(ου) τοῦ βι. κε. δ′* (= 5, 5) *οὗ ἡ ἀρχὴ Εἰ καὶ νέμεταί τις, οὐ μὴν δύναται παραστῆσαι. κα περὶ τοῦ, εἰ διὰ χρή(σεως) δεσπόσει αὐτ(οῦ). καὶ ὅτι καρποὺς δίδω(σι) καὶ ποταπὴν ἀσφάλ(ειαν) δίδωσι.* (22) *Καὶ περὶ τοῦ, πότε καταδικάζεται ἐπὶ τῇ φυγῇ. καὶ εἰ δόλ(ῳ) τοῦ νομέως φύγῃ.* (23) *Καὶ τίς δύναται κινεῖν τὴν περὶ ἀπαιτή(σ)εως πράγματος ἀγωγ(ήν). καὶ ὅτι τὰ ἱερὰ καὶ τὰ μνημεῖα ἐκδικεῖν ὡς ἡμέτερα οὐ δυνάμεθα. καὶ περὶ τοῦ ἐὰν τῷ ἐμῷ πράγματι προσθήσω ἀλλότρ(ι)ον ὡς μέρος αὐτοῦ γενέσθαι, οἷον ἀνδριάντι χεῖρα ἢ πόδα, καὶ κινῶ τὸ γενόμενον ἐμόν, τί δεῖ γενέσθαι. καὶ ἐφ' ὅσον ἥνωνται, ποία κινεῖται ἀγωγή. καὶ περὶ τῶν διὰ μολίβδου κολλωμένων καὶ λιπαινομένων. καὶ περὶ τῶν ἐκ διεστώτων σωμάτων συγκειμένων καὶ σωζόντων τὸ ἴδιον εἶδος ἐν τοῖς κατὰ μέρος, ὡς ἐπὶ ἀν(θρώπ)ων καὶ προβάτων. καὶ περὶ τῶν ἡνωμένων. καὶ περὶ ξύλ(ου) ἀλλοτρίου ἐμβληθ(έν)τ(ος) οἴκῳ, ποία ἐπ' αὐτῷ ἁρμό(ζει) ἀγωγή. καὶ τοῦ λί(θοις) ἀλλοτρ(ίοις) κτίσαντος ἐν τῷ ἰδίῳ ἐδάφει.* (25) *Καὶ περὶ τοῦ χωρὶς αἰτίας ἑαυτὸν τῇ δίκῃ προσαγογόντος*

10 *καί — νομεύς* verba desunt in Ed. | 15 cap. 18 Editionis deest in Tipuc. | 35 cap. 24 item

11 *ἀπολύσαι* | 11 *ναυαγίσῃ*

μὴ νεμομένου μήτε δόλ(ῳ) παυσαμένου. καὶ πῶς ἔξεστιν αὐτῷ πρὸ τῆς ψήφου εἰπεῖν, ὡς οὐ νέμεται καὶ ἀ|ζημ ως ἀναχωρῆ(σαι). (26) Εἰ δὲ γι- 54r νώσκει ὁ κιν(ῶν), αὐτὸς ἑαυτὸν ἀπατᾷ. (27) Καὶ περὶ τοῦ, ὅτι ὀφείλ(ει) τις ἐν τῇ προκατάρξει νέμεσθαι καὶ ἐν τῷ καιρῷ τῆς ψήφου. εἰ δὲ νεμόμενος παυθῇ τοῦ νέμεσθαι ἢ μὴ νεμόμενος νέμεται, ἀνά(γνωθι), εἰς τί εὐθύνεται. καὶ περὶ τοῦ ἐὰν τὸν ἐκδικούμενον δοῦλ(ον) ὁ νομεὺς χείρονα ποιή(σῃ) καὶ μετὰ ταῦτα χωρὶς τῆς ἀμελείας αὐτοῦ ἕτερος αὐτὸν ἀνέλ(ῃ) ἢ ἐξ ἄλλης αἰτίας τελευτ(ήσῃ). καὶ πότε ὁ [πρὸ] τῆς προκατάρξεως δόλ(ῳ) παυσάμενος νέμεσθαι ἐνέχεται. καὶ περὶ τοῦ ἐὰν πατὴρ ἢ δεσπότ(ης) δι' υἱοῦ ὑπεξουσίου ἢ δούλ(ου) νέμηται καὶ ἀπολιμπάν(η)τ(αι) χωρὶς ἀμελείας τοῦ πατρὸς ἢ τοῦ δεσπότου, τί δεῖ γενέσθαι. Καὶ ποῖα τῶν δαπανηθέ(ν)των καταλογίζεται τῷ νομεῖ, εἰ ἐν ἀγνοίᾳ τυχὸν ᾠκοδόμη(σε) καὶ οὐκ ἀνέχεται αὐτὸν περιελεῖν ἢ ἐπὶ τῷ θεραπεῦσαι τὴν νοξαλ(ίαν) δέδωκ(ε) χρήματ(α), καὶ ποῖα οὐ καταλογίζεται. (28, 29, 30, 31, 32) Καὶ ποῖοι καρποὶ τῶν οἰκετῶν ἀπαιτοῦνται. (33) Καὶ ποῖοι τῶν καρπῶν δυνάμενοι ληφθῆναι ἀπαιτοῦνται. (35) Καὶ πότε ἀργοῦσιν οἱ λόγοι τῶν καρπῶν. καὶ ἐὰν περὶ ἀλλοτρ(ίου) ἀγροῦ ἐναγάγω καὶ ψηφίσηται ὁ δικαστὴς ἐμὸν εἶναι. καὶ ὅτι ὁ δεσπότ(ης) λαβὼν τὴν τῆς δίκης διατίμησιν οὐκ ἀσφαλίζεται περὶ ἐκνικήσεως. καὶ πῶς τὰ τῶν μὴ δυναμένων διαιρεθῆ(ναι) μέρη ἐκδικοῦνται. (36) Καὶ περὶ τοῦ, τί ὀφείλ(ει) περιεργάζεσθαι ὁ ὀφείλων διεκδικῆ(σαι). καὶ πῶς ὁ ἐναγόμενος καὶ ἀπὸ ἀμελείας καταδικάζεται. καὶ ποῖον λέγεται καὶ πῶς εἰδοποιεῖται ἡ ἀμέλ(εια) καὶ ἐν τίσι. (37) Καὶ περὶ τοῦ ἐὰν καλῇ πίστει ἀγορά(σω) ἔδαφος, μετὰ δὲ τὸ μαθεῖν με ἀλλότρ(ι)ον εἶναι, κτίσω. (38) Καὶ περὶ τοῦ ἐὰν ἀγορά(σω) καλῇ πίστει ἀλλότρ(ιον) ἀγρὸν καὶ γεωργήσω ἢ καὶ κτίσω ἐν αὐτῷ. (39) Καὶ περὶ ἐργολάβων ἰδίαις ὕλαις κτιζόντων, πῶς ποιοῦσι παραχρῆμα αὐτ(ὰς) τοῦ δεσπότου τοῦ ἐδάφους. (40) Καὶ περὶ τοῦ κατὰ ἀγορα(σίαν) λαβόντ(ος) τι παρὰ ὑπεξουσίου ἐλευθ(έ)ρ(αν) πεκουλ(ίου) διοίκη(σιν) ἔχοντ(ος) ἢ κατὰ γνώμην τοῦ δεσπότ(ου), πῶς ἔχει ἀγωγὴν ἐπὶ τῷ πράγματι. (41) Καὶ πότε ὁ κληρονόμος τοῦ νομέως ἐκ τῶν ἁ αρτημάτων τοῦ νεμηθέντ(ος) καταδικάζεται. (42) Καὶ περὶ τοῦ, διὰ ποίας ἀγωγ(ῆς) δύναταί τις ἐκδικεῖν τοὺς οἰκοδομηθέ(ν)τ(ας) λίθους ἐν τοῖς μνημείοις μετὰ τὸ καταλυθῆ(ναι). καὶ τίς ἀναγκάζεται αὐτοὺς ἀποκαταστῆσαι. (43) Καὶ πῶς εἰσι μέρος τοῦ ἀγροῦ οἱ ἠρτημένοι καρποί. (44) Καὶ πῶς ἀσφαλίζεται ὁ καλ(ῇ) πίστει ἀποκαθιστῶν περὶ δόλ(ου), οἱ δὲ λοιποὶ περὶ ἀμελείας. καὶ αὐτὸς μετὰ προκάταρξιν. (45) Καὶ ἐὰν διὰ τοῦ ἐνδίκου ὅρκου

16 cap. 34 Editionis deest in Tipuc,

16 ἀργῶσιν

λάβῃ τὸ τίμημα ὁ ἐνάγων. (46) *Καὶ ἐὰν πάρεστι τὸ πρᾶγμα ἢ ἄπεστι. καὶ πῶς δίδω(σιν) ἐπὶ τούτ(ῳ) ἀσφάλ(ειαν) ψῆφον.* (47) *Καὶ περὶ τοῦ καλῇ πίστει δαπανήσαντος, τυχὸν λαβόντος κατὰ δωρεὰν ἀλλότρ(ιον) ἀγρόν, περὶ ὧν ἐδαπάνησε, πῶς οὐκ ἔχει ἀγωγήν, ἀλλὰ παρακατάσχεσιν συμψηφιζομένων τῶν πρὸ τῆς προκατάρξεως ληφθέντων καρπῶν.* (48) *Καὶ ὅτι τὸ ἔδαφος μέρος ἐστὶ τοῦ οἴκ(ου).* (49) *Καὶ ὅτι ὁ ἀγοραστὴς πρὸ παραδόσεως οὐκ ἔχει τὴν ἐπὶ τῷ πράγματι ἀγωγήν, ὁ δὲ κληρονόμος καὶ πρὶν ἢ νεμηθ(ῇ) ἐπὶ τοῖς κληρονομιαίοις.* (50) *Καὶ ὅτι μετὰ προκάταρξιν ὁ δόλ(ος) καὶ ἡ ἀμέλεια τοῦ κληρονόμ(ου) σκοπεῖται.* (51) *Οἱ δὲ κληρονόμ(οι) τοῦ πρὸ τῆς προκατάρξεως δόλῳ παυσαμένου νέμεσθαι οὐκ ἀναγκάζονται [ὑποδέξασθαι] τὴν ἐπ' αὐτῷ τῷ πράγματι ἀγωγήν, διὰ δὲ τῆς ἰμφακτοὺμ τὸ κερδανθὲν διδόασι.* (52) *Καὶ ὅτι τὸν σπόρον οὐ δύναται ἐπᾶραι τοῦ ἀγροῦ ὁ νομεύς, ὃν ἐγεώργησεν ἢ ἔσπειρεν ἐκδικουμένου τοῦ πράγματος.* (53) *Καὶ περὶ τοῦ ἐὰν [ἐν] ἀγνοίᾳ συνηγορή(σω) τῷ ἐκδικοῦντι τὸ ἐμὸν ὡς ἴδιον.* (54) *Καὶ ὅτι τοῦ νομέως ἀποθανόντος ἐπὶ δυσὶ κληρονόμ(οις) πρὸ τῆς προκατάρ|ξεως* 54v *καὶ ὁ εἷς εἰς ὁλόκληρον ἔχων τὸ πρᾶγμα καταδικάζεται.* (55) *Καὶ περὶ πεκουλ(ίου) ληγατευθ(έν)τ(ος), πῶς καὶ τὸ καθ' ἕκαστον δύναται ἐκδικεῖσθαι.* (56) *Καὶ περὶ τοῦ ἐὰν παρὰ σοῦ δύο τινὲς ἀγρὸν ἐκδικῶσι κεχωρισμένως.* (57) *Καὶ περὶ τοῦ ἐὰν ὀνόμ(α)τ(ι) τοῦ αὐτ(οῦ) δούλ(ου) περὶ δεσποτ(εί)ας ἄλλος ἐναγάγῃ μοι καὶ ἄλλος περὶ πταίσματος.* (58) *Καὶ περὶ τοῦ ἐὰν εἰς οἶκον ἀλλότρ(ι)ον βάλω θύρας ἢ θυρίδας.* (59) *Καὶ περὶ τοῦ ἐὰν νήπιος ἢ μαινόμενος φθείρῃ τι ἢ ἀπολέ(σῃ), ἀνεκδίκητόν ἐστι.* (60) *Καὶ περὶ τοῦ ἐξ ἀλλοτρ(ίας) ὕλης ἴδιον πλοῖον ἀνακτίσαντο(ς).* (61) *Καὶ περὶ κακῇ πίστει νομέως πλοίου, ἐργαστηρ(ίου) καὶ μεσαυλίου, πῶς δίδω(σιν), οὓς ἠδύνατο λαβεῖν, καρπούς.* (62) *Καὶ περὶ τοῦ κατὰ ἀμέλειαν καὶ μὴ κατὰ δόλον ἀπολέσαντος τὴν νομήν, τί δίδω(σι) τῷ ἐνάγοντ(ι).* (64) *Καὶ περὶ τοῦ ἀγοράσαντος ἀλλότρ(ι)ον ἀγρόν, ὃν εἶχέ τις εἰς ἐνέχυρον. καὶ περὶ τοῦ ἐὰν μὴ ἐν προικί, ἀλλ' ἐν πεκουλ(ίῳ) παραχωρή(σω) τῇ θυγατρί μου δούλ(ην) καὶ μὴ ληγατεύσω αὐτῇ τὸ πεκούλ(ιον).* (66) *Καὶ περὶ τοῦ ἐὰν εὕρω χρήματ(α) ἐν τῷ ἀγορασθέντι παρ' ἐμοῦ οἴκῳ.* (67) *Καὶ περὶ τοῦ μὴ πειθαρχοῦντος τῷ δικαστῇ ἀλλότρ(ι)ον πρᾶγμα κατέχοντος καὶ παρ' αὐτῷ ὄντος ἢ καὶ μή.* (68) *Καὶ πῶς ὁ δόλῳ παυσάμενος νέμεσθαι τὰς ἀγωγὰς οὐκ ἐκχωρεῖται παρὰ τοῦ ἐνάγοντος* (69) *οὔτε τὴν πουβλικιανὴν ἔχει.* (70) *Καὶ εἰ δόλ(ον) μὲν ὁ νομε(ὺ)ς ἐποίησεν, οὐ θέλει δὲ ὁ ἐνάγων ὀμόσαι.* (71) *Καὶ*

---

3 *τυχὸν — ἀγρόν* deest in Ed. | 26 cap. 63 Editionis deest in Tipuc. | 29 cap. 65 item

---

3 *τυχόν — ἀγρόν* in margine cum signo ⸖ ad *δαπανήσαντος* spectante | 12 *διδοῦσι* | *ἐπαρεῖν*

περὶ τοῦ ἐὰν τὸν τοῦ Πέτρου ἀγρὸν κατὰ μηδὲν διαφέροντά σοι κατέχων πωλήσῃς μοι καὶ παραδώσεις λαβὼν τὸ τίμημα, εἶτα κληρονομήσας Πέτρου ἀπολιμπανομένου μου κατασχὼν τὸν ἀγρὸν πωλή(σεις) καὶ παραδώσεις αὐτὸν ἑτέρῳ, πῶς εἰμι ἐπικρατέστερος. (72) *Καὶ ἐπὶ ποίοις ὁ ἐνάγων ἀναγκάζεται λέ(γ)ειν, ἐκ πόσου μέρ(ους) αὐτοῦ ἐστι τὸ πρᾶγμα.* (73-74) *Καὶ περὶ τοῦ κτίσαντος ἐν ἀλλοτρ(ίῳ) ἐδάφει οἴκημ(α) ἐπὶ τῷ διδόναι δήλην καταβολήν, πῶς ἀγωγὴν ἔχει ἐπὶ τῷ πράγματ(ι).* (75) *Καὶ περὶ ἀδήλου πράγματος ἐξ εὐλόγ(ου) αἰτίας ἔσθ' ὅτε δύναταί τις κινεῖν τὴν ἐπὶ τῷ πράγμ(α)τ(ι) ἀγωγήν, ὥσπερ ἐστὶ ἐπὶ τῷ ληγατευθέντ(ι) δούλ(ῳ) μὴ δήλ(ου) τυγχάνοντ(ος), πόσον ἐξ αὐτ(οῦ) μειοῦται διὰ τοῦ φαλκιδ(ίου) ὁ κληρονόμ(ος).* (76) *Καὶ περὶ γυναικὸς δωρησαμένης ἀγρόν, εἶτα μισθωσαμένης αὐτὸν ἐξ ἐμοῦ. καὶ ὅτι, εἰ ἐν τῷ ἀγρῷ ἐδεξάμην τὴν τῆς δωρεᾶς ἐπιστολήν, ἀρκεῖ μοι ἀντὶ παραδό(σ)εως.* (77) *Καὶ περὶ καλῇ πίστει νομέως καὶ ὧν λαμβάνει καρπῶν.* (78) *Καὶ περὶ τοῦ ἐὰν μετὰ προκάταρξιν ἀποθάν(ῃ) ὁ διεκδικούμενος δοῦλ(ος), καὶ περὶ τῶν καρπῶν αὐτ(οῦ).* (79) *Καὶ περὶ τοῦ* [*ὅτι*] *ἔξεστί μοι λέγοντ(ι) μὴ νέμεσθαι, μὴ ὑποδέχεσθαι τὴν ἐπὶ τῷ πράγματι ἀγωγήν. εἰ δὲ ἀποδείξει ὁ ἀντίδικός μου νέμεσθαί με, μεταφέρεται εἰς αὐτὸν ἡ νομή, κἂν μὴ ἀποδείξῃ αὐτοῦ εἶναι τὸ πρᾶγμα.* (80) *Καὶ περὶ τοῦ νεμομένου καλῇ πίστει εἴτε κακ(ῇ) τὸν ἀλλότρ(ιον) δοῦλ(ον). καὶ πότε προσπορίζεται αὐτῷ τὰ ἐξ αὐτοῦ ἐξωνηθέ(ν)τ(α) ἢ διὰ τῶν αὐτοῦ ὑπηρεσιῶν. καὶ πότε οὐ προσπορίζεται.* (81) *Καὶ περὶ τοῦ ἐπικτίσαντος ἀνώγεα ἐν τοῖς ἐμοῖς οἰκήμα(σιν) ἢ ἐν τῷ ἐμῷ ἐδάφει κτίσαντος. καὶ περὶ τῆς ἐκδική(σ)εως τῆς ὕλης τοῦ οἴκ(ου) καταλυθέντος.* (82) *Καὶ ὅτι μήτηρ τὸ πρᾶγμα τῆς θυγατρ(ὸς) καὶ ἀνὴρ τὸ τῆς γυναικὸς ἐκποιεῖν οὐ δύναται μὴ βουλομένων ἢ ἀγνοούντων αὐτῶν. εἰ δὲ ἐκποιήσωσι, τί δεῖ γενέσθαι.* (83) *Καὶ περὶ τοῦ καλῇ πίστει παρὰ τοῦ κακῇ πίστει νεμομ(έ)ν(ου) ἀγοράσαντ(ος).* (84) *Καὶ περὶ τοῦ κακῇ πίστει νεμηθέ(ν)τ(ος) ἀλλότρ(ιον) οἶκον, πῶς ἀποκαθίστη(σιν) αὐτὸν καὶ ποῖα δαπανήματ(α) ζημιοῦται. καὶ ποῖα λαμβά(νει) καὶ ποῖα ἀφαιρεῖται.* (85) *Καὶ ὅτι ὁ ἀγορά(σ)ας ἐκ τῶν παρατεθέντων αὐτῷ νομισμάτων κτῆμα, τὰ νομίσματα δίδω(σι) καὶ οὐ τὸ κτῆμα ἀναγκάζεται παρασχεῖν.* (86) *Καὶ περὶ τοῦ, ὅτι τῇ* | *αἱρέ(σει) τῆς μητρὸς* 55r
ὁ τεχθεὶς ἐκ δούλ(ης) ἀκολουθ(εῖ) καὶ οὐχὶ τῇ τύ(χῃ) τοῦ πατρός. (87) *Καὶ ὅτι λαβών τις ἀργύρια στρατιώτ(ου) ἠγορα(σέ) τινα πράγματα ὀνόμ(α)τ(ι) ἰδίῳ ἐνταλθεὶς παρὰ τοῦ στρατι(ώ)τ(ου) ταῦτα ἐκείνῳ ὠνήσασθαι.* (88) *Καὶ*

---

30 *αὐτῷ ii* | *τὰ ii*

ὅτι τὰ ἐν προικὶ δοθ(έν)τ(α) οὐ δύναται ἡ γυνὴ διεκδικεῖν. (89) Καὶ ὅτι ἡ περὶ τῆς δεσποτ(είας) τῶν δούλων ἀπόδειξις καλῶς, εἰ μὴ δι' ἐγγρά(φ)ων, δι' ἑτέρων ἀποδείξεων δείκνυται ἢ καὶ αὐτῶν τῶν οἰκετῶν ἐρωτωμένων. (90) Καὶ περὶ τοῦ κακῇ πίστει σπείραντος ἢ φυτεύσαντος ἀλλότρ(ι)ον ἀγρὸν ἢ καλῇ πίστει. (91) Καὶ περὶ τοῦ δούλην πωλήσαντος καὶ παραδόντος, πῶς οὐ δύναται διεκδικεῖν αὐτὴν ἢ τοὺς τοκετοὺς αὐτ(ῆς), ἀλλὰ περὶ μόνου τοῦ τιμήμ(α)τ(ος) κινεῖν. (92) Καὶ περὶ τοῦ παρίστασθαι τὸ ἀνδράποδον πρότερον, ἡνίκα περὶ δεσποτ(είας) κινεῖται ζήτησις. ζήτ(ει) καὶ βι. ξ' τί. ζ' κε. ια' οὗ ἡ ἀρχή Πολλάκ(ις) τις ὑποδεξάμ(ε)ν(ος) φυγ(ά)δ(α). καὶ τί μη' κε. ιγ' οὗ ἡ ἀρχή Πρότ(ε)ρον χρὴ δειχθῆ(ναι). (93) Καὶ περὶ τοῦ ἀγοράσαντος παρὰ γυναικὸς πρᾶγμα διαφέρον τῷ ταύτης παιδί, πότε καλῶς ἐνάγεται. καὶ εἰ ὁ παῖς κληρονομή(σῃ) τὴν μητέρα, ἐπὶ ποίοις ἄραγε δεῖ αὐτὸν ἐφησυχάζειν. ζή(τει) βι. θ' τί. η' κε. κθ' οὗ ἡ ἀρχή Ἐὰν παῖδ(ες) κληρονομή(σωσι) τὸν πατέρα. καὶ τούτ(ου) τοῦ τί. κε. ϟβ' (= 93). (94) Καὶ περὶ τοῦ ἐὰν δύο τινὲς τὸν αὐτὸν ἐξ ὁλοκλήρ(ου) ἀγρὸν ἀγορά(σωσι), ποῖος ἔσται βελτίων. καὶ εἰ ἑκὼν ἀφίσταται, πῶς λόγος γίνεται τοῦ τιμήματος καὶ τῶν τόκων καὶ τῶν καρπῶν. ἀνά(γνωθι) διαστίξεις. τὸ αὐτὸ καὶ ἐπὶ δωρεᾶς εἰς ὁλόκληρον πρὸς δύο γενομένης. (95) Καὶ περὶ τοῦ οἰκοδομήσαντος εἰς ἐπίκοινον δύο τινῶν ἔδαφος. (96) Καὶ περὶ τοῦ ἀγοράσαντ(ος) ἀγρὸν παρὰ μὴ δεσπότ(ου) τοῦ δεσπότ(ου) παραγγείλαντος μὴ ἀγορά(σαι). (97) Καὶ ὅτι οὐ καταβλάπτει ἡ πλάνη τὴν οὖσαν παρά τινι πράγματι δεσποτείαν, ὥσπερ ἐπὶ τῶν ληγάτων, εἰ εἴπῃ [τις] περὶ τοῦ οἰκογενοῦς τόνδε τὸν ἀγοραστὸν δοῦλον ἢ τοὐναντίον. (99) Καὶ ὅτι ὁ λέγων δοῦλον ἀλλότρ(ι)ον κατέχειν χρήματα αὐτοῦ κατὰ τοῦ δεσπότ(ου) τοῦ δούλ(ου) ὀφείλ(ει) κινεῖν. (100) Καὶ ὅτι ὁ μὴ ἀποκαθιστῶν τὸ ἐκνικώμενον, ὅρκῳ τοῦ ἐνάγοντος καταδικάζεται. (101) Καὶ περὶ τῶν ἀποκαθισταμένων παρὰ τοῦ καλῇ ἢ κακῇ πίστει νεμομένου. (102) Καὶ ὅτι ἐκνικῶν ὁ δεσπότ(ης) τὸ κλαπὲν ἢ ἄλλως ἀφαιρεθὲν οὐ δίδω(σι) τίμημα. ζήτ(ει) καὶ βι. ξ' τί. ϛ' κε. ιθ' οὗ ἡ ἀρχή Ἡ δι(ά)τ(αξις) ἀντιγέγρ(α)πται. (103) Καὶ ὅτι ὁ μὴ δικαίαν ἔχων νομὴν οὐδέποτε οὐσουκαπιτεύει. κἂν οἱ δεσπόται τούτων αἰχμαλωτισθῶσι, τὴν ἰσχυρὰν ἀγωγὴν κινοῦντες τὰ ἴδια ἀπαιτοῦσι. (104) Καὶ ὅτι ὁ τοῦ ἀλλοτρ(ίου) πράγματος διδοὺς δημό(σια) ἢ ἄλλα ἐξ ἔθους γινόμενα ἢ καταβαλλόμενα οὐ κτᾶται τὴν τοῦ πράγματος δεσποτ(είαν) μὴ γενομένης πρά(σ)εως. (105) Καὶ ὅτι τὸ ὑπερτιθέναι μετὰ προκάταρξιν τὸ δικαστήρ(ιον)

1 ἡ γυνὴ δ. habent Synopsis et Harmen. ; Ed. habet : ὁ πατὴρ δ. | 23 cap. 98 Editionis deest in Tipuc.

8-10 ζήτει — δειχθῆναι in marg. cum signo ÷ ad κινεῖται spectante.| 12 ποίαις| 13-14 ζήτ(ει) — ϟβ' in margine |22 λεγάτων | 28-29 ζήτει — ἀντιγέγραπται in margine cum signo ÷ ad δίδωσι lin. 24 spectante |32 γενόμενα

οὐ ποιεῖ νομὴν τῷ ἐναγομένῳ εἰς τὸ κτήσασθαι τὴν τοῦ μ(ακροῦ) χρό(νου) παραγρα(φήν). ὁ γὰρ δικαστὴς ἐν τῷ καιρῷ τῆς καταδίκης εἰς τὸ τῆς προκατάρξεως καιρὸν ἀνατρέχει. (106) *Καὶ ὅτι ὁ ἀγορά(σας) δοῦλ(ον) οὐ δύναται πρὸ παραδό(σε)ως ἐκδικεῖν τὴν τούτου δεσποτ(είαν). ὅμως εὑρή(σεις) πανταχοῦ, ὅτι οὐκ ἀπὸ τοῦ συμφών(ου) τῆς πράσεως, ἀλλ' ἀπὸ τῆς παραδό(σ)εως γίνεται δεσπότ(ης) ὁ ἀγοραστής. ζήτ(ει) καὶ τοῦ β' τί. τούτ(ου) τοῦ βι. κε. η'* (= 7) *θέ. ζ'* (= 14) *οὗ ἡ ἀρχή Πρὶν ἤ τις παραλάβῃ τὸ πρᾶγμα. τὸ δὲ τελευτ(αῖον) κε.* (XV, 1, 107) *[οὗ ἡ ἀρχή] Κἂν ἀλλότρ(ι)όν τις νέμηται, ὅμως, εἰ μὴ δείξει ὁ ἐνάγων, νικᾷ ὁ ἐναγόμενος. καὶ βι. ιθ' τί. ϛ' κε. ι' οὗ ἡ ἀρχή Ὁ ἀγορά(σ)ας ἀγρὸν οὐ δύναται κινεῖν. ἐν δὲ τῷ ϛ' τί. τοῦ ιθ' βι. κε. α' καὶ κε. β' θέ. α'. τὸν ἀγοραστήν φησιν ἐγκινδυνεύειν μετὰ τὴν πρᾶ(σιν). καὶ κε. ε' τοῦ αὐτοῦ ϛ' τί. οὗ ἡ ἀρχή Ἐὰν ὁ πραθεὶς οἶκος καυθ(ῇ). ἐν δὲ τῷ ϛ' κε. ῥυθμίζει τὴν πρὸ παραδό(σ)εως καὶ μετὰ τὴν παράδο(σ)ιν ζημίαν οὗ ἡ ἀρχη Ἐὰν πραθεῖσαν κλίνην ἐν τῇ ἀγορᾷ κειμένην. καὶ κε. ιθ' οὗ ἡ ἀρχή Ἐὰν ἡ πραθεῖ(σα) ὕλη κλαπ(ῇ). καὶ κε. ιδ' οὗ ἡ ἀρχή Μετὰ τὸ γενέσθαι τὴν πρᾶ(σιν) πᾶν κέρδος καὶ πᾶσα βλάβη· καὶ κε. ιϛ' οὗ ἡ ἀρχή Τῆς πρά(σ)εως τελείας γενομένης, εἰ μὴ ὑπέρθε(σιν) ἐποίησεν ὁ πράτ(ης). καὶ κε. ιζ' καὶ τὸ τέλ(ος) τοῦ τί. καὶ νόησον ἐπισυνάγων | ἐκ πάντων, ὅτι πρὸ παραδό(σ)εως ὁ πρά(της) μένει δεσπόζων, ἐφ' ᾧ* 55v *καὶ ἐλευθ(ε)ρ(οῖ) τὸν δοῦλ(ον), μετὰ δὲ τὴν παράδο(σ)ιν οὐ δύναται. ζήτ(ει) βι. ξ' τί. ιβ' κε. ιδ' οὗ ἡ ἀρχή Πρὸ παραδό(σ)εως ὁ πράτ(ης) ἔχει τὴν περὶ κλοπ(ῆς) καὶ ὁ κίνδυνος τοῦ ἀγοραστ(οῦ). καὶ κε. πα'* (= 80) *οὗ ἡ ἀρχή Τῷ πράτ(ῃ) πρὸ παραδό(σ)εως ἁρμό(ζει). φησὶ γὰρ δεσπότ(ην) αὐτὸν εἶναι. Καὶ ἀνά(γνωθι), ὡς προείρηταί σοι, τὸ η' κε. τοῦ ϛ' τί. τοῦ ιθ' βι. περὶ δὲ τοῦ δωρησαμένου ἀγρὸν καὶ πρὸ παραδό(σ)εως ὑποθη(σαμένου) αὐτόν, πῶς καλῶς ὁ δανειστὴς ἔχει κατὰ τοῦ ἀγροῦ τὴν ὑποθηκαρ(ίαν), ζήτ(ει) βι. μζ', τί. α' κε. λϛ'* (= 34,1) *οὗ ἡ ἀρχή Ἐάν, ὅπερ ἐδωρησάμην σοι, ὑποθῶμαι πρὸ παραδό(σ)εως. πλὴν ὑπόκειται τῇ στελλεονά(του) ὁ ὑποθέμενος, ὡς βι. ξ' τί. λ' κε. ϛ'. περὶ τοίνυν ἐκδική(σε)ων τῶν εἰς προῖκ(α) δοθέντων ζήτ(ει) βι. κθ' τί. α' κε. πη' οὗ ἡ ἀρχή Ἐὰν ἐξεδικήθ(η) τὸ εἰς προῖκα ἐπιδοθὲν πρᾶγμα. Περὶ τοίνυν ληγάτου ἐκδικηθέντ(ος) ἢ ὑποτεθέ(ντ)ο(ς) ζήτ(ει) βι. μδ' τί. η' κε. β' οὗ ἡ ἀρχή Εἰ δὲ δούλου ἐπιλογὴ ληγατευθ(ῇ) μοι ἢ γενικ(ῶς) δοῦλ(ος). καὶ ὅτι ἡ ἐκδίκη(σις) ἤγουν ἡ περὶ δεσποτ(είας)*

---

7 *πρὶν ἢ παραλάβῃ τις* Ed. | 9 *ὅμως ὁ ἐνάγων εἰ μὴ ἀποδείκνυσι* Ed. | 10 initium citatum libri 19, tit. 6, cap. 10 in Ed. non invenitur ; Editionis tit. 6 est de periculo et commodo rei venditae

---

8-9 *τὸ δὲ — ἐναγόμενος* in margine sine signo | 11 *ἐκκινδυνεύειν* | 20-23 *ζήτει — αὐτὸν εἶναι* in marg. cum signo ⸖ ad *παράδοσιν* spectante | 31 *λεγάτου*

ἀγωγὴ οὐ κινεῖται κατὰ τοῦ ἀλλότρ(ια) πεπρακ(ό)τ(ος), ἀλλὰ κατὰ τοῦ ἀγοραστοῦ νε ομένου τὸ πρᾶγμα. περὶ δὲ ἐκνική(σεως) πραθέ(ν)των καὶ λοιπῶν τῶν ἐπὶ τούτ(οις) παρατηρή(σε)ων ζήτ(ει) βι. ιθ' τί. ια' ὅλον. περὶ δὲ τοῦ, [ὅτι] ἐκνικωμένου τοῦ πράγματος δεῖ παραγγέλλειν τῷ πράτ(ῃ), ζήτ(ει) βι. θ' τί. α' κε. ξς' (= 74) *οὗ ἡ ἀρχὴ Ἠγόρα(σέ) τις δούλ(ην) ἢ ἔλαβεν αὐτὴν ὡς ὑπὲρ καταβολῆς. καὶ βι. ιθ' τί. ια' κε. ογ'* (= 70) *οὗ ἡ ἀρχὴ Γινομένης ζητήσεως περὶ τοῦ πραθέ(ν)τ(ος). Περὶ δὲ τοῦ, ἐφ' οἷς δεῖ κινεῖν τινα κατὰ τοῦ διδόντος αὐτῷ πρᾶγμα καὶ πρὸ τῆς ἐκνική(σ)εως ζήτ(ει) βι. κς' τί. ε' κε. ξθ' οὗ ἡ ἀρχὴ Ἐὰν εἰς θεραπείαν ζημίας ἐκδῷς μοι δοῦλον.* (107) *Καὶ περὶ τοῦ, ὅτι, κἂν τὸ ἀλλότρ(ι)όν τις νέμηται, ὅμως ὁ ἐνάγων, εἰ μὴ δείκνυσιν ἴδιον εἶναι τὸ πρᾶγμα, νικᾷ ὁ ἐναγόμενος. καὶ βι. ζ', τί. ε' κε. πη'* (= 81) *καὶ τί. ιε' καὶ βι. ξ' τί ε'. καὶ τί μβ' κε. ιγ'. καὶ τοῦ παρ(όν)τ(ος) βι. τί δ' κε. δ' καὶ τοῦ ξ' βι. τί. μα' κε. κα' καὶ βι. μς' τί. ς' περὶ δὲ ὑπερώων ἐκδικουμένων ζήτ(ει) βι. νη' τί. ιη'. περὶ δὲ τοῦ ἐν εἰδή(σει) ἀγοράσαντ(ος) ἀλλότριον, εἰ ἐκνικᾶται, πότε ἐκπίπτει τῆς τιμῆς ὁ ἀγοραστὴς ἢ μή, ἀνά(γνωθι) βι. ιθ' τί. ιθ' κε. κη' οὗ ἡ ἀρχὴ Ὁ ἐν εἰδή(σει) ἀλλότρ(ιον) ἢ ὑποκείμενον ἀγοράζων. περὶ τοίνυν ἐκνική(σεως) ἀνά(γνωθι) τὸν ὅλον τί. τοῦ ιθ' βι. ἤγουν τόν τε ια' καὶ ιθ'.*

ΤΙ(ΤΛΟΣ) β'. Περὶ τῆς κατὰ πραγμ(ά)των ἀγωγῆς καὶ τίνες δύνανται ταύτ(ῃ) κινεῖν.

(1) *Καὶ ὅτι ὁ κατὰ παράδοσιν λαβὼν παρὰ μὴ δεσπότ(ου) ἐξ εὐλόγ(ου) αἰτ(ίας) καὶ μὴ διὰ χρή(σεως) δεσπόσας ἔχει τὴν πουβλικιανήν. ὁ γὰρ διὰ χρή(σεως) δεσπόσας ἔχει τὴν πολιτικήν.* (3) *Καὶ τῷ [κατ'] εὔλογον αἰτ(ίαν) λαβόντι πρᾶγμα καὶ ἐκπεσόντ(ι) δίδοται καὶ τῷ ἀγοραστῇ καὶ τῷ ἀπὸ προικὸς καὶ τῷ ἀπὸ δικαστικῆς κρί(σ)εως* (4) *ἢ καταβολῆς χάριν* (6) *ἢ ἐκδόσεως* (7) *ἢ προσκυρώσεως. καὶ ὅτε παράσχῃ τις τὴν διατίμησιν τῆς δίκης. καὶ περὶ τοῦ ἀπὸ μαινομένου ἀγοράζοντος ἐν ἀγνοίᾳ. καὶ τοῦ λαβόντος κατὰ δωρεάν, πῶς ἔχει κατὰ τοῦ δωρησαμένου τὴν πουβλικιανήν. καὶ ὁ ἀγορά(σ)ας ἐν ἀγνοίᾳ παρὰ νέου καὶ λαβὼν κατὰ ἀνταλλαγήν. καὶ ὅτι ἡ πουβλικιανὴ μίμησιν ἔχει δεσποτείας καὶ οὐ νομῆς. καὶ περὶ τοῦ ἐὰν ἐνῆγόν σοι περὶ πράγμ(α)τος καὶ ἐξ ἐπαγωγῆς σου ὤμοσα τὸ πρᾶγμα ἐμὸν εἶναι, πῶς ἔχω κατὰ σοῦ μόνον τὴν πουβλικιανήν. εἰ δὲ σὺ ὤμοσας*

---

14 libri 46 tit. 6 non extat in Ed. | 20-21 *καὶ τίνες ... κινεῖν* verba desiderantur in Ed. | 24 cap. 2 Editionis deest in Tipuc. | 27 cap. 5 item

μὴ εἶναι ἐμόν, ἀγωγὴν μὲν οὐκ ἔχεις, παραγράφῃ δέ με ἐνάγοντ(α). καὶ ὅτι τὰ περὶ τῆς ἐπὶ πραγμ(ά)τ(ων) ἀγωγ(ῆς) εἰρημένα καὶ περὶ τῆς πουβλικιανῆς λέγομεν. καὶ ἁρμό(ζει) κληρονόμ(οις) καὶ διαδόχ(οις). ἁρμό(ζει) ἡ πουβλικιαν(ή), εἰ καὶ δοῦλ(ός) μου ἀγορά(σῃ) ἢ κηδεμὼν ἢ προκουράτ(ω)ρ ἢ ἄλλος διοίκ(ησίν) μου πράττων καὶ ἐκπέσω τῆς τούτ(ου) νομῆς. πλὴν οὐ παντὶ ἀγοραστῇ, ἀλλὰ τῷ καλῇ πίστει ἁρμό(ζει). καὶ οὐ βλάπτει αὐτὸν ὁ δόλ(ος) τοῦ πράτ(ου). καὶ περὶ δόλ(ου) τοῦ καλῇ πίστει διαδόχου, πῶς οὐ βλάπτεται. εἰ δὲ δόλ(ον) ποιή(σῃ) ὁ ἀγοραστής, ὁ διάδοχος αὐτοῦ βλάπτεται. καὶ τίνων ὁ δόλ(ος) σκοπεῖται | τοῦ δούλ(ου) ἀγοράσαντ(ος), **56r** *τοῦ δούλ(ου) ἢ τοῦ δεσπότ(ου). καὶ ὅτι ὁ δόλ(ος) ἐν τῷ καιρῷ τῆς ἀγορασ(ίας) σκοπεῖται, οὐ μὴν ὁ πρὸ τούτ(ου) ἢ μετὰ ταῦτα. καὶ ὅτι, πρὶν ἢ παραλάβῃ τὸ πρᾶγμά τις, οὐκ ἔχει τὴν πουβλικιανήν, κἂν καλῇ πίστει ἀγορά(σῃ).* (8) *Καὶ οὐ ζητοῦμεν, εἰ κατεβλήθ(η) τὸ τίμημα.* (9,1) *Καὶ περὶ τοῦ τὸ παρατεθὲν ἢ χρησθὲν ἢ ἐνεχυριασθὲν αὐτῷ ἀγοράσαντ(ος). καὶ ἐὰν ἡ παράδοσις προλαμβάν(ῃ) τὴν πρᾶ(σιν) ἢ κληρονομίαν καὶ παραλάβῃ τὰ πράγματ(α). δοκοῦσι γὰρ παρειληφέναι. καὶ ἐὰν δυσὶ τὸ αὐτὸ πρᾶγμα κεχωρισμένως πραθ(ῇ) καλῇ πίστει, ποῖός ἐστι κρείττων, ὁ λαβὼν ἢ ὁ νεμόμενος. καὶ ὅτι οὐκ ἔχει χώραν ἡ πουβλικιανὴ ἐπὶ τῶν μὴ διὰ χρή(σ)εως κυριευομένων, οἷον τῶν κλοπιμαίων καὶ τοῦ φυγάδ(ος). ἁρμό(ζει) ἡ πουβλικιανὴ καὶ περὶ τῶν παραδοθ(έν)τ(ων) ἐξ ἀγορασίας κληρονομιαίων δούλ(ων) τῷ κληρονόμῳ μήπω τῆς κληρονομίας ὑπεισελευσθείσης. καὶ τῇ πό(λει) περὶ τῶν δοθέντων δούλῳ αὐτῆς καὶ ἀφαιρεθέ(ν)τ(ων).* (11) *Καὶ εἰ τὸ ἀγορασθὲν ἐξ ἐμοῦ σοι παραδοθ(ῇ) γνώμῃ μου. καὶ περὶ χρή(σεως) καὶ δουλειῶν συστασῶν διὰ παραδό(σ)εως ἢ ἀνεξικακίας. καὶ ὅτι τὸν συλληφθέντα παρὰ τῷ καλῇ πίστει ἀγοραστῇ ἐκ τῆς κλοπιμαίας διὰ τῆς πουβλικιανῆς ὁ ἀγοραστὴς ἀπαιτεῖ κἂν μὴ ἐνεμήθ(η) αὐτοῦ. καὶ εἰ μὴ ἠγόρασα, ἀλλ' ἐδωρήθ(η) μοι ἡ κλοπιμαία, ἀνά(γνωθι) διαστίξεις περὶ κλοπιμ(αί)ας καὶ τοκετοῦ αὐτῆς. καὶ ὅτι καὶ καταπίπτοντ(ος) τοῦ οἴκου τοῦ ἀγορασθέ(ν)τ(ος) ἁρμό(ζει) περὶ τῶν προσθηκῶν αὐτοῦ ἡ πουβλικιανή. καὶ περὶ τῶν ἐκπεσόν[τ]ων μερῶν τοῦ ἀγορασθέντος ἀδριάντος καὶ τοῦ κτισθέ(ν)τ(ος) οἴκου ἐν τῷ ἀγορασθέντι ἐδάφει καὶ ἐπὶ τῷ ἐδάφει τοῦ ἀγορασθέντος καὶ καταπεσόντος οἴκου.* (12) *Καὶ ἐὰν μνηστὴρ μνηστῇ δωρήσηται δοῦλ(ον) ἀλλότρ(ιον). καὶ ὅτι ἔρρωται ἡ μεταξὺ μνηστ(ή)ρων δωρεά. καὶ ποίαν ἡ μνηστὴ μὴ νεμομένη ἔχει ἀγωγ(ὴν) ἤγουν τὴν πουβλικιαν(ὴν) καὶ νεμομένη παραγρα(φήν). ἁρμό(ζει) καὶ τῷ καθ' ὁμάδα δι' ἀποκαταστά-*

---

22 *καὶ ἀφαιρεθέντων* verba desiderantur in Ed. | 22 cap. 10 Editionis deest in Tipuc.

---

1 *παραγράφεις* Ed. | 22 *δοθέντων δούλων* | 27 *ἐνεθυμήθη*

(σεως) ἀξιωθ(έν)τ(ι) λαβεῖν τι, κἂν τῆς νομῆς οὐκ ἐπελάβετο. καὶ ἐπὶ τῶν ἐμφυτευτικῶν καὶ τῶν ἄλλων τῶν μὴ δυναμένων διὰ χρή(σεως) κυριευθῆναι καὶ ἐπὶ τοῦ ἀγορασθέ(ν)τ(ος) καλῇ πίστει παρὰ μὴ δεσπότου ἐνοικικοῦ οἰκήματος, οὐ μὴν τῶν ὑπὸ τοῦ νόμου κεκωλυμένων ἐκποιεῖσθαι, τυχὸν τάφων καὶ τῶν ἐκκλησιαστικῶν ἀκινήτων καὶ ἐπὶ νηπ(ίῳ) δούλ(ῳ) καὶ ἐπὶ μέρει πράγματ(ος) καὶ τῷ ἀκαριαίως νεμηθέντ(ι). (13) Καὶ τῷ ἐξ οἱασδήπ(ο)τ(ε) εὐλόγου αἰτίας λαβόντι πρᾶγμα ἁρμό(ζει), εἰ ἐκπέσῃ αὐτοῦ. οὐκ ἔχει τὴν πουβλικιανὴν ὁ λαβὼν ἐνέχυρον,· εἰ καὶ δικαία ἐστὶν ἡ νομή, ἢ κατὰ παράκλησιν. καὶ ὅτι ὁ ἀγοράζων ἀπὸ ἀνήβου δεικνύειν ὀφείλ(ει) συναινέ(σει) τοῦ ἐπιτρόπου νομίμως ἠγορακέναι. καὶ ὁ κατὰ ἀπάτ(ην) συναινέ(σει) τοῦ πλαστοῦ ἐπιτρόπου ἀγορά(ζ)ων καλῇ πίστει ἀγοράζει. (14) Καὶ περὶ τοῦ ἐὰν ἐπίτροπ(ός) σου πωλ(ήσῃ) μοι πρᾶγμα σὸν ἢ ὁ προκουράτ(ω)ρ σου καὶ διαμαρτύρῃ αὐτὸν μὴ παραδοῦναί μοι, καλῶς παραδίδω(σι) καὶ τὸ ἀσφαλὲς ἔχω, καὶ νεμόμενος καὶ ἐνάγων. εἰ δὲ μὴ παραγραψάμενος παράσχω σοι τὸ πρᾶγμα, κινῶ κατὰ τοῦ προκουράτ(ω)ρ(ος) τὴν ἐπὶ τῇ πρά(σει) ἀγωγήν. (15) Ἔχω τὴν πουβλικιανήν, καὶ εἰ ὁ φυγὰς δοῦλ(ός) μου ἀλλότρ(ιον) ἀγορά(σῃ). (16) Καὶ ὅτι ἡ παραγρα(φὴ) τῆς νομίμου δεσποτείας ἀντίκειται τῇ πουβλικιανῇ. (17) Καὶ ὅτι ἡ πουβλικιανὴ οὐκ ἀποκλείει με τῆς δεσποτ(είας) τοῦ πράγματός μου. περὶ τοίνυν τῆς τοῦ πράγματος ἀγωγῆς καὶ τίνες δύναντ(αι) ταύτην κινεῖν, ζήτ(ει) βι. ζ' τί. ε' κε. ξδ' (= 63) οὗ ἡ ἀρχή Ἐπὶ τοῦ δόλ(ου) τὸ διαφέρον, οὐχ ὁ δικαστὴς ἀποτιμᾶται. ἀνά(γνωθι) καὶ τὸν α' τί. τοῦ ιθ' βι. καὶ τοῦ παρ(όν)τ(ος) βι. τὸν α' τί. μετὰ καὶ τῶν ἐν αὐτῷ παραπομπῶν. |

ΤΙ(ΤΛΟΣ) γ'. Περὶ ἀπαιτουμ(έ)νου συντελεστοῦ. 56v

(1) Καὶ ποῖοι τόπ(οι) καλοῦνται ἐμφυτευ(τι)κ(οί). καὶ ἔχουσιν οἱ λαβόντες αὐτοὺς ἐπ' αὐτοῖς ἀγωγ(ὴν) κατὰ παντὸς νομέως, κἂν μὴ δεσπόζωσιν. (3) Ὡσαύτως καὶ οἱ λαβόντες πρόσκαιρον καὶ οὐκ ἐπληρώθη ὁ χρό(νος). ἀνά(γνωθι) τὸν η' τί. τοῦ νς' βι. μετὰ καὶ τῶν ἐν αὐτῷ παραπομπῶν. ἀνά(γνωθι) καὶ τὸν β' τί. τοῦ ε' βι. μετὰ τῶν ἐν αὐτῷ παραπομπῶν.

---

5 δούλῳ deest in Ed. | 12 ἐπιτροπῇ σου π. μοι π. σὸν ὁ προκ. σου Ed. | 27 cap. 2 Editionis deest in Tipuc.

---

27 πρὸς καιρὸν

ΤΙ(ΤΛΟΣ) δʹ. Περὶ παραστά(σεως) ἤγουν ἐπιδείξεως πραγμ(ά)τ(ων).

(2) *Καὶ τί ἐστι παραστῆ(σαι).* (3) *Καὶ τί ὀφείλει λέ(γ)ειν ὁ ἐνάγων καὶ ποῖα τοῦ πράγματος γνωρίσματ(α), οὐκ ὀφείλ(ει) δὲ δεικνύειν ἑαυτὸν δεσπότ(ην). καὶ πῶς ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ μετὰ ταξατίωνος ὁ μὴ πειθαρχῶν. καὶ τίσιν ἁρμό(ζει) ἡ παραστατικ(ή), ἀνά(γνωθι), ὡρ(αῖόν) ἐστι. λέγει γὰρ καὶ τῷ ἔχοντι χρῆ(σιν) καὶ τῷ ἔχοντι παραγγελ(ίαν) κριτ(οῦ) ἢ ἐπιλογὴν ἢ νοξαλίαν ἐπὶ τῷ παραστῆσαι τὴν φαμ(ι)λ(ίαν) καὶ τὴν τῆς ἀσφαλ(είας). καὶ ὅτι πλὴν τοῦ κληρονόμ(ου) διαθήκ(ην) ἢ κωδίκελλο(ν) ἢ ἑτέραν τελευταίαν βουλὴν οὐδεὶς ἀπαιτεῖ διὰ τῆς παραστατ(ικῆς), ἀλλὰ διὰ παραγγελιῶν δικαστῶν. σημείωσαι, ὅτι διὰ ἰντερδίκτων λέ(γει). καὶ [ὅτι] ἐπὶ τοῖς, οἷς διαφέρει, κἂν μὴ αὐτῶν ᾖ τὸ πρᾶγμα μήτε τὴν ἐπ' αὐτ(ῷ) ἀγωγὴν ἔχωσι[ν], ἁρμό(ζει), ὡς ἔνθα ληγατευθῇ μοι δοῦλος, ὃν Πέτρος ἐπιλέξεται. κινῶ γὰρ ἐπὶ τῷ παραστῆναι, ἵνα Πέτρος ἐπιλέξηται. καὶ ὅτι οὐ πᾶς, ᾧτινι διαφέρει, ἀλλ' ᾧτινι διαφέρε δικαίως, κινεῖ. καὶ ἀνά(γνωθι), θεώρημα καλόν. καὶ περὶ τοῦ ἐὰν εὐλόγως νομεὺς παραγράφητ(αι) ἢ ἀμαυρά ἐστιν ἡ παραγραφὴ ἢ μακροτ(έ)ρ(ας) χρήζει ζητή(σ)εως, τί δεῖ γενέσθαι. καὶ τίνας παραγραφὰς ζητεῖ ὁ τῆς παραστά(σ)εως δικαστής καὶ ὅτι, ἔνθα μὴ δύνατ(αι) κινηθῆναι ἡ παραστατική, ἔσθ' ὅτε ἡ ἰμφακτοὺμ κινεῖται. καὶ ὅτι τῇ παραστατ(ικῇ) καὶ ὁ πολιτικῶς καὶ ὁ φυσικῶς νεμόμενος, ὅθεν καὶ ὁ λαβὼν τὸ πρᾶγμα εἰς ἐνέχυρον* (4) *ἢ παραθήκ(ην) ἢ ἐν χρή(σει) ἢ μισθώ(σει) ἐνάγεται.* (5) *Καὶ περὶ τοῦ ἐάν τις ἐπὶ τῷ μεταγαγεῖν φορτ(ία) μισθωσάμενος ἀπόθηται ταῦτα ἐν ὡρείῳ αὐτὸ(ς) καὶ κληρονόμος αὐτοῦ ἐνάγεται τῇ παραστα(τικῇ) αὐτῶν. εἰ δὲ μή ἐστι κληρονόμος, ἐνάγεται ὁ ὡρειάριος. πᾶς γὰρ ἔχων εὐχέρειαν παραστῆ(σαι) ἐνάγεται τῇ παραστατικ(ῇ) ἀγωγ(ῇ). καὶ ὁ δανειστὴς καὶ ὁ ληγατ(ά)ρ(ιος) πεμφθέντες εἰς νομὴν ἐνάγονται. καὶ ὁ χρῆ(σιν) ἔχων, ἐνάγεται καὶ ὁ ἀγοραστὴς νεμόμενος τὰ ἀποσπώμενα καὶ τεμνόμενα ἐκ τῶν ἀγρῶν. καὶ μὴ ἀποκαθιστῶν αὐτὰ ἢ δόλ(ῳ) παυσάμενος ἐνάγεται τῇ παραστατικῇ καὶ τῷ ἐνδίκῳ ὅρκῳ ὑπόκειται. καὶ ὅτι διὰ τῆς παραστατικῆς ἀγωγῆς τὴν κόπρον, ἥν συνήγαγες ἐν τῇ αὐλῇ μου, λαμβάν(εις). καὶ τὴν σχεδίαν μου διὰ ταύτ(ης) λαμβάνω, ἐὰν ἡ βία τῶν ἀνέμων εἰς τὸν ἀγρόν σου καταγάγῃ ἀσφαλιζόμενός σε περὶ τῆς παρελθούσης καὶ μελλούσης ζημίας. ὥσπερ ταύτ(ην) ἐνάγ(ω), καὶ ἐὰν ἀπὸ συμπτώματ(ος) πέσῃ τι εἰς τὴν αὐλήν σου. καὶ εἰ νέμεταί τις, οὐ μὴν*

8-9 *καὶ τὴν τῆς ἀσφαλείας* verba desiderantur in Ed. | 11 *σημείωσαι — λέγει* verba desiderantur in Ed.

---

8 *παραστῆναι* | 11 *σημείωσαι — λέγει* in marg. | 18 *καὶ καὶ τίνας* | 19 *παραστικὴ*

δύναται παραστῆσαι, οὐκ ἐνάγεται, ὡς ἐπὶ τοῦ φυγάδ(ος). δίδω(σι) δὲ ὁ δεσπότ(ης) ἀσφάλ(ειαν). τὸ αὐτό, εἰ καὶ ἐπετράπ(η) παρὰ τοῦ δεσπότ(ου) διάγειν, ἔνθα βούλεται, ἢ ἐπὶ ξένης ἐπέμφθη ἢ εἰς τὰ χωρία αὐτοῦ. (6) Οὐ κινεῖται ἡ ἐκδικοῦσα καὶ ἐπὶ τῷ ἐμβεβλημένῳ λίθῳ ἀλλοτρ(ίῳ) δακτυλ(ίῳ) ἢ ζῳδ(ίῳ), κανδηλάβρῳ, ἀλλ' ἡ παραστατικὴ ἐπὶ τῷ χωρισθῆ(ναι). ἕτερόν ἐστιν ἐπὶ τῶν κτισμάτων. οὐ γὰρ ἡ παραστατικὴ ἀγωγή, ἀλλ' ἡ τῶν διὰ πυρὸς ἡνωμένων ἀγωγὴ εἰς τὸ διπλοῦν κινεῖται. (7) Καὶ ὅτι τῇ τοῦ ξύλ(ου) προσηγορίᾳ πᾶ(σα) ὕλη περιέχεται ἐνεχ(ομένη) τῇ παραστατικῇ. καὶ εἰ τὸν τροχόν μου ἐμβάλ(ω) τῇ ἁμάξῃ σου. καὶ τὸ αὐτὸ καὶ ἐπὶ σανίδος ἐμβαλλομένης ἀρμαρίῳ ἢ πλοίῳ καὶ ὠτίου σκύφῳ καὶ ἐμβλημάτων φιάλῃ καὶ πορφύρας ἐσθῆτι καὶ χειρὸς | ἀνδριάν(τι). καὶ 57r πό(λις) ἐνάγεται καὶ σωματ(εῖον) καὶ σύστημα. καὶ εἰ ἐν τῇ προκατάρξει ὁ ἐναγόμενος οὐ νέμεται, πρὸ ψήφου δὲ νεμηθ(ῇ), καὶ μὴ ἀποκαθίστησι. καὶ τί ὀφείλ(ει) δεικνύειν ὁ ἐνάγων, τουτέστιν, ὅτι διαφέρει αὐτῷ ἡ ἀποκατάστασις καὶ ἐν τῇ προκατάρξει καὶ ἐν τῷ καιρῷ τῆς ψήφου. (8) Καὶ ἐὰν ὁ ἐναχθεὶς μήτε νέμεται μήτε δόλ(ῳ) ἐπαύσατ(ο) καὶ τελευτή(σῃ), ὁ δὲ κληρονόμ(ος) αὐτοῦ νέμεται, πῶς ἀναγκάζεται παραστῆσαι. (9) Καὶ περὶ τοῦ ἐὰν φονεύσῃ τὸν δοῦλ(ον), ὃν ἐνέμετο, ἢ καὶ μεταγάγῃ πρὸς ἕτερον ἢ διαφθείρῃ, ἐνάγεται ὡς δόλ(ῳ) παυσάμενος. τὸ αὐτὸ καὶ ἐπὶ οἴνου, ἐλαίου καὶ ἄλλου τινὸς σκορπισθέ(ν)τ(ος) ἢ ἐκχυθέντος. καὶ περὶ τοῦ, εἰ φαίνεται ὁ καρπὸς ὁ πεσὼν εἰς τὸν σὸν ἀγρὸν ἐκ τῶν δένδρων μου ἢ δόλῳ κατεβόσκησας, ποῖαι ἀγωγαὶ δίδονταί μοι, ὁμοίως, εἰ καὶ ὕλην κατενεχθεῖσαν εἰς τὸν ἀγρόν σου κωλύσεις με λαβεῖν. καὶ περὶ τοῦ κατὰ δόλ(ον) εἰς ἕτερον μεταγαγόντος τὸ πρᾶγμ(α) ἢ μετασχηματίσαντος εἰς ἕτερον εἶδος, ὅτι κἂν παραστήσ(ῃ) αὐτό, ἐνάγεται ὡς δόλῳ παυσάμενος τῆς νομῆς. καὶ περὶ τοῦ ἐὰν ὑπὸ αἵρε(σιν) ληγατευθ(ῇ) μοι ι' νομίσματα καὶ σοὶ χωρὶς αἱρέ(σεως) ἡ χρῆ(σις) αὐτῶν καὶ παράσχῃ σοι αὐτὰ χωρὶς ἀσφαλ(είας) ὁ κληρονόμ(ος), πότε ἔχω τὴν παραστατικὴν κατὰ τοῦ κληρονόμ(ου) ἢ μή. καὶ τί ἐστι τὸ παραστῆσαι. καὶ πῶς εἰδοποιεῖται ἡ παράστασις. καὶ ὅτι καὶ ὁ τοκετ(ὸς) ἀποκαθίσταται καὶ πᾶν χρήσιμον τοῦ ἐνάγοντος ἐκ τοῦ μὴ παραστῆ(ναι) ἢ βραδύτερον παραστῆναι ἀπολλύμενον. (10) Καὶ περὶ τοῦ ἐὰν ληγατευθ(ῇ) μοι ἐπιλογὴ εἴσω ῥητ(οῦ) χρό(νου) καὶ ὁ κληρονόμ(ος) ἐμποδίσας μετὰ τὸν χρό(νον) παραστή(σῃ). (11) Καὶ περὶ τοῦ ἐὰν ἀπόληται κληρονομία ἐκ τοῦ μὴ παραστῆναι τὸν δοῦλ(ον). καὶ ποῦ ὀφείλ(ει) παρίστασθαι τὸ πρᾶγμα καὶ δαπανήμα(σι) τίνος. εἰ δὲ δοῦλ(ός) ἐστι, τίς τρέφει αὐτὸν καὶ ἐνδύει. καὶ εἰ παρατεθ(ῇ) τῇ τάξει, τίς τρέφει αὐτόν. καὶ εἰ ὁ νεμόμενος ἐξεπίτηδες [αὐτὸν] εἰς ἕτερον τόπ(ον) μετέστη(σε).

5 κανδηλαῦρα | 10 ἐμβαλομένης | 26 ι' ii | 31 ἀπολόμενον | 34 ἀπόλληται

καὶ περὶ τοῦ εἰ ἀδόλως μετὰ προκάταρξιν παύσηταί τις νέμεσθαι. (12) *Ἔχει τὴν παραστατικὴν καὶ ὁ θέλων ἐκδικῆ(σαί) τινα εἰς ἐλευθ(ε)ρ(ίαν). καὶ ὅτι ἐκ τῆς αὐτῆς αἰτ(ίας) ἐὰν πολλάκις κινῆται ἡ παραστατική, χώρα τῇ παραγρα(φῇ), οὐ μὴν ἐξ ἑτέρας. τυχὸν γὰρ ὡς δεσπότ(ης) ἢ ὡς κλαπεὶς ἢ ὡς ἔχων ἐπιλογὴν ἐκίνη(σα) καὶ ἐξεβλήθ(ην) ὡς μὴ δεσπότ(ης). καὶ μετὰ τὸ κριθῆναι τὸ πρᾶγμα νέαν δεσποτ(είαν) ἐπ' αὐτῷ ἐκτησάμην ἢ ἐπιλογὴ ἑτέρα ἐληγατεύθ(η) μοι ἢ κλοπ(ὴν) ἑτέραν ὑπέστην παρ' αὐτοῦ. καὶ περὶ τοῦ ἐν εἰδή(σει) ποιήσαντος ἐκ τῶν ἐμῶν ἐλαιῶν ἢ σταφυλῶν ἢ ἐρέας ἔλαιον ἢ οἶνον ἢ ἐσθῆτα, πῶς ἐνάγεται τῇ παραστατ(ικῇ). καὶ πότε ὁ ἐναγόμενος καταδικάζεται, εἰ καὶ χωρὶς δόλ(ου) καὶ ῥᾳθυμ(ίας) ἀποθά(νῃ) μετὰ προκάταρξιν ὁ δοῦλ(ος). ζήτ(ει) περὶ τούτ(ου) καὶ βι. θ', τί. γ' κε. πε'* (= 73) *οὗ ἡ ἀρχή Ἐὰν ἐπὶ τῇ καταδίκῃ ὑπέρθητ(αι) ὁ ἐναγόμενος. καὶ περὶ τοῦ εὐλόγως παραχρῆμα μὴ δυναμένου παραστῆσαι, πῶς ἀσφαλίζεται καὶ οἱ τῶν ἐναγομένων κληρονόμ(οι) οὐχ ὡς κληρονόμ(οι) ὑποδέχονται ταύτην [τὴν ἀγωγὴν], ἀλλ' ἰδίῳ ὀνόματ(ι) ἐνάγονται ἢ ὡς κρύπτοντες ἢ νεμόμενοι τὸ πρᾶγμα ἢ δόλ(ῳ) παυσάμενοι νέμεσθαι, εἰ μὴ γέγο(νεν) ἐκ τοῦ δόλ(ου) τοῦ νομέως πλουσιωτ(έ)ρ(α) ἡ κληρονομία.*(13) *Καὶ ὅτι ὁ κατέχων ἄνθρωπον ἐλεύθ(ε)ρον, οὐ τῇ παραστατικῇ, ἀλλὰ κριτῶν παραγγέλματι ἐνάγεται.* (14) *Καὶ περὶ ἀνδρὸς παρασχόντος εἰς ἀγορα(σίαν) πραγμάτων τινὸς τὰ δωρηθέντ(α) αὐτῷ παρὰ τῆς γυναικὸς νομίσματα εἰδότος αὐτοῦ ἀλλότρ(ια) εἶναι, πῶς ἐνάγεται τῇ παραστατικῇ ἀγωγ(ῇ).* (15) *Καὶ περὶ τοῦ ἐὰν ᾖ θησαυρός μου ἐν τῷ ἀγρῷ σου καὶ μὴ μετακινήσ(ω) αὐτόν, ποία ἀγωγ(ὴ) δίδοταί μοι, εἰ μὴ πολλάκις ἔκλεψας αὐτόν. τότ(ε) γὰρ ἡ περὶ κλοπ(ῆς) δίδοται.* (16) *Καὶ περὶ τοῦ ποίαις ἀγωγαῖς ὑπόκειμαι, ἐφ' οἷς ὁ δοῦλ(ός) μου εἰδή(σει) μου ἢ χωρὶς τῆς ἐμῆς βουλ(ῆς) κατέχει.* (17) *Καὶ περὶ τοῦ χωλα(ν)θέ(ν)τ(α) ἢ τυφλωθ(έν)τ(α) παρα|στήσαντος τὸν δοῦλ(όν) μου, ποία ἀγωγ(ῇ) ὑπόκειται* **57ᵛ**
(18) *Καὶ ὅτι ὁ δανειστὴς καὶ μετὰ τὴν λῆψιν τοῦ χρέους κινεῖ τὴν ἀδεξιβενδοὺμ κατὰ τοῦ κατέχοντος τὸ γραμματεῖον πλὴν τοῦ χρεωστ(οῦ).* (19) *Καὶ ὅτι τὸ εἰρημένον, ὅτι πᾶς, ᾧτινι διαφέρει, κινεῖ τὴν παραστατικὴν ἀγωγ(ήν), οὐ πρὸς τὰ ῥήματα τοῦ νόμου δεῖ νοεῖν, ἀλλὰ τὴν ἔννοιαν. οὔτε γὰρ ἐκ τούτ(ου) ἀναγκάζομαι προσφέρειν [τῷ ἀντιδίκῳ] τὰ ὠφελοῦντα αὐτὸν δικαιώματα οὔτε παιδευτ(ὴς) τὰ βιβλία μου, ἐφ' ᾧ διὰ τῆς ἀναγνώσεως αὐτῶν ὠφεληθῆναι. σκόπ(ει) τὸ τέλος τοῦ η'* (= 7) *κε. ὅπερ φη(σίν)*

15-16 *ἢ ὡς κρύπτ. — νέμεσθαι* verba desiderantur in Ed. | 32-33 *ἀναγνώσεως αὐτόν* Ed. ; *ἀν. αὐτῶν* Harmenopulus

11-12 *ζήτει — ἐναγόμενος* in margine cum signo ⸓ ad *προκάταρξιν* spectante | 20 *γυναικὸς ii* | 24 *ὑπόκειται* | 31 *προσφέρειν αὐτῷ τὰ ὠφ.* | 33-36,1 *σκόπει — δεικνύειν* in margine sine signo

Ὁ ἐνάγων ὀφείλ(ει) δεικνύειν. (20) Καὶ ὅτι τῶν δούλων πλημμελησάντων ἡ παραστατικὴ κινεῖται πρὸς τὸ βασανιζομένους εἰπεῖν τοὺς συνίστωρας. (21) Καὶ περὶ ἀνδρὸς πωλή(σαντος) τὴν δούλ(ην) τῆς γαμετῆς αὐτοῦ, ποίας ἀγωγ(ὰς) δύναται κινεῖν ὁ υἱὸς αὐτῆς γραφεὶς κληρονόμος φαινομένης τῆς δούλ(ης) ἢ μή. (23) Καὶ ὅτι ταύτ(ῃ) [τῇ παραστατικῇ ἀγωγῇ] ἐνέχεται καὶ ὁ ἐναχθεὶς καὶ ἀπολυθείς, μετὰ ταῦτα δὲ νεμόμενος. (24) Καὶ ὅτι τῆς παραστατικῆς περὶ συμβολαίων κινουμένης, χώρα τῷ ἐνδίκῳ ὅρκῳ.(25) Καὶ κατὰ [τοῦ] νεμομένου καὶ τοῦ δόλῳ παυσαμένου κινεῖται ἡ παραστατική. (26) Καὶ περὶ τοῦ ἐὰν κατέχῃ τις τὰ δικαιώματά μου βίᾳ ἀφελόμενος ταῦτα, ὁπότερον βούλομαι, κινῶ, ἢ τὸ ἔγκλημα ἢ τὴν ἀδεξιβενδούμ. (27) Καὶ ὅτι πᾶς ὁ ἔχων εὐχέρειαν τοῦ ἀποκαταστῆσαι ἀλλότρ(ιον) καὶ δόλ(ον) ἢ ἀμέ(λειαν) ἁμαρτάνων εἰς τὸ μὴ παραγαγεῖν τὸ πρᾶγμα καταδικάζεται παραστατικῇ. ὁ δὲ χεῖρον γενόμενον τὸ πρᾶγμα παριστῶν τῇ ἰμφακτ(οὺμ) κατέχεται. (28) Καὶ ὅτι ὁ παραθέμενος καὶ ὁ κιχρῶν ἀλλότρ(ια) πράγμ(α)τ(α) ποιεῖ τὸν λαβόντα οὐ μόνον τῇ ἰνρέμ, ἀλλὰ καὶ τῇ ἀδεξιβενδοὺμ κατέχεσθαι τῷ δεσπότ(ῃ) τοῦ πράγμ(α)τ(ος). καὶ εἰ συνεφωνήθ(η) μεθ' ἑνὸς τῶν εἰρημένων ἀποκαταστῆσαι αὐτὸν τὸ δεπόσιτον ἢ κομοδάτον τῷ τούτων δεσπότ(ῃ), οὐ ποιεῖ αὐτὸν τῷ δεσπότ(ῃ) τοῦ πράγμ(α)τ(ος) τῇ δεποσίτ(ου) εὐθύνεσθαι ἢ κομοδάτ(ι). (29) Καὶ ὁ χρεώστης καταβαλών, ἅπερ ἐποφείλ(ει), κινεῖ τὴν παραστατικὴν ἀπαιτῶν τὸ χειρόγραφον καὶ τὰ ἄλλα δικαιώμ(α)τ(α). περὶ τοῦ, πῶς οὐ δύναται ὁ πατὴρ ἀπαιτεῖν τὸν γαμβρὸν παραστῆσαι τὴν θυγατ(έ)ρ(α) αὐτοῦ, ὁ δὲ γαμβρὸς δύναται ἀπαιτεῖν τὸν πατέρα αὐτῆς, ζήτ(ει) βι. λα' τί. β' κε. ιθ' (= 12,1) οὗ ἡ ἀρχή Οὐ δύναται ὁ πατὴρ ἀπαιτεῖν γαμβρόν. περὶ τοίνυν παραστά(σεως) πράγματ(ος) ζήτ(ει) βι. ζ' τὸν ιε' τί. καὶ τὰς ἐν αὐτῷ παραπομπ(άς). καὶ βι. ξ' τί. ε' κε. κα' θέ. α' οὗ ἡ ἀρχή Ὁ ὁμολογούμενος δεσπότ(ης) καὶ ὁ καλῇ πίστει νομεύς. καὶ τί. λε' ὅς φη(σι) Καὶ αὐτὸς περὶ παραστά(σε)ων καὶ παραφυλακῆς ὑπευθύνων. ἀνά(γνωθι) δὲ καὶ τὸν α' τί. τούτ(ου) τοῦ βι. αὐτὸς γάρ φησι τὰ ἀναγκαιότ(ε)ρ(α). καὶ βι. ξ' τί. ιβ' ὅλον καὶ μάλιστα τὸ ι' κε. ἄχρι τοῦ ις' κε. περὶ τοῦ, τίνες δύνανται κινεῖν.

---

5 cap. 22 Editionis desideratur in Tipuc. | 24 ἀπαιτεῖν τὸν γαμβρόν Ed.

---

17 δεσπόσετον | 19 δεσποσίτου

ΒΙ(ΒΛΙΟΝ) ις΄. ΤΙ(ΤΛΟΣ) α΄.

Περὶ χρή(σεως) καρπῶν.

(1-2) *Καὶ τί ἐστι χρῆ(σις) καρπῶν.* (3) *Καὶ ὅτι πάντων τῶν ἀγρῶν ἡ χρῆ(σις) τῶν καρπῶν διὰ ληγάτ(ου) συνίσταται. καὶ διὰ συμφώνων συνίσταται χρῆ(σις) καὶ ἐπερωτή(σε)ων ἔν τε οἰκήμα(σι) καὶ δούλ(οις) καὶ ὑποζυγίοις καὶ λοιποῖς πράγμα(σι). καὶ πῶς φθείρεται καὶ ἡ ψιλὴ χρῆ(σις).* (4) *Καὶ ὅτι ἐν πολλοῖς θέμα(σι) μέρος ἐστὶν ἡ χρῆ(σις) τῶν καρπῶν τῆς δεσποτ(είας).* (5) *Καὶ ὅτι ἐκ μέρ(ους) ἡ χρῆ(σις) τῶν καρπῶν ἀδιαιρέτως καὶ διῃρημένως συνίσταται καὶ τῷ χρό(νῳ) φθείρεται καὶ μειοῦται διὰ φαλκιδίου. καὶ τοῦ ἐναγομένου τελευτῶντ(ος) ἡ ἀγωγὴ διαιρεῖται τῆς χρή(σεως) τῶν καρπῶν εἰς τοὺς κληρονόμ(ους). καὶ τί γίνεται τοῦ ἑνὸς τῶν κοινωνῶν διεκδικοῦντος τὴν ἐκ τοῦ κοινοῦ ἀγροῦ χρεωστουμένην χρῆ(σιν) τῶν καρπῶν.* (6) *Καὶ ὅτι ληγατεύεται χρῆ(σις) καρπῶν καὶ ψιλὴ δεσποτεία. καὶ περὶ τοῦ, ὅτι ἐν τῷ διαιρετικῷ τῆς φαμιλ(ίας) τῶν κληρονομιαίων πραγμάτων καὶ τῶν ἐπικοίνων ὁ δικαστὴς δύναται τῷ μὲν τὴν δεσποτ(είαν), τῷ δὲ τὴν χρῆ(σιν) τῶν καρπῶν ἀπονεῖμαι. καὶ δι' ὑπεξουσίων ¦ κτώμε(θα)* 58r *χρῆσιν. καὶ τῷ δούλ(ῳ) ληγατεύεται δεσποτ(εία) γραφομένῳ κληρονόμ(ῳ).* (7) *Καὶ ὅτι πᾶς πόρος τῷ τὴν χρῆ(σιν) ἔχοντι τῶν καρπῶν ἀνήκει, ὁ δὲ δεσπότ(ης) ὑψοῦν τὸν οἶκον ἄκοντος αὐτοῦ οὐ δύναται οὔτε ἐν τῷ ὑπαίθρῳ οἰκοδομεῖν. καὶ τίνα δύναται ὁ τὴν χρῆ(σιν) ἔχων ἀνανεοῦν. καὶ ποῖα οὔτ' αὐτὸς οὔθ' ὁ κληρονόμος ἀναγκάζεται ἀνανεοῦν. εἰ δ' ἀνανεώσῃ, κέχρηται καὶ αὖθις ὁ τὴν χρῆ(σιν) ἔχων. καὶ τίνα δίδω(σιν) ὁ τὴν χρῆ(σιν) ἔχων, ὥσπερ δηλαδὴ τὰ δημό(σια). Καὶ ποῖα οὐ κωλύεται ὁ τὴν χρῆ(σιν) ἔχων ποιῆσαι. καὶ ὅτι οὔτε πλεονάσαι οὔτε χρήσιμόν τι δύναται καταγαγεῖν.* (8) *Κἂν εἰ μέλλοι κάλλιον ἀνανεοῦν αὐτό.* (9) *Καὶ ποῖα ἀναγκάζεται ὁ τὴν χρῆ(σιν) ἔχων ποιεῖν. καὶ ποίαν προσθήκην κέκτηται κατὰ χρῆ(σιν) καὶ ποίαν οὔ. καὶ ποῖα ἀνήκουσιν αὐτῷ καὶ ποῖα οὔ. καὶ τίνα ἀνανεοῖ καὶ ποῖα οὐ δύνατ(αι) πιπράσκειν καὶ ποίοις κέχρηται.* (10) *Καὶ περὶ καυσίμ(ης) ξυλῆς καὶ τῆς μὴ τοιαύτ(ης), ἐφ' οἷς δεῖ αὐτὸν λαμβάνειν.* (11) *Καὶ ποῖα δένδρα*

---

17 *γραφομένου κληρονόμου* Ed. | 19-20 *οὔτε... οἰκοδομεῖν* verba desiderantur in Ed.

---

13 *ψιλὴ χρῆ(σις)* | 21 *ἀνανεώσει* | 25 *μέλοι* | 28 *ξυλείας*

οὐ δύναται κόπτειν. (12) Καὶ τῶν ἀποσπασθ(έν)των καὶ βίᾳ τοῦ ἀνέμου πεσόντων καὶ ἐργασίμ(ης) ξυλ(ῆς) καὶ ἀσβέστου καὶ ψάμμου. καὶ ὅπως δύναται παραχωρεῖν ἑτέρῳ καρπίζεσθαι καὶ μισθοῦν καὶ πιπράσκειν καὶ δωρεῖσθαι καὶ κατὰ παράκλησιν λαμβάνειν τοὺς καρπούς. καὶ πῶς δοκῶ κεχρῆσθαι, κἂν ἄλλος πρᾶγμά μου πράττων μισθώσῃ ἢ νεμηθῇ. καὶ περὶ τοῦ ἐὰν δοῦλ(ος), καθ' οὗ ἔχω τὴν χρῆ(σιν), φυγὰς ὢν ἐπερωτ(ήσῃ) ἢ οὐκ ἐπερωτ(ήσῃ) τι ἢ λάβῃ ἐκ πράγματός μου, πῶς ἔχω τὴν χρῆ(σιν). ἐφ' οἷς δὲ οὐκ ἐπερω(τήσω), εἰ δράξηταί τις τῆς νομῆς αὐτῶν, πῶς ἀπόλλυτ(αι), ἀνά(γνωθι). ἔχει γάρ τινας διαστίξεις. εἰ δὲ ἐκ τῶν πραγμάτων τοῦ τὴν χρῆ(σιν) ἔχοντος ἐπερωτ(ήσω), τότε οὐκ ἀπόλλυτ(αι) ἡ χρῆ(σις), κἂν οἱοσδήποτέ τις ταύτ(ην) νέμηται. καὶ περὶ τοῦ ἐὰν κλέπτης πεπείρους τοὺς καρποὺς ὄντας κόψῃ, πῶς ὁ δεσπότ(ης) ἔχει τὴν τοῦ πράγματ(ος) ἀπαίτη(σιν), ὁ δὲ τὴν χρῆ(σιν) ἔχων τὴν περὶ κλοπ(ῆς). παρεισάγει δὲ καὶ ληγάτ(ον) ὑπὸ αἵρε(σιν) καταλειφθέν, τίνι ἀνήκει πρὸ τῆς ἐκβάσεως, καὶ ὑποβαλλομένην γονήν, καὶ δοῦλον παραδιδόμενόν τινι εἰς χρῆ(σιν), ἕως οὗ καταβληθ(ῇ) τὸ ὑπὲρ τούτ(ου) τίμημα. (13) Καὶ περὶ τοῦ, ἐπὶ ποίοις ἐνέχεται ὁ τὴν χρῆ(σιν) ἔχων. καὶ περὶ τοῦ ἐὰν δύο χρῆ(σιν) ἔχοντες φιλονεικοῦσι, τί δεῖ αὐτοὺς ποιῆσαι. καὶ ὅτι ὁ τὴν χρῆ(σιν) ἔχων κρείττονα δεῖ αὐτὸν τὴν αἵρε(σιν) τοῦ δεσπότ(ου) ποιεῖν. καὶ μὴ κόπτειν κάρπιμα δένδρα οὔτε τὰ πρὸς τέρψιν δένδρα. καὶ τίνα δύναται συνιστᾶν ἐν τῷ ἀγρῷ ἢ οἰκοδομεῖν ἢ μὴ ἢ ποιεῖν ἢ μὴ ποιεῖν ἐν τῷ οἴκῳ ἢ μισθοῦν. ζήτ(ει) τί. η' κε. δ' (=2,1) οὗ ἡ ἀρχὴ Δέχεται καὶ ξένον ἔνοικον. (15) Ὅπερ δὲ κτίσει, οὔτε περιελεῖν οὔτε ἀνανεοῦν δύναται. εἰ δὲ χωρισθ(ῇ), διεκδικεῖ αὐτό. καὶ περὶ τοῦ ὅτι ὁ δούλων ἔχων χρῆ(σιν) οὐ δύναται αὐτοῖς ἀποκεχρῆσθαι, τυχὸν τὸν βιβλογράφον πέμπειν εἰς ἀγρόν. καὶ ἀρκούντως τρέφειν καὶ ἐνδύειν πρὸς τὴν ἑκάστου τάξιν καὶ ἀξίαν. γενικῶς γὰρ ἐπὶ πάντων τῶν κινητῶν οὕτως ὀφείλει κεχρῆσθαι ὥστε μὴ φθεῖραι αὐτὰ τῇ σκληρότητ(ι) αὐτοῦ, ἐπεὶ ἐνέχεται. καὶ περὶ τοῦ ἔχοντος χρῆ(σιν) ἐσθῆτος. καὶ περὶ ἐξοπλισμοῦ οἴκου καὶ ἀγροῦ, πῶς ὁ τὴν χρῆ(σίν) ἔχων χρᾶται τούτῳ, εἰ μὴ παρὰ τοῦ διαθεμένου ἐκωλύθ(η). καὶ ὅτι οὐ δύναται ἐπιτιθέναι ἢ παραχωρῆ(σαι) δουλείαν ὁ τὴν χρῆσιν ἔχων οὔτε ὁ τὴν δεσποτ(είαν), κἂν συναινῇ ὁ τὴν χρῆ(σιν) ἔχων. καί ἐστιν ὡρ(αῖον). (17) Εἰς ταφὴν δὲ ὁ δεσπότ(ης) τόπον ποιεῖ βουλομένου τοῦ τὴν χρῆ(σιν) ἔχοντος ἢ καὶ μὴ βουλομένου κατὰ τὴν ἐγκειμένην διάστιξιν. καὶ ποῖον σωφρονισμὸν τῷ δούλ(ῳ) ὀφείλ(ει) ἐπαγαγεῖν ὁ τὴν δεσποτ(είαν) ἔχων. καὶ πῶς ἐκδίδω(σιν) εἰς ἀποπλήρω(σιν)

25 τυχὸν... ἀγρόν verba desiderantur in Ed. | 22 cap. 14 Editionis deest in Tipuc. | 32 cap. 16 Editionis deest in Tipuc.

2 ξυλίας | 8 δράξεται | αὐτοῦ | 21-22 ζήτει — ἔνοικον in margine cum signo ÷ ad μισθοῦν spectante

τῶν ὑπ' αὐτοῦ ἁμαρτηθέ(ν)των. εἰ δὲ μὴ δίδω(σι) τὴν ἀποτίμησιν τῆς δίκης ὁ τὴν χρῆ(σιν) ἔχων τῷ λαβόντι εἰς ἀποπλήρω(σιν) τὸν δοῦλ(ον), ἀρνεῖται αὐτῷ ἡ χρῆ(σις). ὁ δὲ τὴν χρῆ(σιν) ἔχων οὐ δύναται τὴν τέχνην τοῦ δούλ(ου)| φθείρειν ἐναντ(ίαις) ἢ ἀήθεσιν ὑπηρεσίαις ἢ τραύμα(σιν) αὐτὸν ἀμορφοποιεῖν· **58v** *καὶ ποῖον ἀκουίλιον ἔχει ὁ τὴν χρῆ(σιν) ἔχων κατὰ τοῦ ἀνελόντος τὸν δοῦλον.* (18) *Καὶ ποῖα τῶν φθαρέντων δένδρων λαμβάν(ει). Καὶ πῶς ἀποκαθίστη(σιν) ἕτερα.* (19) *Καὶ περὶ δένδρων ἐκ τοῦ ἀνέμου πεσόντων.* (20) *Καὶ περὶ τοῦ ἐὰν ληγατ(εύσω) ἐνιαυσίους καρποὺς δούλῳ.* (21-2) *Καὶ περὶ ληγατευθέντων δούλῳ κληρονομίας δωρεῶν ἀνά(γνωθι) διαστίξεις, εἰ εὐνοίᾳ τοῦ δεσπότ(ου) ἢ τοῦ οἰκέτ(ου) κατελείφθησαν ἢ μή, τί δεῖ γενέσθαι.* (23) *Καὶ εἰ προσπορίζει τῷ τὴν χρῆ(σιν) τοῦ δούλου ἔχοντι ἢ οὔ.* (25) *Καὶ ἁπλῶς εἰπεῖν· ποῖα προσπορίζονται τῷ τὴν χρῆ(σιν) ἔχοντι διὰ τοῦ δούλ(ου), οὗ τὴν χρῆ(σιν) ἔχει καὶ ποῖα οὔ καὶ περὶ δούλ(ου) ἐπερωτήσαντ(ος), οὗ τὴν χρῆ(σιν) δύο εἶχον, ἀνά(γνωθι) διαστίξεις.* (26) *Καὶ περὶ δούλ(ου) μισθωσαμένου τὰς ὑπηρε(σίας) αὐτοῦ.* (27) *Καὶ ὅτι οἱ ἐν τῇ προχωρή(σει) ἱστάμενοι καρποὶ, κἂν πέπειροι ὦσι, τοῦ τὴν χρῆ(σιν) ἔχοντός εἰσι. πότε δὲ προχώρη(σις) λέγεται, ζήτ(ει) τὸν γ' τί. τοῦ παρ(όν)τ(ος) βι. καὶ ποῖα δίδω(σι) τέλη ὁ τὴν χρῆ(σιν) ἔχων καὶ ἐφ' αἷς δουλείαις ἐνέχεται ὁ τὴν χρῆ(σιν) ἔχων. καὶ εἰ δοῦλ(ος) ἐπὶ τῷ κωλύεσθαί τινων ἐπράθ(η), αὐτὸς δὲ τούτ(ων) τὴν χρῆσιν ἔχει.* (28) *Καὶ ὅτι καὶ τῶν παλαιῶν χρυ(σ)ῶν καὶ ἀργυρῶν νομισμάτων, οἷς ἀντὶ λιθέας χρώμεθ(α), ληγατεύεται ἡ χρῆ(σις).* (29) *Καὶ περὶ τοῦ [εἰ] πάντων τῶν χρημάτων ἤτ(οι) πάσης τῆς οὐσίας ληγατεύεται χρῆ(σις), ἐν ᾧ μὴ ὑπερβαίνει τοῦ ὀκταουγγίου τὴν ἀποτίμησιν.* (30) *Καὶ ὅτι δύναται ὁ κληρονόμος ὑψοῦν τὴν παρ' αὐτῷ μείνασαν οἰκίαν καὶ μέτριον φῶς ἐᾶν τῷ τὴν χρῆ(σιν) ἔχοντι καὶ σκωτίζειν τὰ φῶτα.* (33) *Καὶ περὶ τοῦ ἐὰν ληγατευθ(ῇ) μοι δεσποτ(εία) καὶ σοὶ χρῆ(σις) καὶ ἀποθάνῃς πρὸ τοῦ διαθεμένου, οὐδὲν μένει παρὰ τῷ κληρονόμῳ. καὶ ὅτι ἔν τισι θέμα(σι) οὐκ ἔοικεν ἡ χρῆ(σις) τῷ μέρει τῆς δεσποτ(είας).* (34) *Καὶ ἐὰν δύο τισὶν ἐνιαυτὸν παρ' ἐνιαυτὸν χρῆ(σις) καταλειφθ(ῇ), τίνα δεῖ πρῶτον χρήσασθαι. καὶ πάντως ὁ πρῶτος ὀνομασθείς. καὶ εἰ ὁμώνυμοί εἰσι καὶ μὴ συμφωνοῦσι, τίνα δεῖ πρῶτον νεμηθῆναι. καὶ εἰ ὁ εἷς αὐτῶν ἐν τῷ ἁρμόζοντ(ι) αὐτῷ ἐνιαυτ(ῷ) τὴν δεσποτ(είαν) κτήσεται. καὶ εἰ ἐκποιή(σῃ) τὴν δεσποτ(είαν). καὶ εἰ ὑπὸ αἵρεσ(ιν) χρῆ(σις) ληγατευ-*

---

8 *δούλῳ* deest in Ed. | 12 cap. 24 Editionis deest in Tip. | 17 *πότε — παρόντος βι.* in margine cum signo ad *προχωρή(σει)* spectante | 26 capp. 31 et 32 Editionis desunt in Tip.

---

4 duo verba videntur excidisse | 9 *λεγατευθέντων* | 20 *του[τ'] τὴν χρ.*

θῇ μοι καὶ κτήσομαι τὴν δεσποτ(είαν) ἐν τῷ μέσῳ καὶ ἐκποιήσω αὐτήν, εἶτα ἐξέλθ(ῃ) ἡ αἵρε(σις), ἀνά(γνωθι) τὰς διαστίξεις ταύτας. καὶ ἐὰν τῷ μισθωτῷ μου ληγατεύσω τὴν χρῆ(σιν), πῶς οὐ δίδω(σι) τὸ μίσθωμα, ἀλλὰ μᾶλλον λαμβάν(ει), εἴ τι ἐδαπάνη(σε). καὶ εἰ οἴκου ληγατευθ(ῇ) χρῆ(σις), πότε λαμβάν(ει) τὸ ἔδαφος τοῦ οἴκου καυθέντ(ος) καὶ πότε μὴ ὁ τὴν χρῆ(σιν) ἔχων. (35) *Καὶ περὶ τοῦ ἐὰν ὑπεισέλθῃ τὴν κληρονομ(ίαν) βραδύτερον ὁ κληρονόμος, ὥστε βραδύτ(ε)ρ(ον) τὴν χρῆ(σιν) ἐλθεῖν. καὶ ἐὰν ληγατευθ(ῇ) μοι δούλ(ου) χρῆ(σις), ἐφ' ᾧ ἐλευθερωθῆ(ναι) αὐτόν, ὅτε παύσομαι νέμεσθαι καὶ λάβω τὴν διατίμησιν τοῦ ληγάτ(ου), οὐκ ἐλευθεροῦται, ἕως οὗ ἀποθάνω ἢ καταστάσεως ἐναλλαγὴν ὑποστῶ.* (36) *Καὶ περὶ τοῦ ἐὰν ληγατεύσω χρῆ(σιν) ἐδάφους καὶ ἐπικτίσω οἶκον καὶ πέσῃ ὁ οἶκος καὶ καυθ(ῇ) ζῶντός μου ἢ τοὐναντίον, τί δεῖ γενέσθαι. καὶ περὶ τοῦ ἐὰν ἐπερωτ(ήσω) ἀγρὸν ὑπεξῃρημένης χρή(σ)εως καὶ τελευτ(ήσῃ) ὁ ὁμολογήσας εἴτε διὰ τὸ συστήσασθαι εἰς πρόσωπον ἕτερον τὴν χρῆ(σιν) ὑπεξεῖλε τυχὸν εἴτε εἰς ἴδιον πρόσωπον ὑπεξεῖλε, πότε δοκεῖ διδόναι τὴν δεσποτ(είαν), καὶ πότε τὴν χρῆ(σιν) ἢ καὶ ἀμφότ(ε)ρ(α). καὶ εἰ ληγατευθ(ῇ) μοι χωρὶς χρή(σεως) καὶ πρὶν ἢ λάβω, τελευτή(σῃ) ὁ κληρονόμος, ἢ ὑπὸ αἵρε(σιν), καὶ ἠρτημένης αὐτῆς ἀποθάν(ῃ) ὁ κληρονόμ(ος). καὶ περὶ κληρονόμ(ου) ὑπέρθεσιν ποιήσαντ(ος) καὶ ἐν ταύτ(ῃ) ἀποθανόντος τοῦ ἐν χρή(σει) δοθέντος δούλ(ου). καὶ περὶ τοῦ ἐὰν ὁμολογή(σῃς) μοι ἐπὶ τὰ πλησιάζοντα δέκα ἔτη διδόναι χρῆσιν ἢ ὑπηρεσίας καὶ ποιήσαντός σου ὑπέρθεσιν παρέλθωσι πέντε ἔτη καὶ πότε δοκεῖ μὴ κεχρῆσθαι ὁ τὴν χρῆ(σιν) ἔχων καὶ πότε δοκεῖ κατέχειν τὴν χρῆ(σιν) κἂν μὴ νέμηται ὁ ἐξ ἐμοῦ ἀγοράσας, | ἐπὶ δὲ* 59r *τῆς δωρεᾶς οὐδαμῶς. καὶ ποίων πραγμάτων καταλιμπάνεται χρῆ(σις). καὶ περὶ τοῦ ἐὰν τοῦ αὐτοῦ πράγματ(ος) ἐμοὶ μὲν χρῆσις μόνη, σοὶ δὲ χρῆσις καρπῶν καταλειφθῇ. καὶ περὶ τοῦ ἐὰν καταλειφθῇ μοι ὅλων πραγμάτων τοῦ τελευτήσαντ(ος) χρῆ(σις) ἢ χρῆ(σις) τῆς ἀποτιμήσεως τῆς οὐσίας, τί δεῖ με λαβεῖν. καὶ ἐὰν τὸ αὐτὸ πολλάκις ληγατευθ(ῇ) μοι ἢ τὸ πρᾶγμα ἢ ἡ διατίμησις αὐτοῦ.* (43) *Καὶ μέρους οὐσίας ληγατεύεται χρῆ(σις) καρπῶν. καὶ ἐὰν μὴ ἐκφωνηθ(ῇ), ποῖον μέρος, τὸ ἥμισυ νοοῦμεν. καὶ ὅτι καινὴν ἀμφίασιν ἐπιβάλλειν τοῖς τοίχοις οὐ δύναται ὁ τὴν χρῆ(σιν) ἔχων, κἂν ποιῇ τὴν χρῆ(σιν) κρείττονα. καὶ τὰ τροφεῖα καὶ τὴν πρὸς ὑγείαν δαπά-*

16-42,1 *καὶ εἰ ... ὄρεσι* verba desunt in Ed. quia folium excidit in Paris. 1352. Verba Tipuciti quae sequuntur primum edidit Heinbach in Ed. II, 750-1 | 29-30 *καὶ μέρους — νοοῦμεν.* Hoc caput supplevit Heimbach in Ed. ex Schol. ad Basil. 11, 1, 40

---

9 *καλάβω* pro *καὶ λάβω* | 21-22 *παρέλθω* | 23 *δοκῶ κατέχειν*

νην αὐτὸς ποιεῖ. καὶ περὶ τοῦ ἐὰν ἀπόντος τοῦ τὴν χρῆ(σιν) ἔχοντος ὁ κληρονόμος πρᾶγμα αὐτοῦ πράττων ἀνανεώσῃ, πῶς ἔχει κατ' αὐτ(οῦ) τὴν ἐπὶ τῇ διοική(σει) ἀγωγ(ήν), εἰ μὴ θέλ(ει) πολλάκις ἀναχωρῆ(σαι) τῆς χρή(σ)εως. καὶ περὶ τοῦ, ποῖος λέγεται καρπὸς τοῦ [ἐν] χρή(σει) δοθέντ(ος), ὡς ἡ ἄωρος τεμνομ(έ)ν(η) καυσίμ(η) ξυλ(ὴ) καὶ ἐλαίου καὶ χόρτου. καὶ ὅτι, εἰ δύο τισὶν ἀπὸ δύο κληρονόμων οὐσούφρουκτος καταλειφθῇ, οἱ δύο κατὰ τῶν δύο κινοῦσι. καὶ περὶ τοῦ ἐὰν τοῦ ληγατευθέντος πράγματ(ος) κελευσθῶ τὸ ἥμι(συ) τῆς χρή(σ)εως τῶν καρπῶν δοῦναί σοι καί, πρὶν ἢ δώσω σοι, ἀναγκαίας εἰς αὐτὸ ποιήσω δαπάνας. καὶ ὅτι οὐ καλῶς ληγατεύεταί μοι χρῆ(σις), ὅτε ἀποθάν(ω). καὶ περὶ τοῦ τὰ δημό(σια) παρέχειν τὸν τὴν χρῆ(σιν) ἔχοντα, εἰ μὴ τὸν κληρονόμον ὁ διαθέμενος ἐβάρησεν. καὶ ὅτι, ἐὰν οἴκου ληγατευθ(ῇ) μοι χρῆ(σις), ἐφ' ὅσον οἱονδήποτε μέρος αὐτοῦ σῴζεται, τοῦ παντὸς ἐδάφους ἔχω τὴν χρῆ(σιν). καὶ περὶ τοῦ ἐὰν ληγατευθῇ σοι χρῆ(σις) ὑπὸ αἵρε(σιν) καὶ ἠρτημένη(ς) αὐτῆς πωλήσῃ μοι τὸ πρᾶγμα ὁ κληρονόμος χωρὶς χρή(σ)εως, τίνι ἀνήκει, ἐὰν ἐξέλθ(ῃ) ἡ αἵρε(σις) ἢ φθαρῇ ἢ ἀτονή(σῃ). καὶ εἰ διὰ τὸ ληγάτον ὑπεξεῖλεν ὁ κληρονόμος τὴν χρῆ(σιν) καὶ ἠτόνησεν ἡ αἵρε(σις). καὶ ἐὰν ἁπλῆ χρῆ(σις) ληγατευθ(ῇ) ἑπταετής. (56) Καὶ ὅτι ἡ τῇ πό(λει) ληγατευθεῖσα χρῆ(σις) ἄχρι ἑκατὸν χρό(ν)ων ἐπεκτείνεται. Καὶ περὶ τοῦ ἐὰν χρῆ(σις) εἰς διατροφὰς τῶν ἀπελευθέρων καταλειφθῇ. καὶ περὶ τοῦ ἐὰν μετὰ τὸ λαβεῖν τοὺς μισθωτοὺς τὸν καρπὸν ἀποθάν(ῃ) ὁ τὴν χρῆ(σιν) ἔχων. καὶ ποῖα δένδρ(α) ἀποκαθιστάναι ἀπαιτεῖται ὁ τὴν χρῆ(σιν) ἔχων. καὶ ὅτι τὸ ἐν ἀγρῷ γινόμενον καὶ τὸ δυνάμενον ἐξ αὐτοῦ λαμβάνεσθαι τῷ τὴν χρῆ(σιν) ἔχοντι ἀνήκει. καὶ αἱ καταβολαὶ τῶν προμισθωθέντων ἀγρῶν, εἰ μὴ ἰδικῶς ὑπεξαιρέ(σῃ). καὶ τὸν μισθωτὸν δύναται ἐξεοῦν. αὐτῷ ἀνήκει καὶ τὸ κέρδος τοῦ πάλ(ου) καὶ τοῦ καλ(ά)μου, ἐὰν ἐκ τούτων εἴθιστο δίδοσθαι τέλος. καὶ περὶ τοῦ κωλυθέντος ἢ ἐκβληθέντος ἀφ' ἧς ἔχει χρή(σεως). καὶ περὶ τοῦ ἐὰν ἄλλος καὶ μὴ ὁ δεσπότ(ης) νέμηται. καὶ εἰ δύο περὶ τῆς δεσποτ(είας) φιλονεικοῦσι, τί δεῖ ποιεῖν τὸν τὴν χρῆ(σιν) ἔχοντα. καὶ ὅτι οὐ δύναται κοινὸν ὀχετὸν ἐπιθεῖναι τοῖς τοίχοις, οὐδὲ πληροῦν τὸ ἀρχθὲν ἔργον, κἂν ἄλλως αὐτῷ οὐ δύνατ(αι)

---

4 *χρῆσιν δοθέντος* Heimb. in Ed. 751 | 5 *τεμνομένων καυσίμων ξύλων* Heimb. in Ed. 751 |18-19 cap. 56 : *καὶ ὅτι...ἐπεκτείνεται.* Verba Editionis supplevit Fabrotus ex Harmenopulo | 21-22 *καὶ ποῖα — ἔχων* om. Heimb. in Ed. 751 | 25-6 *τοῦ πάλαι καὶ τοῦ καλῇ μου πίστει* Heimb. in Ed. 751 ; *τοῦ καλῇ μου* in annotatione emendavit in *καλάμου*

---

5 *χόρτος* | 11 *ἐβάρη* | 17 *ἁπλὴ* | *ἑπταετοῦς* | 18 *λεγατευθεῖσα* | 21 *ἀποκαθιστᾶν*

24 *ὑπεξηρε* (σ΄ supra) | 25-6 *πά*λ *καὶ τῇ κα*λ΄*μου*

χρήσασθαι. καὶ θηρεύειν δύναται ἐν τοῖ[ς] ἕλεσι καὶ ὄρεσι. (63) *Καὶ τὸ μὴ ὂν ἐμόν, ἀλλὰ κατὰ χρῆ(σιν) ἑτέρῳ, παραχωρεῖν κατὰ δεσποτ(είαν) δύναμαι.* (64) *Καὶ πότε ὁ τὴν χρῆ(σιν) ἔχων ἀναγκάζεται τὸν οἶκον ἀνανεοῦν.* (65) *Καὶ ποῖα ὁ κληρονόμος ἀνανεοῦν οὐκ ἀναγκάζετ(αι).* (66) *Καὶ περὶ τοῦ ἐὰν βασανίσας ὁ τὴν χρῆ(σιν) ἔχων χείρονα τὸν δοῦλ(ον) ἐποίησε, ποίαις ἀγωγαῖς ὑπόκειται.* (67) *Καὶ ὅτι ὁ ἔχων χρῆ(σιν) καρπῶν δύναται πωλεῖν αὐτὴν καὶ ἄκοντος τοῦ δεσπότ(ου) ἢ τοῦ κληρονόμ(ου) αὐτοῦ.* (68) *Καὶ ὅτι ὁ τοκετὸς τῶν δουλῶν οὐκ ἀνήκει τῷ τὴν χρῆ(σιν) ἔχοντι τῶν καρπῶν, ἀλλ' ἡ τῶν θρεμμάτων, ὀφείλοντι τὰ φθειρόμενα ἀναπληροῦν ἐκ τῶν ἐπιγεννωμένων.* (70-72) *Καὶ τὰ κρέα τῆς ἀποθνησκούσης γονῆς αὐτῷ ἀνήκει. τὸ δὲ ὑποβάλλειν ἐπὶ τῶν ὁμάδων κρατ(εῖ) καὶ τῶν ἀγελῶν, οὐ μὴ ἐπὶ τῶν καθ' ἕκαστον κεφαλῶν. καὶ ση(μείωσον) καὶ ὅτι τὰ τικτόμενα | τοῦ τὴν* **59v** *χρῆ(σιν) ἔχοντος τῶν καρπῶν εἰσὶ πεπληρωμένης τῆς ἀγέλης, ἐξ αὐτῶν δὲ ὑποβάλλει ἀντὶ τῶν φθειρομένων.* (71) *Καὶ περὶ τοῦ ἐὰν ἐν τῷ μεσαυλ(ίῳ), καθ' οὗ χρῆ(σιν) ἔχω, ἄλλος ἐποικοδομή(σῃ) καὶ καταλυθῇ τὸ ἔργον εἴσω τοῦ χρό(νου) τῆς ἀχρησίας, ἀποκαθίσταταί μοι ἡ χρῆ(σις)* . (72) *Καὶ ὁ ψιλὴν ἔχων δεσποτ(είαν) ἰσχυρῶς ληγατεύει τὴν χρῆ(σιν).* (73) *Καὶ περὶ τοῦ ἐὰν μεσαυλ(ίου) ληγατευθ(ῇ) μοι χρῆ(σις), δύναμαι καλύβην ἐν αὐτῷ ποιεῖν πρὸς φυλακὴν τῶν ἐκεῖσε πραγμάτων.* (74) *Καὶ περὶ τοῦ ἐὰν δούλ(ῳ) μου καὶ δούλ(ῳ) σου καταλειφθ(ῇ) χρῆ(σις), οὕτως ἐστὶν ὡς ἡμῖν ληγατευθείσης καὶ ἐξ ἴσου διαφέρει. Περὶ τοίνυν χρή(σ)εως οἰκήσεως ζήτ(ει) τί. η' κε. λε'* (= 36) *οὗ ἡ ἀρχὴ Ἡ χρῆσις τῆς οἰκή(σ)εως οὔτε χρῆ(σις) ἁπλῆ ἐστι. καὶ ἀνά(γνωθι) ἐπιμελῶς. περὶ δὲ δερμάτων καὶ κεράτων ἀνά(γνωθι) τὸ τέλος τοῦ δ' τίτλου. περὶ τοίνυν χρή(σ)εως ζήτ(ει) βι. νη' τί. ι' κε. μς' οὗ ἡ ἀρχὴ Ὁ καλῇ πίστει ἀπολειφθείς. καὶ τοῦ μδ' βι. τί. κε' καὶ τὰς ἐν αὐτῷ παραπομπ(άς). περὶ δὲ τοῦ, πῶς ἡ χρῆ(σις) τῶν καρπῶν τῷ καταλειφθέντ(ι) ψηφίζεται, λόγου γενομένου τοῦ φαλκιδ(ίου), καὶ ὅπως κατὰ τὴν ἡλικίαν τοῦ ληγατ(αρίου) ποσοῦται, ζήτ(ει) βι. μα', τί, α'.*

ΤΙ(ΤΛΟΣ β'.

Περὶ χρή(σ)εως καρπῶν προσαυξανομένης.

(1) *Καὶ πότε ἁρμό(ζει) ἡ προσαύξησις καὶ τίσι. καὶ ὅτι καὶ χωρὶς ἑνώσεως ἔσθ' ὅτε χώρα τῇ προσαυξήσει. τέως, ὅτε ἡνωμένως, οὐ μήν, ὅτε διη-*

6 *ὑποκειται* expl. editio loci Tipuciti in Ed. 751 | 14-15 *μεσαύλω* Ed. | 18 *μεσαύλου* Ed. | 21 cap. 46 tit. 10 libri 58 deest in fragmentis huius libri in Edit. collectis

9-10 *ἐπιγενομένων* | 14 *ὑποβάλλῃ* | 23 *ἁπλή* | 28 *λεγατ(αρίου)*

ρημένως ληγατευθ(ῇ) ἡ χρῆσις τῶν καρπῶν, ἁρμό(ζει) τὸ δίκαιον τῆς προσαυξήσεως. καὶ ἐὰν κοινῷ δούλ(ῳ) ληγατευθ(ῇ) χρῆ(σις) καρπῶν καὶ ὁ εἷς τῶν δεσποτῶν μὴ καταδέξηται ἢ μὴ χρήσητ(αι), [τῷ ἑτέρῳ δεσπότῃ προσαύξει] τὸ μέρ(ος) αὐτοῦ. καὶ εἰ κοινῷ δούλῳ ληγατευθ(ῇ) χρῆ(σις) καρπῶν καὶ διῃρημένως Πέτρῳ ληγατευθῇ καὶ τὸ φθειρόμ(ε)ν(ον) μέρος ἑνὶ τῶν δεσποτῶν [προσαύξει], ὥσπερ ὅτε δύο τισὶν ἡνωμένως καὶ ἑτέρῳ διῃρημένως ληγατευθ(ῇ). καὶ περὶ τοῦ ἐὰν ληγατευθ(ῇ) πρᾶγμα ἄνευ τῆς χρή(σ)εως τῶν καρπῶν, οὐκ ἔχουσιν οἱ κληρονόμοι τὸ τῆς προσαυξήσεως δίκαιον. (3) Καὶ ἐὰν δύο δεσπόται παραδώσωσί τινι ἀγρὸν ἄνευ τῆς χρή(σ)εως τῶν καρπῶν καὶ ὁ εἷς ἀπολέ(σῃ) τὸ μέρος αὐτῆς τῆς χρή(σ)εως τῶν καρπῶν. καὶ ἐὰν ἀγρὸς ληγατευθ(ῇ) ἐμοί, καὶ σοὶ τοῦ αὐτοῦ ἡ χρῆ(σις) τῶν καρπῶν, ἔχομεν πρὸς ἀλλήλους τὸ δίκαιον τῆς προσαυξήσεως. (4) Καὶ ἐὰν ληγατευθ(ῇ) μοι ἀγροῦ δεσποτ(εία) καὶ τοῦ αὐτοῦ ἡ χρῆ(σις) τῶν καρπῶν ἐμοὶ καὶ σοὶ καὶ Πέτρῳ. (5) Καὶ ἐὰν παραδώσω τινὶ ψιλὴν δεσποτ(είαν), ἐμοὶ προσαύξει ἡ τῆς χρή(σεως) προσαύξησις τῶν καρπῶν. (6) Τὸ αὐτό, κἂν παρ' ἑνὶ τῶν τριῶν ἐχόντων χρῆ(σιν) γένηται ἕνωσις. καὶ ἐὰν ψιλή μοι ληγατευθ(ῇ) δεσποτ(εία) καὶ σοὶ τὸ ἥμι(συ) τῆς χρή(σεως) τῶν καρπῶν, εἴτε σὺ ἀπολέ(σῃς) τὸ μέρ(ος) σου εἴτε ὁ κληρονόμος πρὸς τὴν δεσποτ(είαν) ὑποστρέφει. καὶ περὶ τοῦ ἐὰν χωρὶς αἱρέ(σ)εως ληγατευθ(ῇ) μοι χρῆ(σις) καρπῶν καὶ σοὶ ἡ αὐτὴ ὑπὸ αἵρε(σιν), καὶ πάθ(ω) τῆς πρώτης καταστάσεως ἐναλλαγὴν καὶ ἐξέλθ(ῃ) ἡ αἵρε(σις), ἢ μὴ πάθ(ω). (7) Καὶ ἐὰν τὴν χρῆ(σιν) τῶν καρπῶν ληγατεύσω σοι καὶ τοῖς κληρονόμοις τὸ ἥμι(συ) ἢ σοὶ καὶ Παύλῳ μετὰ τῶν κληρονόμων μου. (8) Καὶ περὶ τοῦ ἐὰν τῇ γυναικί μου καὶ τοῖς παισὶν αὐτῆς ληγατεύσω χρῆ(σιν) καρπῶν. τὸ αὐτό, κἂν μόνους τοὺς παῖδας ἔγρα(ψα) κληρονόμ(ους), εἰ καὶ μὴ ὡς ληγαταρ(ίους) ὠνόμασα, ἀλλ' ἔδειξα βούλεσθαι αὐτοὺς μετὰ τῆς μητρὸς τρέφεσθαι καὶ ἔγρα(ψα) σὺν αὐτοῖς ἐξωτικοὺς κληρονόμους. (9) Ἐὰν δύο ληγατευθ(ῇ) δεσποτ(εία) καὶ ἄλλῳ χρῆ(σις) ἢ τοὐναντίον ἢ δύο τὸ ἥμι(συ) καὶ ἄλλος τὸ ἥμι(συ) ἔχουσι. καὶ ἐὰν ἑνὶ ληγατευθ(ῇ) ὁ ἀγρὸς καὶ ἄλλοις δύο ἡ χρῆ(σις) τῶν καρπῶν. (10) Καὶ ἐὰν ἐμοὶ καὶ σοὶ ληγατευθ(ῇ) χρῆ(σις) καρπῶν καὶ κωλυόμενος ἐγὼ ἐνάγω καὶ μετὰ προκάταρξιν ἀπολέ(σω) τὴν χρῆ(σιν), εἶτα καὶ σὺ | ἀπολέ(σῃς) τὸ μέρος σου καὶ νικήσω. (11) Καὶ ὅτι ἐὰν ἀπὸ 60r Μάρκου κληρονόμ(ου) ληγατευθ(ῇ) μοι χρῆ(σις) καρπῶν καὶ σοὶ τοῦ αὐτοῦ πράγματος ἀπὸ Παύλου, ἀργεῖ ἡ προσαύξησις, ὥσπερ δύο τισίν, ὅτε τοῦ αὐτοῦ πράγματος ἐξ ἴσων μερῶν ἡ χρῆ(σις) τῶν καρπῶν ληγατευθ(ῇ). ζή(τει) καὶ βι. μβ' τί. γ' κε. ιβ' οὗ ἡ ἀρχή Καὶ τὰ παρὰ ἐξωτικῶν δοθέντ(α).

---

36 initium cap. 12 tit. 3 libri 42 in Ed. : *καὶ μετὰ προκάταρξιν, καὶ τὰ παρὰ ἐξωτικῶν δοθέντα...*

25-26 λεγαταρ(ίους)

περὶ τοίνυν χρή(σεως) καρπῶν καὶ χρή(σεως) ψιλῆς καὶ οἷς κέχρηνται προνομίοις οἱ ταῦτα ἔχοντες. καὶ περὶ τῶν ἀπὸ ληγάτ(ου) χρήσεως. καὶ ποίοις δαπανήμα(σι) καὶ βάρε(σιν) ὑπόκεινται καὶ ὅτι δύναται κατὰ μίμησιν τῶν ἀγοραστῶν ἐξεοῦν τὸν μισθωτόν, ζήτ(ει) τοῦ παρ(όν)τ(ος) βι. τί. α' ὅλον καὶ γ' καὶ δ' καὶ ε', ς', η', θ' καὶ βι. ιη' τί. ς' κε. α'. καὶ βι. να' τί. δ', κε. δ', θέ. ιδ'. καὶ βι. κε' τί. β' κε. μα' θέ. γ' καὶ βι. ἰνστιτ(ού)τ(ων) β', τί. ε' καὶ θ'. περὶ δὲ συγχρή(σεως) ζήτ(ει) τοῦ νη' βι. τί κδ'.

Τ(ΙΤΛΟΣ) γ'.

Ποίαις ἡμέραις ὁ τῆς χρή(σεως) καρπὸς ληγατευθ(εὶς) προχωρεῖ.

(1) *Καὶ ὅτι ἅπαξ γίνεται ἡ προχώρη(σις) τῆς χρή(σεως) τῶν καρπῶν, εἰ μὴ κατ' ἐνιαυτὸν ἢ καθ' ἡμέραν ἢ μῆ(να) ληγατευθ(ῇ) ἢ ἡμέρ(αν) παρ' ἡμέρ(αν). προχωρεῖ ἡ χρῆ(σις) τῶν καρπῶν καὶ μόνη ἡ χρῆ(σις) μετὰ τὴν προέλευσιν τῆς κληρονομίας, τοιγαροῦν ἐπὶ τῆς τῶν καρπῶν. ὁ κληρονομιαῖος δοῦλ(ος), εἰ καὶ τὰ ἄλλα προσπορίζει, περιμένει τὸ πρόσωπον τοῦ δεσπότ(ου) τοῦ δυναμένου χρήσασθαι. καὶ περὶ τῆς ὑπὸ ἡμέρ(αν) καρπῶν προχωρή(σεως) καὶ ἀπὸ ἡμέρ(ας). καὶ ὅτι πρὸ τῆς ὑπεισελεύσεως ἢ πρὸ τῆς ἡμέρ(ας) ἐπὶ τοῦ ὑπὸ ἡμέρ(αν) ἡ περὶ τῆς χρήσεως τῶν καρπῶν ἀγωγ(ὴ) οὐ προχωρεῖ καὶ ὁ κινῶν οὐδὲν πράττει. ζήτ(ει) καὶ τοῦ μδ' βι. τί. α'. ζήτ(ει) καὶ τοῦ α' τί. τοῦ παρ(όν)τ(ος) βι. τὸ κζ' κε. οὗ ἡ ἀρχὴ Οἱ ἐν τῇ προχωρή(σει) τῆς χρή(σεως) ἱστάμενοι καρποί. καὶ βι. κγ' τί. γ'.*

ΤΙ(ΤΛΟΣ) δ'.

Ποίοις τρόποις ἡ χρῆ(σις) τῶν καρπῶν καὶ ἡ χρῆ(σις) ἀπόλλυτ(αι).

(1) *Καί φη(σι) τῇ τῆς πρώτ(ης) καταστάσεως ἐναλλαγῇ. εἰ δὲ πρὸ τῆς προχωρή(σεώς) τις τὴν πρώτην κατάστασιν ἐλαττωθ(ῇ), οὐ φθείρεται. τὰ αὐτὰ καὶ περὶ τῆς παρὰ τὸ ἀκριβὲς συνισταμένης χρή(σεως) τῶν καρπῶν ἐν ἐμφυτευτικῷ ὑπερώῳ. καὶ περὶ ἀγροῦ ληγατευθέντος ἀπὸ*

20-21 *Οἱ ἐν τῇ προσχωρήσει* Ed.

---

2 *λεγάτου*

ἡμέρ(ας) τινὶ ἀξιωθέντι ἀποκαταστῆσαί μοι τὴν χρῆ(σιν) τῶν καρπῶν, καὶ πρὸ τῆς ἡμέρ(ας) ὑποστῶ τῆς πρώτης καταστάσεως ἐναλλαγήν. (2) *Καὶ περὶ τοῦ ἐὰν διῃρημένως ἐμοὶ καὶ σοὶ ἐνιαυτὸν παρ' ἐνιαυτὸν χρῆ(σις) ληγατευθ(ῇ) καὶ ἐὰν ἀποθάν(ῃ) εἷς ἐξ ἡμῶν. καὶ εἰ ἅμα δύο τισὶν ἐνιαυτὸν παρ' ἐνιαυτὸν χρῆ(σις) καρπῶν ληγατευθ(ῇ) ἢ ἑκάστῳ χωρὶς ἐνιαυτὸν παρ' ἐνιαυτόν, καὶ συμφωνήσουσιν ἅμα νέμεσθαι, ἀνά(γνωθι) διάστιξιν.* (3) *Καὶ ὅτι, ὥσπερ δυνάμεθα καθ' ἕκαστον ἔτος οὐσούφρουκτον ληγατεύειν τινί, τὸν αὐτὸν τρόπον δυνάμεθα λέγειν · δίδω(μι) καὶ ληγάτον τὸν οὐσούφρουκτ(ον), ὁσάκις ἂν ὑποστῇ ὁ ληγατάριος τὴν τῆς πρώτ(ης) καταστάσεως ἐναλλαγὴν ἢ ἀπολέ(σῃ) τὴν χρῆσιν τῶν καρπῶν. καὶ εἰ μέχρι ζωῆς σου ἢ δήλου χρό(νου) ληγατεύσω, δοκεῖς ἀναλαμβάνειν αὐτήν, ὁσάκις φθαρῇ. καὶ ἔχεις καὶ τὸ τῆς προσαυξήσεως δίκαιον πρὸς τὸν συνληγατάρ(ιόν) σου. καὶ ἐὰν ληγατεύσω Πέτρῳ καὶ Παύλῳ χρῆ(σιν) καρπῶν, πῶς προσαύξεται. καὶ εἰ ὁ Παῦλος ἀπολέσῃ μέρος, πῶς Πέτρῳ προσαύξεται μέρος καὶ τῷ δεσπότ(ῃ) μέρος ἀντιστρέφεται. καὶ ὅτι θανάτ(ῳ) ἡ χρῆ(σις) φθείρεται.* (5, 2) *Καὶ περὶ τοῦ ἐὰν καυθῇ ἢ εἰς χρῆ(σιν) ληγατευθῇ οἰκία ἢ πέσῃ, οὐδὲ τοῦ μεσαυλ(ίου) ἢ τῆς ὕλης σώζεται ἡ χρῆ(σις). ζήτ(ει) καὶ τούτ(ου) τοῦ τί. κε. ι'* (= 10, 7) *οὗ ἡ ἀρχή 'Εὰν οἶκος κατὰ μέρ(ος) ἀνανεωθ(ῇ). καὶ τοῦ α' τί. κε. λς' οὗ ἡ ἀρχή 'Εὰν ληγατεύσω χρῆ(σιν) ἐδάφους. καὶ κε. οα' οὗ | ἡ ἀρχή 'Εὰν ἐν τῷ μεσαυλ(ίῳ), καθ' οὗ χρῆ(σιν)* **60v** *ἔχω. Καὶ περὶ τοῦ ἐὰν ἐποικοδομηθ(ῇ) τῷ ἐν χρή(σει) ὄντι μεσαύλῳ, σβέννυται ἡ χρῆ(σις). καὶ εἰ ὁ δεσπότ(ης) ᾠκοδόμη(σε), ποίαις ἀγωγαῖς ἐνάγεται.* (8) *Καὶ περὶ τοῦ ἐὰν χρῆ(σις) καρπῶν ἀγροῦ ληγατευθ(ῇ) καὶ πέσῃ τὸ ἐποίκιον. καὶ εἰ ἀγρὸς προσθ(ήκη) ἦν τοῦ ἐποικίου, τὸ αὐτὸ γίνεται.* (9) *Καὶ πότε κέχρημαι τῷ ἐδάφει.* (10) *Καὶ περὶ τοῦ ἐὰν οἴκου χρῆ(σιν) ληγατεύσω καὶ ζῶν αὐτὸν καταλύσω καὶ ἄλλον κτίσω. καὶ περὶ τοῦ ἐὰν ἐπικλυσθῇ ὁ τόπος καὶ γένηται ὑδροστά(σιον) ἢ λίμνη, ἢ τὸ ὑδροστάσιον ἐὰν ξηρανθ(ῇ) ἢ ὑπάμπελος ἀρόσιμος γένηται ἢ τοὐναντίον, πότε ἐπὶ τούτ(ῳ) πᾶ(σα) σβέννυται ἡ ἐπ' αὐτοῖς χρῆ(σις) ἢ μή. καὶ ἡ τῆς ὕλ(ης) χρῆ(σις) πότε σβέννυται καὶ τοῦ βώλ(ου) καὶ τοῦ σκεύους καὶ τῶν κοσμίων. καὶ ἐὰν οἶκος κατὰ μέρ(ος) ἀνανεωθ(ῇ) ἢ λυθ(ῇ). καὶ ἐὰν ἐκ τοῦ τεθρίππου ὁ εἷς ἀποθάν(ῃ).* (12) *Καὶ περὶ τοῦ ἐὰν ληγατεύσω λουτροῦ ἢ ἐργαστηρ(ίου) χρῆ(σιν) καὶ ζῶν αὐτὸ δίαιταν ποιήσω.* (13) *Καὶ περὶ τοῦ*

11 *δοκῶ ἀναλαμβάνειν* Ed. | 16 capp. 4 et 5 pr. et 1 Editionis desunt in Tipuc. | 17 *μεσαύλου* Ed. | 19 capp. 36 et vicina desunt in Editione, quia folium cod. Par. excidit | 20 *μεσαύλῳ* Ed. | 23 capp. 6 et 7 Editionis desunt in Tipuc. | 32 cap. 11 item

7 **ἔτους** | 9 ⸎ pro **ληγατάριος** (cfr. 52, 11). | 33 **ζῶν αὐτὸν**

τίνος γίνονται οἱ καρποί, ἐὰν μετὰ τὸ θερίσαι ἢ τρυγῆ(σαι) τελευτή(σῃ) ὁ τὴν χρῆ(σιν) τῶν καρπῶν ἔχων, φησὶ τοῦ κληρονόμ(ου), κἂν μήπω γέγο(νεν) ἐξ αὐτῶν σῖτος ἢ ἔλαιον. καὶ πότε ὁ τὴν χρῆ(σιν) ἔχων τῶν καρπῶν δεσπόζει τῶν καρπῶν, φη(σίν), ὅτε λά(βῃ) αὐτούς, οὐ μήν, ὅτε καὶ αὐτομάτως πέσωσιν. ὁ δὲ καλῇ πίστει νομεὺς ἅμα τῷ χωρισθῆ(ναι) αὐτούς. (14) *Καὶ ποῖοι τρόποι λύουσι τὴν χρῆ(σιν) καθόλου ἢ ἐν μέρ(ει) καὶ ποῖοι οὐδαμῶς.* (15) *Καὶ πότε ὁ δεσποτ(είαν) ἔχων τοῦ δούλ(ου), οὗ ἕτερος τὴν χρῆ(σιν) ἔχει, ἐλευθεροῖ αὐτόν.* (16) *Καὶ περὶ χρή(σεως) ληγατευθείσης μοι ὑπὸ αἵρε(σιν) καὶ ἠρτημένης τῆς αἱρέ(σ)εως ἀποθανόντος τοῦ τεστάτ(ω)ρ(ος), πῶς δύναται ὁ κληρονόμ(ος) ληγατεύειν τὴν χρῆ(σιν). καὶ ἐξιούσης τῆς αἱρέ(σεως) τί δεῖ γενέσθαι.* (17) *Καὶ περὶ τοῦ ἐὰν χρῆ(σις) καρπῶν ληγατευθ(ῇ) μοι χω(ρὶς) αἱρέ(σεως) καὶ σοὶ ἡ δεσποτεία ὑπὸ αἵρε(σ)ιν ἄνευ τῆς χρή(σεως) τῶν καρπῶν, καὶ τῆς αἱρέ(σεως) ἠρτημένης κτήσομαι τὴν δεσποτείαν.* (18) *Καὶ ἐὰν κληρονομιαίῳ δούλ(ῳ) ληγατευθ(ῇ) χρῆ(σις) καρπῶν, πότε προχωρεῖ.* (19) *Καὶ ὅτι οὔτε χρῆ(σις) καρπῶν οὔτε μονοπάτ(ιον) οὔτε δημο(σία) ὁδὸς ἀπόλλυται τῇ ἐναλλαγῇ τῆς δεσποτ(είας).* (20) *Καὶ περὶ τοῦ ἔχοντος χρῆ(σιν) καρπῶν καὶ μόνῃ τῇ χρή(σει) κεχρημένου εἰδότος ἔχειν χρῆ(σιν) καρπῶν ἢ μή.* (21) *Καὶ ὅτι ἐὰν ἄροτρον* [*ἐν*] *πό(λει) βληθ(ῇ), παύεται εἶναι πό(λις) καὶ ὡς ἀποθανοῦ(σα) τὴν χρῆ(σιν) τῶν καρπῶν ἀπόλλυ(σι).* (22) *Καὶ περὶ τοῦ ἐὰν ἀποδημ(ῇ) ἡ γυνή, ἔστι δὲ ὁ ἀνὴρ αὐτῆς ἢ* [*ἡ*] *φαμιλ(ία) αὐτοῦ ἐν τῷ οἴκῳ, οὗ τὴν χρῆ(σιν) ἔχει, οὐκ ἀπόλλυ(σιν) αὐτὴν τῇ ἀχρησίᾳ καὶ ὁ ἀνὴρ τὴν διαφέρ(ουσαν) αὐτῷ χρῆ(σιν) ὁμοίως νέμεται.* (23) *Καὶ περὶ τοῦ ἐὰν ἀγρὸς ὑπὸ ποταμοῦ ἢ θαλάσσης ἐπικλυσθῇ, ἡ δεσποτ(εία), φη(σίν), καὶ ἡ χρῆ(σις) τῶν καρπῶν ἀπόλλυτ(αι) καὶ οὔτε χρῆ(σιν) ἔχει τῆς ἁλείας. εἰ δὲ ὑποχωρήσ(ῃ) τὸ ὕδωρ, ἀνανεοῦται.* (24) *Καὶ εἰ κοίτ(η) τοῦ ποτ(α)μ(οῦ) γέγο(νεν) ὁ τόπος, οὐκ ἀποκαθίσταται τῇ προτ(έ)ρ(ᾳ) τάξει. τὸ αὐτὸ καὶ ἐπὶ μονοπατ(ίου) καὶ τῆς δημο(σίας) ὁδοῦ. καὶ ἐὰν ἡ ἐπιφάνεια τοῦ ἀγροῦ μου ἐπαρθ(ῇ) καὶ ἀλλαχοῦ συναχθῇ ἢ κοπρισθ(ῇ), οὐ παύεται τὸ ἔδαφος ἐμὸν εἶναι.* (25) *Καὶ δῆλον καὶ ἄδηλον μέρος τῇ ἀχρησίᾳ ἀπόλλυτ(αι).* (26) *Καὶ ἐὰν δοῦλ(ος) ἢ ἀγρὸς ὑποστρέ(ψῃ) ἀπὸ τῶν πολεμίων, καὶ ἡ χρῆ(σις) αὐτῶν ἀποκαθίσταται.* (27) *Καὶ εἰς θεραπείαν τῆς ζημ(ίας), ἧς ὑπέστη(σα), ἐκδίδοτ(αι) παρὰ τοῦ δεσπότ(ου) ἐμοὶ τῷ τὴν χρῆ(σιν) ἔχοντι ὁ δοῦλ(ος) καὶ παύεται ἡ χρῆ(σις).* (28) *Καὶ ὅτι ἡ ἐνιαυτὸν παρ' ἐνιαυτὸν ληγατευομένη χρῆ(σις) οὐ φθείρεται τῇ ἀχρησίᾳ.* (29) *Καὶ περὶ δεσπότ(ου) μισθωσαμένου τὸν ἀγρὸν παρὰ τοῦ τὴν χρῆ(σιν) ἔχοντος καὶ μεταμισθωσαμένου ἑτέρῳ οἰκείῳ ὀνόματ(ι), πῶς φθείρεται τῇ*

---

21 *φαμιλία αὐτῆς* Ed.

---

22 *διαφέρουσαν αὐτῇ*

ἀχρη(σίᾳ). καὶ περὶ δεσπότ(ου) ἀγοράσαντ(ος) τὴν χρῆ(σιν) καὶ ἑτέρῳ πωλήσαντ(ος), καὶ τί γίνεται ἐν ἀμφοτ(έ)ρ(οις) τοῖς θέμα(σι). καὶ περὶ τοῦ μισθωσαμένου ἑτέρῳ τὴν χρῆ(σιν), ἣν ἐκ τοῦ τὴν χρῆ(σιν) ἔχοντος ἐμισθώσατο. καὶ ποίας ἀγωγ(ὰς) ἔχεις, εἰ τὴν ληγατευθεῖσάν μοι χρῆ(σιν) | ἀπο- 61r καταστῆσαί σοι κελευσθῶ. (30) Τὸ κρέας καὶ τὸ δέρμα τοῦ ἀποθανόντος θρέμματ(ος) οὐκ ἀνήκει τῷ τὴν χρῆ(σιν) ἔχοντι. καὶ πῶς φθείρεται ἡ τῆς ἀγέλ(ης) χρῆ(σις). Ζήτ(ει) καὶ βι. μς′ τί. β′ ὅλ(ον) μεθ' ὧν ἔχει παραπομπῶν, περὶ καταστάσεως ἐναλλαγῆς ἐπιγραφόμενον.

ΤΙ(ΤΛΟΣ) ε′.

Περὶ χρή(σεως) πραγμάτων, ἅτινα τῇ χρή(σει) μειοῦνται.

(1) Καὶ ὅτι πάντων τῶν δεσποζομένων πραγμ(ά)των τὴν χρῆ(σιν) δυνατὸν ληγατεύειν, καὶ τῶν φθειρομένων ἢ μειουμένων διὰ τῆς χρή(σεως). (2) Καὶ πότε, ἡνίκα ληγατευθ(ῇ) χρῆ(σις) πραγμάτων, δίδοται ἀσφάλ(εια). (3) Καὶ ἀγωγῶν χρῆ(σις) ληγατεύεται καὶ αὐτῷ τῷ χρεώστῃ καὶ συγχωροῦνται αὐτῷ οἱ τόκ(οι). (4) Καὶ δίδω(σιν) ἀσφάλ<(ειαν). (5) Καὶ [περὶ τοῦ], ὅτι τῶν ἰδίων χρημάτων καὶ ἀλλοτρ(ί)ων τὴν χρῆ(σιν) ληγατεύομεν. καὶ ἐὰν μὴ δοθῇ ἀσφάλεια ἐπὶ τῶν ἐν ἀποχρή(σει), τουτέστ(ιν ἀπομειώσει, ἢ ἐπὶ τῆς χρή(σεως) μόνης, τί δεῖ γενέσθαι. (6) Καὶ περὶ τοῦ ἐὰν ληγατευθ(ῇ) σοι δέκα νομίσματα ἢ καὶ ἀγρὸς καὶ ἐμοὶ ἡ χρῆ(σις) αὐτῶν, τί ἁρμό(ζει) σοὶ καὶ ἐμοί. καὶ εἰ δέκα νομισμάτων χρῆ(σις) δύο τισὶ ληγατευθ(ῇ) καὶ ἀλλήλους [ἀσφαλίζονται], τί δεῖ γενέσθαι. (7) Καὶ περὶ τοῦ ἐὰν ληγατευθ(ῇ) χρῆ(σις) οἴνου, ἐλαίου ἢ σίτ(ου) ἢ τῶν ἄλλων τῶν ἐν ἀποχρή(σει). (8) Καὶ ὅτι τρεῖς γρά(ψ)ας κληρονόμους ἐληγάτευσά σοι χρῆ(σιν) ρ′ νομισμάτων, πότε βαρύνονται δοῦναι ἐγγύας καὶ σὺ ποιεῖς ὁμολογίαν. (9-10) Καὶ τίνων δεῖ μνημονεύειν ἐν τῇ ἀσφαλ(είᾳ) τῆς ἀποκαταστάσεως τῆς χρή(σεως) τῶν πραγμάτων καὶ ἐν τίσιν ἀπόλλυτ(αι) ἡ χρῆ(σις) τῶν καρπῶν, εἰ μὴ μόνῳ τῷ θανάτῳ καὶ τῇ πρώτῃ ἐναλλαγῇ τῆς καταστάσεως. (11) Χώρα τῇ ἀσφαλ(είᾳ) καὶ ἐπὶ ἐρίου καὶ θυμιαμάτων καὶ ἀρωμάτων. (12) Καὶ περὶ τοῦ ἐὰν ληγατεύσω σοι νομίσματα, ἐφ' ᾧ μετὰ θάνατόν σου ἀποκαταστῆσαι αὐτὰ Πέτρῳ, τὴν δεσποτ(είαν) ἐληγάτευσά σοι, κἂν εἶπον ὥστε τὴν χρῆ(σιν) αὐτῶν ἔχειν καὶ ἀποκαθίσταται δὲ Πέτρῳ μετὰ θάνατόν σου. Ζήτ(ει) καὶ τὸ μδ′ βι.

---

22 ἀσφαλίζονται supplevi ex Ed.

---

6 ἀνήκε | 19-20 δέκα ii | 21 δέκα ii | 24 ρ′ ii | 29 εἰρίου | 30 ii, ἐφ' φ

ΤΙ(ΤΛΟΣ) ϛʹ.

Ἐὰν χρῆ(σις) καρπῶν ἀπαιτῆται ἢ ἐξ ἄλλου ληφθῆναι κωλύηται.

(1) *Καὶ ποῖα ἐκδικεῖν δύναται ὁ τὴν χρῆ(σιν) ἔχων, ὡς τὴν δούλ(ην) καὶ τὴν χρῆ(σιν) τῶν καρπῶν ἐμποδιζόμενος χρήσασθαι. καὶ ὅτι τῷ ληγάτῳ τῆς χρή(σεως) εἴσοδος ἕπεται σιωπηρῶς, ἣν ὁ διαθέμενος ἀνισχύρως ἀφαιρεῖτ(αι). καὶ εἰ μὴ ἔχει εἴσοδ(ον) ὁ τόπος, τί δεῖ γενέσθαι, ὁμοίως καὶ ἐπὶ ταῖς δουλείαις καὶ τοῖς φώτοις καὶ τοῖς ὕδασι.* (2) *Καὶ ἐὰν ὁ κληρονόμ(ος) ἐπιθήσει δουλ(είας) τῷ ἀγρῷ ἢ χείρονα ποιή(σῃ).* (3) *Καὶ ὅτι ὁ ληγατ(ά)ρ(ιος), ἐὰν ἐπὶ τὸν ὡρισμένον χρό(νον) παύσηται νέμεσθαι τὴν χρῆ(σιν) τῶν καρπῶν, ἀγωγ(ὴν) οὐκ ἔχει πρὸς ἀνάληψιν αὐτῆς.* (4) *Καὶ ὅτι, εἰ καὶ τὰ μάλιστα, ἔνθα ληγατεύεται ἀγρὸς ἄνευ χρήσεως, μένει παρὰ τῷ κληρονόμ(ῳ) ἡ χρῆ(σις), ὅμως κατὰ τὸ κείμενον ἐνταῦθα θέμα, ὃ καὶ ἀνά(γνωθι), τῷ κληρονονόμῳ ἁρμό(ζει) ἡ χρῆ(σις), τυχὸν ἔνθα ληγατ(εύσω) σοι ἀγρὸν ἄνευ χρή(σεως) καὶ ἄλλῳ τὴν χρῆ(σιν) τῶν καρπῶν ὑπὸ αἵρε(σιν).* (5) *Καὶ ποίας ἀγωγ(ὰς) δύναται ἔχειν ὁ ἔχων χρῆ(σιν) καὶ ποίας ὁ ἔχων δεσποτ(είαν). καὶ κατὰ τίνων δύναται κινεῖν ὁ τὴν χρῆ(σιν) ἔχων. καὶ κατὰ τοῦ ἀγρογείτ(ο)ν(ος) περὶ τῶν δουλειῶν καὶ ἄλλων τινῶν. καὶ περὶ τοῦ ἐὰν κινή(σῃ) καὶ μετὰ προκάταρξιν φθαρῇ ἡ χρῆ(σις), ποῖοι καρποὶ αὐτῷ ἀποκαθίστανται ἔκ τε τοῦ ἀγροῦ καὶ τῆς δούλ(είας). καὶ εἰ τῷ χρό(νῳ) φθαρῇ ἡ χρῆ(σις) ἄλλου νεμομένου καὶ ἄλλου προσαγαγόντος ἑαυτὸν τῇ δίκῃ.* (6) *Καὶ πῶς ἀπολύεται ὁ μετὰ προκάταρξιν ἀδόλως παυσάμενος νέμεσθαι. ὁ δὲ μὴ νεμόμενος μέν, ἑαυτὸν δὲ προσαγαγὼν καταδικάζεται. Ζήτ(ει) περὶ τούτ(ου) καὶ βι. μδʹ.* |

ΤΙ(ΤΛΟΣ) ζʹ. 61v

Περὶ ἐργασιῶν δούλων.

(1) *Καὶ πότε συνίστανται.* (2) *Καὶ πότε οὐ φθείρονται.* (3) *Καὶ πότε μισθοῦνται.* (5) *Καὶ ὅτι δι' αὐτῶν χρῆ(σις) δοκεῖ ληγατεύεσθαι.* (6) *Καὶ πῶς ἀποτιμῶνται τῶν τεχνιτῶν καὶ τῶν ἀτέχνων αἱ ὑπηρεσίαι. καὶ τῶν*

---

8 *ἄλλας δουλείας, τυχὸν φώτων καὶ ὑδάτων...* Ed. | 28 cap. 4 Editionis deest in Tipucito

πενταετῶν ἢ ἠρκωτηριασμένων ἢ ἄλλως μὴ δυναμένων ἐργάζεσθαι. καὶ ὅτι τέρψεως ἢ διαθέ(σ)εως ἀποτίμησις οὐ γίνεται. ἡ δὲ ἀποτίμησις μετὰ τὴν ἐξαίρε(σιν) τῶν ἀναγκαίων δαπανημάτων γίνεται.

ΤΙ(ΤΛΟΣ) η'.

Περὶ χρή(σεως) καὶ οἰκήσεως.

(1) *Καὶ περὶ ψιλῆς χρή(σεως) τῆς ἐν αὐτ(ῇ), καὶ ὅτι, οἷς ἡ χρῆ(σις) τρόποις συνίσταται, τοιούτοις καὶ ἡ ψιλὴ χρῆ(σις). καὶ ὅτι,* [ὃς] *κέχρηται, οὐ μὴ καὶ καρπίζεται.* (2)*'Επὶ δὲ οἴκου καὶ ἀνὴρ τῇ γυναικὶ συνοικεῖ. καὶ ἡ γυνὴ τῷ ἀνδρὶ καὶ τῇ ἰδίᾳ φαμιλ(ίᾳ) καὶ τοῖς ἀπελευθέροις. δέχεται καὶ ξένον ἔνοικον.* (3) *Καὶ προσφυῶς,* (4) *ἄνευ δὲ τοῦ τὴν χρῆ(σιν) ἔχοντος. οὗτοι οὐ δύνανται οἰκεῖν. αὐτὸς μέντοι οἰκῶν δύναται καὶ μισθὸν λαβεῖν.* (5-7) *Καὶ τίνες δύνανται συνοικεῖν αὐτῷ,* (8) *κεχωρισμένως δὲ οὐ μισθοῦσιν οὔτε παραχωροῦσιν οἴκησιν χωρὶς ἑαυτῶν οὔτε πωλοῦσι τὴν χρῆ(σιν). καὶ περὶ τοῦ ἐὰν ληγατευθ(ῇ) γυναικὶ χρῆ(σις), ἐὰν διαζευχθῇ τοῦ ἀνδρός.* (9) *Καὶ πραγμάτων χρῆ(σις) μόνη, μετὰ τοῦ ἀνδρὸς αὐτ(οῦ).* (10) *Καὶ ὅτι τὸ ληγάτον τῆς χρή(σεως) μό(νης) καὶ τῆς οἰκήσεως σχεδὸν τὸ αὐτό ἐστι. καὶ ἀνά(γνωθι) τὰς τούτων ἰδιότητ(ας). καὶ εἰ χρῆ(σις) μόνη ληγατευθ(ῇ), τί αὐτῷ κεχρεώστηται. καὶ ἐὰν χρῆ(σις) καρπῶν ἢ χρῆ(σις) μόνη ληγατευθ(ῇ) τοῦ οἰκεῖν ἕνεκα, ἡ οἴκησις κεχρεώστητ(αι). καὶ περὶ τοῦ χρῆ(σιν) μόνην ἔχοντος ἐν τῷ ἀγρῷ, τί δοκεῖ ἔχειν. καὶ ποίαν φαμιλ(ίαν) τοῦ δεσπότ(ου) κωλύει ἐξ αὐτ(ῆς).* (11) *Καὶ ἐπὶ πόσον διάγειν ὀφείλ(ει) ἐν τῷ ἀγρῷ. καὶ ὅτι τὸ ἴδιον δίκαιον ἄλλῳ οὐ πιπράσκ(ει) οὔτε μισθοῖ οὔτε δῶρον παραχωρεῖ.* (12) *Καὶ πότε δοκεῖ τελείαν χρῆ(σιν) ἔχειν. καὶ ὁ ψιλὴν χρῆ(σιν) ἔχων τίσι κέχρηται. καὶ ὁ ψιλὴν χρῆ(σιν) ἔχων ἀγέλ(ης) προβάτων κατὰ ληγάτ(ον), τίσι κέχρηται. καὶ ἀγέλ(ης) ἵππων. καὶ ἐὰν χρῆ(σις) ὑπηρεσίας ληγατευθῇ μοι κἀγὼ καὶ οἱ παῖδές μου καὶ ἡ γαμετή μου ἅμα χρώμεθ(α). καὶ εἰ τοῖς ὑπεξουσίοις μου ληγατευθ(ῇ), οὐχ ἡ αὐτῶν, ἀλλ' ἡ ἐμὴ χρῆ(σις) σκοπεῖται. καὶ ὅτι τῶν δούλων, ὧν τὴν χρῆ(σίν) τις ἔχει μόνην, τὰς δουλ(είας) οὔτε μισθοῖ οὔτε παραχωρεῖ ἄλλῳ κεχρῆσθαι, εἰ δὲ μισθώ(σε)τ(αι) ἀγρὸν ἢ ὑφαντικὸν ἢ ῥαφικὸν καὶ οἰκοδομικόν, κέχρηται ἐν αὐτοῖς τῇ ὑπηρεσίᾳ αὐτῶν.* (13) *Αὐτῷ μέντοι τῷ δούλ(ῳ) καὶ τῇ δούλ(ῃ) ἀντὶ ὑπερεσίας δύναται μισθὸς ἐπιτίθεσθαι.* (14) *Καὶ διὰ ποίων πραγμάτων οἱ τοιοῦτοι δοῦλ(οι) προσπορίζουσιν ἡμῖν ἢ μή. καὶ κατὰ τί δοκεῖ ἰσόπαλον εἶναι ὁ καρπὸς τῆς χρή(σεως) τῶν καρπῶν. καὶ ὅτι ἡ χρῆ(σις) τῶν καρπῶν*

---

1 **ἀκρωτηριασμένων** | 25 **λεγάτον** | 33 **ἰσοπαλ'**

καὶ ὁ καρπὸς ἔχει μόνην χρῆ(σιν), ἡ δὲ χρῆ(σις) οὐκ ἔχει τὸν καρπόν. καὶ δύναται μόνη χρῆ(σις) εἶναι χωρὶς καρπῶν. καρπὸς δὲ χωρὶς χρή(σεως) οὐκ ἔστιν. ἐφ' ᾧ καὶ ἀχρήστως ληγατεύεται, ἀνά(γνωθι) διάστιξιν πολυσχεδῆ. καὶ ἐὰν χρῆ(σις) ληγατευθ(ῇ) μοι καὶ ὕστερον καρπὸς ἢ σοὶ μὲν μόνη χρῆ(σις), ἐμοὶ δὲ καρπός, τί γίνεται. καὶ ὅτι ληγατεύεται τῷ μὲν ψιλὴ δεσποτ(είᾳ), ἄλλῳ χρῆ(σις) μόνη, καὶ ἄλλῳ καρπὸς χωρὶς χρή(σ)εως. (15) Καὶ ὅτι ἐκ τῶν ἐν τῷ ἀγρῷ γινομένων κελλαρικῶν ὁ τὴν χρῆ(σιν) μόνην ἔχων λαμβάν(ει) τὸ πρὸς ἐνιαυτὸν ἀρκοῦν αὐτῷ. καὶ τίνα κωλύει ὁ τὴν χρῆ(σιν) μόνην ἔχων. (16) Καὶ περὶ τοῦ ἐὰν χρῆ(σις) μόνη ἀγροῦ, ὥς ἐστιν ἐξωπλισμένος, ληγατευθ(ῇ) μοι. καὶ ὅτι ὁ δεσπότ(ης) δύναται διὰ τῶν προση(κό)ντων αὐτῷ φυλάττειν τὸν ἀγρὸν καὶ τὸν οἶκον, ἵνα μὴ καινοτομηθ(ῶσι) καὶ ἄκοντος τοῦ τὴν χρῆ(σιν) τῶν καρπῶν καὶ τὴν χρῆ(σιν) μόνην ἔχοντος. καὶ ποῖα ὁ δοῦλ(ος), οὗ τὴν χρῆ(σιν) ἔχω, προσπορίζει μοι. (17) Καὶ ὅτι παρόντ(ος) ἢ ἀπόντος τοῦ υἱοῦ μου κέχρημαι τῇ καταλειφθείσῃ | αὐτῷ τοῦ οἴκου ψιλῇ χρή(σει). (18) Καὶ ποῖα ποιεῖ ἐπὶ ψιλῇ μόνῃ 62r χρή(σει). οἴκου ἀνακέραμα ὁ δεσπότης. καὶ ποῖα ὁ τὴν χρῆσιν μόνην ἔχων. (19) Καὶ ὅτι χρή(σεως) μόνης μέρος οὐ ληγατεύεται. (21) Καὶ ὅτι ἡ χρῆ(σις) τοῦ ὕδατος οὐ διαβαίνει εἰς κληρονόμ(ους). (22) Καὶ περὶ τοῦ ἔχ(ον)τ(ος) χρῆ(σιν) μόνην ὕλης, τί δοκεῖ ἔχειν. καὶ ποῖα πιπράσκει. καὶ περὶ τοῦ ἔχοντ(ος) ψιλὴν χρῆ(σιν) οἴκου καὶ μὴ δυναμένου κατέχειν ὅλον τὸν οἶκον, πῶς οὐ δύναται ὁ δεσπότ(ης) ταῖς σχολαζούσαις διαίταις κεχρῆσθαι. (23) Καὶ ὅτι ὁ τὴν δεσποτ(είαν) ἔχων οὐκ ἐναλλάσσει τὸ εἶδος, οὗ ψιλ(ὴν) χρῆ(σιν) ἔχει τις, κἂν κρεῖττον ποιήσ(ῃ) τὸ πρᾶγμα. (24) Καὶ ὅτι κἂν πάντων τῶν πραγμάτων καταλίπ(ῃ) τις χρῆ(σιν) καρπῶν τινι, κἂν ἡ γυνὴ τῷ ἀνδρί, εἰ καὶ εἴπῃ ἄνευ ἀσφαλ(είας) λαβεῖν τὴν χρῆ(σιν) τούτ(ου), οὐκ ἰσχύει, ἀλλὰ μετὰ ἀσφαλ(είας) τοῦ φυλάξαι ἀκαινοτόμητ(α) τὰ πράγματ(α) ὀφείλ(ει) λαβεῖν τὰ καταλειφθέντα. (25) Καὶ ὅτι ὁ δεσπότης, ἐν ὅσῳ χρᾶταί τις, δύναται τὸ πρᾶγμα ὑποτιθέναι μενούσης μέντοι τῆς χρή(σεως) τῶν καρπῶν καὶ τοῦ πράγματ(ος). (27) Καὶ περὶ τοῦ τὴν χρῆ(σιν) καρπῶν ἔχοντ(ος) διδόναι παρὰ δικαστηρ(ίῳ) τὴν διὰ ἐγγυητῶν ἀσφάλ(ειαν). (29) Καὶ περὶ τοῦ, πότ(ε) τὴν χρῆ(σιν) τῶν καρπῶν μόνην τῶν πραγμάτων ὁ ἀνὴρ ἐν προικὶ ὑποδεξάμενος οὐ δύναται τὸ πρᾶγμα ὑποτίθεσθαι. εἰ δὲ δεσποτ(εία) αὐτῷ ἐδόθ(η) καὶ μετὰ τελευτὴν αὐτοῦ συνεφωνήθ(η) ἀναδοθῆναι τῇ γυναικί, καλῶς ὑποτίθεται αὐτό. καὶ παρεισάγει, ὅτι, ἐπειδὴ διατετιμημένος ἐστί, κἂν ἀγρὸς τυγχά(νει), δύναται ποιεῖν τοῦτο, εἰ γὰρ ἀδιατίμητος ὑπάρχ(ει),

19 cap. 20 Editionis deest in Tipuc. | 30 pro ἀποτιθέναι Ed.: ὑποτίθεσθαι praebet | 31 cap. 26 Editionis deest in Tipuc. | 32 cap. 28 item

12 ἐξοπλισμένος | 31 τὸν χρῆσιν

οὐδὲ βουλομένης τῆς γυναικὸς ὑποτίθεται. ζήτ(ει) τοῦ κθ' βι. τὸ τέλος. (30) *Καὶ τίνα δεῖ ποιεῖν ὁ ἔχων χρῆ(σιν) οἰκίας. καὶ ποῖα ἀπαιτ(εῖ), εἰ περαιτέρω ἀναλώ(σῃ).* (31) *Καὶ ὅτι χρονίαν νομὴν αὐτὸς ἢ ὁ κληρονόμ(ος) αὐτοῦ τῷ δεσπότ(ῃ) οὐ δύναται εἰς παραγραφὴν ἀντιτιθέναι, εἰ μὴ ἀπὸ τοῦ νομιζομένου καὶ μὴ κυρίου δεσποτ(είαν) ἐξωνήσαντ(ο) ἀγνοοῦντες.* (32) *Καὶ ὅτι οὔτε ἐλευθεροῦν δύναται ἢ ἐκποιεῖν ὁ τὴν χρῆ(σιν) ἔχων τῶν δούλων ἢ κτημάτων.* (33) *Καὶ περὶ τοῦ ἐάν τις μισθώσηται χρῆ(σιν) καρπῶν παρά τινος, πότε ἀπολ(έσει) ταύτην.* (34) *Καὶ ὅτι τῇ τελευτῇ φθείρεται ἡ οἴκησις.* (35) *Καὶ περὶ τοῦ ἐάν τις ληγατεύσῃ τινὶ χρῆ(σιν), ἕως οὗ ὁ υἱὸς αὐτοῦ γένηται εἴκο(σιν) ἐνιαυτῶν, συμβῇ δὲ τὸν υἱὸν αὐτοῦ τελευτῆ(σαι) πρὸ τοῦ εἰκο(στοῦ) ἐνιαυτοῦ, πῶς περιμένομεν πληρωθῆ(ναι) τὸν εἰκο(στὸν) χρό(νον), εἰ δὲ τελευτή(σῃ) ὁ τὴν χρῆ(σιν) ἔχων ἔτι τοῦ παιδὸς ἐλάττονος ὄντος τῶν εἴκο(σιν) ἐνιαυτῶν, φθείρεται ἡ χρῆ(σις). ἐὰν δέ τις κατέλιπ(ε) χρῆ(σιν) καρπῶν τινι, ἕως οὗ ὁ Πέτρος μαίνεται ἢ παιδοποιήσ(ει), συμβῇ δὲ τὸν Πέτρον ἐν τῇ μανίᾳ ἢ τῇ ἀπαιδίᾳ τελευτῆσαι, πῶς ἡ χρῆ(σις) ἐπεκτείνεται ἄχρι τῆς ζωῆς τοῦ ἔχοντος τὴν χρῆ(σιν).* (36) *Καὶ τί ἔστιν ἣ λέγεται ἡ χρῆ(σις) τῆς οἰκήσεως καὶ τί δύναται ποιεῖν ἢ μισθοῦν ὁ ἔχων χρῆ(σιν) οἰκήσεως. καὶ τί διαφέρ(ει) χρῆ(σις) μόνη οἰκήσεως χρή(σεως) καρπῶν. καὶ τί δύναται ποιεῖν ὁ τὴν χρῆ(σιν) μόνην ἔχων τοῦ οἴκου ἢ χρῆ(σιν) καρπῶν οἰκήσεως κεκτημένος, ἀνά(γνωθι). τὴν τῶν πολλῶν περὶ τούτων δόξαν γὰρ εὑρήσεις ἐνταῦθα λελυμένην.* (37) *Καὶ ὅτι ἡ τῆς καταστά(σεως) πρώτης ἐναλλαγὴ καὶ ὁ θάνατος παύει τὴν χρῆ(σιν).* (38) *Καὶ ὅτι, ἐὰν χρῆ(σις) καρπῶν δούλ(ῳ) μου ληγατευθ(ῇ), εἰ καὶ ἀποκτήσομαι μέρος τούτ(ου) τοῦ δούλ(ου), μένει παρ' ἐμοὶ τελεία ἡ χρῆ(σις) τῶν καρπῶν.* (39) *Καὶ ὅτι χρή(σ)εως χρεωστουμένης τινὶ ἢ ἐκ διαθήκης ἢ ἐπερωτήσεως, μὴ φθείρεσθαι [αὐτὴν] διὰ δύο ἐνιαυτῶν τῇ ἀχρησίᾳ, ἀλλὰ διὰ δέκα ἢ εἴκο(σιν) ἐνιαυτῶν καὶ τῷ θανάτῳ μόνῳ φθείρεσθαι τοῦ τὴν χρῆσιν ἔχοντος, τῇ τοῦ πράγματ(ος) ἀπωλ(είᾳ) καὶ τῇ ἐλαττώσει τῆς πρώτης καὶ δευτ(έ)ρ(ας) καταστάσεως.* (40) *Καὶ περὶ τοῦ ἐὰν χρῆ(σις) πραγμάτων προσπορισθ(ῇ) διὰ ὑπεξουσίου υἱοῦ ἢ δούλ(ου), μὴ φθείρεσθαι τὴν τοιαύτην χρῆ(σιν), φη(σὶν) ἡ διάτ(αξις), τῇ τοῦ υἱοῦ τελευτῇ ἢ τῇ τῆς πρώτης καταστάσεως ἐλαττώσει ἢ διὰ τὸ γενέσθαι αὐτὸν αὐτεξούσιον ἢ τῇ τοῦ δούλ(ου) ἐκποιήσει ἢ | τῇ ἐλευθ(ε)ρ(ίᾳ) ἢ τῇ τελευτῇ, ἀλλὰ μένειν παρὰ τῷ πατρὶ ἢ τῷ* **62v**
δεσπότ(ῃ) ἀκεραίαν ταύτην. καὶ ἐκ τοῦ ἐναντ(ίου), ἐὰν ὁ πατὴρ ὑποστῇ ἐλάττωσιν τῆς πρώτ(ης) καταστά(σ)εως ἢ τελευτή(σῃ), μένειν τὴν χρῆ(σιν) παρὰ τῷ παιδί, εἰ καὶ κληρονόμ(ος) παρὰ τοῦ πατρὸς μὴ κατελείφθη. περὶ δὲ τοῦ, πότε ὁ πατὴρ ποιῶν τὸν παῖδα αὐτεξούσιον, παρακρατεῖ τὸ ἥμι(συ) τῆς χρή(σεως) τῆς προσπορισθείσης αὐτῷ ἐκ τῶν μητρῴων πραγμάτων, ***ζήτ(ει) βι. με' τί. δ'.***

ΤΙ(ΤΛΟΣ) θ'.

Ὁ τὴν χρῆ(σιν) ἔχων ποίοις τρόποις ἀσφαλίζεται.

(1) Κἂν κινητὸν κἂν ἀκίνητόν ἐστι. καὶ πῶς καὶ τί ὀφείλ(ει) ἀσφαλίζεσθαι. καὶ περὶ ἐπερωτ(ήσεως) τῆς ἐν αὐτῇ. καὶ πότε βεβαιοῦται καὶ κινεῖται. καὶ πότε ἡ περὶ τῆς ἀποκαταστάσεως ἐπερώ(τησις). (2) Καὶ ὅτ(ι) πᾶσαν τὴν ἐπιμέλειαν καὶ φυλακ(ὴν) τοῦ πράγματ(ος) ὁ τὴν χρῆ(σιν) ἔχων ληγατ(ά)ρ(ιος) ἀναδέχεται. (3) Καὶ ποίους τρόπους δεῖ περιέχειν τὴν ἀσφάλ(ειαν) καὶ πότ(ε) παύεται ἡ χρῆ(σις) τῶν καρπῶν καὶ μήπω ἀρξαμένη καὶ βεβαιοῦτ(αι) ἡ ἐπερώ(τησις). καὶ ὅτι, ἐὰν ληγατεύων χρῆ(σιν) καρπῶν εἴπω, ληγατεύω αὐτὴν τῷ ληγαταρίῳ. ὁσάκις αὐτὴν ἀπολέ(σῃ) καὶ οὐ δεόντως συντεθ(ῇ) ἡ ἀσφάλ(εια), πῶς βεβαιοῦται ἡ ἐπερώ(τησις) καὶ ἁρμό(ζει) παραγρα(φή). καὶ εἰ χρῆ(σιν) καρπῶν ληγατεύσω σοι καὶ τὴν δεσποτ(είαν), εἰ σχοίης παῖδας, τί δεῖ γενέσθαι καὶ πῶς βεβαιοῦται ἡ ἐπερώτησις καὶ ἁρμό(ζει) παραγρα(φή). καὶ περὶ τοῦ [ἐὰν] ὁ δεσπότ(ης) ἐκποιή(σῃ) τὴν δεσποτ(είαν) καὶ μετὰ ταῦτα φθαρῇ ἡ χρῆ(σις) τῶν καρπῶν, πῶς οὐ δύναται ὁ κληρονόμος κινεῖν τὴν περὶ ἐπερωτ(ήσεως) ἀγωγ(ήν), οὔτε ὁ παρ' αὐτοῦ λαβὼν τὸ πρᾶγμα, εἰ μὴ καινοτ(έ)ρ(α) ἀσφάλ(εια) ἐγένετο. καὶ εἰ παροφθῇ, ποίαν ἀγωγ(ὴν) ἔχει. (5) Καὶ περὶ ἐπερωτ(ήσεως) περὶ δόλ(ου) γενικῶς ἐχούσης, τίνων δόλ(ον) καὶ ἄλλων περιλαμβάνει σὺν τῷ ἀσφαλισαμένῳ. (6) Καὶ ἐπὶ ποίοις ληγατευθεῖσι χώραν ἔχει ἡ ἀσφάλ(εια). λέγ(ει) δὲ καὶ ἐπὶ θέρους καὶ προσόδ(ου) τρύγ(ης), οἰκήσεως. (7) Καὶ περὶ τοῦ ἐὰν μὴ δοθ(ῇ) ἀσφάλ(εια), ποίας ἀγωγὰς ἔχει ὁ δεσπότ(ης) καὶ τίνα ὀφείλ(ει) ἐπερωτᾶσθαι ἐν τῇ χρή(σει) τῶν πραγμάτων. (8) Καὶ περὶ τοῦ ἐὰν ληγατευθ(ῇ) σοι χρῆ(σις) καρπῶν κἀμοὶ ἡ δεσποτ(εία), εἴτε χωρὶς αἱρέ(σεως) εἴτε ὑπὸ αἵρεσ(ιν), τίνα δεῖ ἀσφαλίσασθαί σε. καὶ εἰ ληγατευθ(ῇ) Πέτρῳ, ὅτε παύσεται ἀνήκειν μοι, ἢ δύο ληγατευθ(ῇ) συνημμένως. (9) Καὶ ἐὰν καταλειφθῇ μοι χρῆ(σις) καρπῶν ἐπὶ τῷ ἀποκαταστῆσαί σοι αὐτήν, πῶς γίνεται ἡ ἀσφάλ(εια). καὶ πρὸς τίνας. ἔχει γὰρ διάστιξιν ἐννοίας. καὶ ἐπὶ ποίας χρή(σεως) ἀργεῖ ἡ ἀσφάλ(εια). καὶ τίνες ἀναδιδόντες τὸ πρᾶγμα ὑπόκεινται τῇ ἐπερωτ(ήσει) ἢ οὐχ ὑπόκεινται, ὡς ὁ τετριμμένην ἀδό-

19 cap. 4 Editionis deest in Tipuc. | 22 οἰκήσεως deest in Ed.

11 ⌣ω' (?) pro ληγαταρίῳ (cf. 45, 9) | 14 παί$^{\delta}$ | 31 ἢ οὐχ ὑπόκεινται καὶ οὐχ ὑπόκεινται, ὡς ὁ..:

λως ἀποδιδοὺς τὴν ἐσθῆτα. (10)Καὶ ἐὰν πολλῶν ἐστιν ἡ δεσποτ(εία), ἕκαστος πρὸς τὸ ἴδιον μέρος ἐπερωτᾷ. καὶ ὅτι ἀσφαλίζῃ, καὶ ἐὰν τοῦ ἐμοῦ καὶ σοῦ δούλ(ου) ληγατεύσω σοι τὴν χρῆ(σιν) τῶν καρπῶν. (11) Καὶ ἐὰν ληγατ(εύσω) τῇ γυναικί μου χρῆ(σιν) οἰκίας, εἰ καὶ εἶπον τοὺς παῖδάς μου κληρονόμους ὄντας συνοικεῖν αὐτῇ, δίδω(σιν) ἀσφάλ(ειαν). καὶ ἐὰν σκευῶν χρῆ(σις) καταλειφθῇ. (12) Καὶ ὅτι δι' ἐλευθ(έ)ρ(ου) προσώπ(ου) νομ(ὴ) ἡμῖν προστίθεται, οὐκέτι μὴν καὶ ἀγωγ(ή), εἰ μὴ ὁ δανειακὸς κονδ(ού)κτ(ω)ρ καὶ ἡ πιγνερατ(ορι)κία. διὰ δὲ δούλων ἀγωγ(ὴ) τῷ δεσπότ(ῃ) καὶ νομὴ προσπορίζεται, παρεισάγει δὲ παράδειγμα προκουράτ(ω)ρ(ά) τινων δικασάμενον ὀνόμ(α)τ(ι) αὐτῶν καὶ καταδικασθέ(ν)τ(α) καὶ συμφωνήσαντα πρὸς τὸν ἀγοραστήν, ἄνωθ(εν) περὶ τούτ(ου) τοῦ πράγματος δικάσασθαι καὶ ἐπερωτήσαντ(α). καὶ ὅτι προσπορίζεται ἡ ἐπερώ(τησις) ἐκείνοις. (13) Καὶ τίνα ὁ ἐπίκοινος οἰκέτης προσπορίζει τοῖς δεσπότ(αις). καὶ ποῖα τῷ ἑνί. καὶ περὶ τοῦ, ὥσπερ ἡ περὶ τῆς παραγγελίας ἀγωγ(ὴ) προσπορίζεται ἡμῖν, ὅτε ὀνόματι ἡμῶν δανείσεταί τις. ἢ ὅτε μὴ τὸ κεχρεωστημένον καταβάλλει καὶ δεκτὸν ἡγησόμεθα. οὕτως, κἂν ἐνέχυ(ρον) λαβών τις ἐπ' ὀνόμ(α)τ(ι) | ἡμῶν δανείσας, προσπορίζεται ἡμῖν τὴν ὑποθηκ(α)ρ(ίαν) ἀγωγ(ήν). καὶ μὴ **63r** περιμένειν ἀπὸ τοῦ δανείσαντος ἐκχώρησιν.

1-3 verba *καὶ ἐὰν πολλῶν — καρπῶν* desunt in Ed., videntur esse capituli 10, quod desideratur in Editione | 5-6 verba *καὶ ἐὰν — καταλειφθῇ* desunt in Editione | 7-8 *εἰ μὴ — πιγνερατορικία* item | 14-18 *καὶ περὶ — ἐκχώρησιν* item

---

4 *εἰ δὲ εἶπον...*

ΒΙ(ΒΛΙΟΝ) ιζ'. ΤΙ(ΤΛΟΣ) α'.

[*Περὶ διοικήσεως πραγμάτων.*]

(1) *Πε(ρὶ) τῶν διοικούντων ἀλλότρ(ια) πράγμ(α)τ(α).* (2) *Καὶ εἰ καὶ ἀγνοοῦντος τοῦ δεσπότ(ου) πράγματ(α) αὐτοῦ διῴκησέ τις, πῶς ἑκατέρωθ(εν) ἁρμό(ζει) ἀγωγή. καὶ εἰ γυνὴ τὰ τοῦ ἀποθανόντ(ος) διοική(σῃ), πῶς ἐνάγει καὶ ἐνάγεται, κἂν ἓν κἂν πολλὰ διῴκη(σε). καὶ περὶ ἀνήβου διοική(σαν)τ(ος) καὶ ἐναγομένου, εἰς ὃ γέγονε πλουσιώτ(ε)ρ(ος). ἐνάγων δὲ πῶς εἰς ὁλόκληρον ἀντέλλογος ὑπομένει. καὶ περὶ προκουράτ(ω)ρ(ος) διοική(σεως). καὶ ὅτι οὐ μόνον τὰ γενόμενα διοικῶν ἐνέχεται, ἀλλὰ καὶ τὰ ἐπιγενόμενα. καὶ περὶ ἐκβιβαστοῦ δόλον ποιήσαντος πε(ρὶ) τὸ πρᾶγμα. καὶ περὶ τοῦ διὰ τὸ μὴ πραθῆ(ναι) τὰ πράγματά μου ἐμβαλόντος ἑαυτόν. ὑπόκειται τῇ διοική(σει) καὶ ὁ ἐξ ἀνάγκης ἢ ἐν ὑπονοίᾳ ἀνάγκης διοικῶν ἀλλότρ(ια) πράγματ(α). καὶ περὶ τοῦ ἐὰν ἑτοίμως ἔχοντά με διοικῆ(σαι) τὰ Πέτρου πράγματα ἐνετείλω μοι τοῦτ(ο) πρᾶξαι ἢ ἐνηγγυήσω, πῶς καὶ σὺ καὶ Πέτρος οἷς ἐκαινοτομήθ(η) ὑπόκεισθ(έ) μοι καὶ σὺ ἔχεις κατὰ Πέτρου. ἢ ὑπέλαβον παρὰ σοῦ ἐνταλθῆναι διοικῆ(σαι), ποία ἀγωγ(ὴ) ἁρμό(ζει). καὶ εἰ ἠγγυησάμην ὑπέρ σου νομίζων ἐντείλασθαί σε ἢ διοική(σω) τοὺς ἀ(γροὺς) νομίζων εἶναι Πέτρου, σὺ μόνος ἐνέχ(η) μοι. καὶ περὶ τοῦ ἐὰν διοική(σω) τὰ τοῦ ἀνήβου σου μὴ κατ' ἐντολήν σου, ἀλλ' ἵνα μὴ ὑποπέσῃς τῇ κατὰ τῶν ἐπιτρόπων ἀγωγῇ.* (6) *Καὶ ἐὰν δανείσω διαθέ(σει) σου τῷ διοικητ(ῇ) σου, ἵνα δανειστήν σου ἢ ἐνέχυρον ἐλευθερώσῃ, τίς ἐνέχεταί μοι. καὶ πάντως σύ, εἰ μὴ ἐπηρώτ(ησας) αὐτόν, τότε γὰρ ἑκάτερος. ἔχω τὴν τοιαύτην ἀγωγὴν καὶ κατὰ τοῦ λαβόντος ἀγαγεῖν μοι χρήματα ἢ πράγματ(α). καὶ περὶ τοῦ μὴ διαθέ(σει) μου, ἀλλὰ διὰ κέρδος ἴδιον διοική(σαν)τ(ος) τὰ πράγματά μου, ποίαν ἔχω κατ' αὐτοῦ ἀγωγὴν καὶ οὗτος κατ' ἐμοῦ. καὶ περὶ τοῦ, ἔνθα τις τὸ ἴδιον ὡς ἐμὸν διοική(σῃ) ἢ τὸ ἐμὸν καὶ αὐτοῦ ὡς αὐτοῦ. καὶ περὶ τοῦ ἐὰν ἐλεύθ(ε)ρ(ος) ὡς δοῦλ(ός) μου νομίζων διοική(σῃ) τὰ ἐμά. καὶ περὶ τοῦ ἐὰν υἱοῦ σου ὑπεξουσίου ἢ δούλ(ου) σου διοική(σω) πράγματα,*

1 initium huius tituli deest in Ed. Fabrot. usque ad c. 6, § 9, quia excidit folium in cod. Paris. Nonnulla capita ex Synopsi et Harmenopulo suppleta sunt ab Heimbachio qui etiam copiam huius libri a fratre ex Tipucito Vaticano (= c.) confectam ad calcem Ed. (p. 751-3) typis expressit (=Heimb.) | 5-20 *καὶ εἰ γυνὴ — ἀγωγῇ* deest in Ed. | 21-55,6 *καὶ πάντως — ἡγήσῃ* deest in Ed.

8 *ἀντέλλογον* c. et Heimb. | 8 *διοικήσαντος* Heimb. | 14 *ἐνεγγυήσω* c., *ἐνεγγυησάμην* Heimb. | 22 *ἐπηρώτησα* Heimb. | 27 *διοικήσῃς τὰ ἐμὰ* Heimb .

ποίας ἀγωγὰς ἔχω κατὰ σοῦ ἢ τοῦ καλῇ πίστει δουλεύοντός σοι. καὶ ἐὰν ὑπὲρ τοῦ δούλου σου δῶ χρήματ(α), ἵνα μὴ φονευθ(ῇ). καὶ ἐὰν τὸν μὴ χρεωτοῦντ(ά) σοι ἀπαιτήσω ἐκτὸς δικαστηρ(ίου) καὶ δεκτὸν ἡγήσῃ, ἀπαιτήσω δὲ ὀνόματί σου, ποίας ἀγωγ(ὰς) κατ' ἀλλήλων ἔχομεν. καὶ περὶ τοῦ ἐὰν νομίζων σὲ κληρονόμον εἶναι, ἀπαιτήσω κληρονομιαῖον χρεώστην καὶ δεκτὸν ἡγήσῃ, ἢ οἶκον κληρονομιαῖον ἀνορθώσω, ἀνά(γνωθι) διαστίξεις, πότε ἐνέχῃ μοι ἢ μή. καὶ πε(ρὶ) τοῦ ἐάν τις τὰ μὲν διοική(σῃ), τὰ δὲ οὔ, πῶς ἐνέχεται καὶ ἐπὶ ποίοις. καὶ ὅτι ἐὰν ὁ τὰ ἀλλότρ(ια) διοικῶν ἐκδική(σῃ) ἀγρὸν ἰδιώτ(ου) τινός, εἰ τάχα καὶ οὐκ ἐφεῖται αὐτῷ μηδεμίαν ἀγωγὴν κινεῖν, ὅμως ἐκδική(σας), ὡς εἴρηται, εἰ λά(βῃ) καρποὺς πλείονας ἤπερ ἔδει λαβεῖν ἐναγόμενος τῇ περὶ διοική(σεως), οὐ δύναται λέγειν, ὅτι τοὺς ἁρμόζοντά(ς) σοι δίδωμι. κἂν γὰρ ἄτοκον ἦν τὸ χρέος, πάντας, οὓς ἔλα(βε), δίδωσι. (8) *Καὶ τίνες ἐγκαλοῦνται μὴ ἀπαιτήσαντες τοὺς χρεώστας, ὡς οἱ χωρὶς ἐντολῆς κινεῖν δυνάμενοι. καὶ ὅτι ὁ διοικῶν, εἰ καὶ μὴ δύναται χρεώστας ἀπαιτεῖν καὶ διὰ τοῦτο οὐκ ἐγκαλεῖται, ὅμως ἑαυτὸν μὴ ἀπαιτ(ήσας) ἐγκαλεῖται. καὶ περὶ συμψηφισμοῦ μὴ δεχθέντος παρὰ τοῦ δικαστοῦ, πῶς σώζεται ἡ ἐπ' αὐτοῖς ἀγωγή. εἰ δὲ μετὰ τὴν ζήτη(σιν) ἀπεδοκίμα(σεν) αὐτούς, ἀντίκειται αὐτῷ παραγραφὴ ἡ ἀπὸ | καταδίκης. καὶ περὶ τοῦ* **63v** *ἐὰν ἐκ δύο κοινωνῶν ὁ εἷς κωλύσῃ με διοικῆ(σαι), τίς ἐξ αὐτῶν ἐνέχεταί μοι.* (9) *Καὶ ποῖα ἀναγκάζεται δεκτὰ ἡγεῖσθαι ὁ δεσπότ(ης). καὶ δεξάμενος δεκτά, ποία ἀγωγὴ κινεῖται.* (10) *Καὶ ἐὰν χρησίμως διοική(σω) καὶ μὴ χρηστὸν ἀποτέλεσμα ἔσχε [τὸ γεγονός], ἔχω τὴν περὶ διοική(σεως). τυχὸν δοῦλ(ος) ἐπιμεληθ(εὶς) ἀπέθαν(εν) ἢ οἶκος ἀνανεωθ(εὶς) ἐκαύθ(η). καὶ τίς δοκεῖ μὴ χρησίμως διοικεῖν.* (11) *Καὶ ὅτι δόλ(ον) καὶ ἀμέλ(ειαν) χρεωστεῖ ὁ τὰ τοῦ ἀπόντος καὶ ἀγνοοῦντος διοικῶν, ἔσθ' ὅτε καὶ τὸν κίνδυνον τῶν τυχηρῶν.* (12) *Καὶ ὅτι τῷ κληρονόμῳ τοῦ αἰχμαλώτ(ου) καὶ τοῦ διαθεμένου ὑπεξουσίου στρατιώτ(ου) δίδοται ἡ περὶ διοική(σεως) καὶ ἀρκεῖ, ὡς ἐπὶ τῶν ζώντων τὸ χρησίμως διοικηθῆναι τὰ τοῦ τελευτήσαντος, κἂν ἐναντ(ίον) ἀποτέλεσμα ἔσχε.* (13) *Καὶ περὶ τοῦ ἐὰν χρεωστοῦμαι παρά σου ν' νομίσματα καὶ τελευτ(ήσῃς), ὁ δὲ κληρονόμος σου τὴν κληρονομίαν μήπω ὑπεισέλθ(ῃ), καὶ ταύτην ἐγὼ διοική(σω) καὶ δαπανήσω ἕτ(ε)ρ(α) δέκα νομίσματα, εἶτα πωλή(σω) καὶ ἕτερον πρᾶγμα ὀφεῖλον πραθῆ(ναι) καὶ λαβὼν ἐκ τῆς τούτ(ου) τιμῆς νομίσματα ρ' ἀπόθωμαι αὐτὰ καὶ χωρὶς ῥᾳθυμίας μου ἀπόλλωντ(αι), τί δεῖ γενέσθαι, ἀνά(γνωθι). ἔστι καὶ γὰρ ἀνάγνωσμα καλόν.* (14) *Καὶ ποῖαι ἀγωγαὶ ἁρμό(ζουσι) κατὰ πατρὸς ὑπεξουσίου υἱοῦ διοικοῦντος. ἢ δούλ(ου) διοι(κοῦν)τ(ος) κατὰ τοῦ δεσπότ(ου).* (15) *Καὶ ὅτι ἡ ἀρχὴ τῆς διοική(σεως) σκοπεῖται, τουτέστιν ἑκάστου συν-*

1 *ποίαν ἀγωγὴν* Heimb. | 4 *ποίαν ἀγωγὴν* Heimb. | 14-15 *χρεώστην* Heimb. | 30 *ν'* *ii* c. | 32 *δέκα* *ii* c. | 33 *ii* *ρ'* c. | 34 *ἐνάν*ᵀ c.

ἀλλάγματος ἡ ἀρχή. ἡ δὲ αἰτία σκοπεῖται. τί γάρ, ὅτι ἐν ἀρχῇ πούπιλ(ος) ἦν ἢ δοῦλ(ος) ἢ ὑπεξούσιος καὶ τῆς διοική(σεως) ἐπεκτεινομένης ἥβη(σεν) ἢ ἠλευθερώθ(η), εἰ μὴ ἄρα ἐν ἀρχῇ ἓν πρᾶγμα χειρίσαι σκοπὸν ἔσχον καὶ μετὰ τὸ συμβῆναι τὰ εἰρημ(έ)ν(α) ἑτέρῳ λογισμῷ διῴκη(σα). (16) *Καὶ πότε δοκεῖ ἓν πρᾶγμα διοικεῖν τις, κἂν πολλά εἰσι, καὶ πότε ἕν.* (17) *Καὶ πότε δοῦλ(ος) διοικῶν καὶ ἐπιμείνας μετὰ τὴν ἐλευθ(ε)ρ(ίαν) οὐκ ἐνέχεται.* (18) *Καὶ πότε ἐνέχεται σπανίως.* (19) *Καὶ πῶς λογοποιεῖται καὶ πότ(ε). καὶ ὅτι, ἐὰν ἐλευθ(έ)ρ(ῳ) καλῇ πίστει δουλεύοντί μοι ἐντείλωμαι πρᾶξαί τι, ἡ περὶ διοική(σεως) χώραν ἔχει καὶ οὐχ ἡ περὶ ἐντολ(ῆς). καὶ ἐὰν διοικῶν τὰ πράγματά μου ἀπόντος μου ἀγοράσ(ῃς) πρᾶγμά μου ἀγνοῶν ἐμὸν εἶναι καὶ διὰ τῆς χρή(σεως) δεσπόσ(ῃς), οὐκ ἔχω τὴν παροῦσαν ἀγωγὴν εἰς τὸ λαβεῖν αὐτό, ἐν ᾧ μέχρι τέλους ἠγνόησας. εἰ δὲ ἔγνως, τί δεῖ σε ποιῆσαι, ἵνα μὴ ἀμφότ(ε)ρ(οι) ζημιωθῶμεν. καὶ ὅτι τοῦτ(ο) ποιῶν οὐχ ἁμαρτάν(εις) δόλον, ἀνά(γνωθι), ξένον. καὶ ποίους τόκους δίδω(σιν) ὁ διοικητ(ής). καὶ ποίους λαμβάν(ει), ὑπὲρ ὧν οἴκοθ(εν) ἐδαπ(ά)ν(ησε). καὶ ἐὰν διοική(σω) τὰ τοῦ αἰχμαλ(ώ)τ(ου), ἔχω τὴν παροῦσαν ἀγωγήν.* (21) *Καὶ περὶ τριῶν ὄντων αἰχμαλώτων καὶ ἑνὸς ἀπολυθ(έν)τ(ος) λύτρα κομίσαι, εἰ δ' οὖν, παρασχεῖν τοὺς δύο τὰ πάντ(α), ἐὰν αὐτοῦ μὴ ὑποστρέψαντος δώσουσιν ὑπὲρ αὐτοῦ οἱ ἄλλοι , ἐνάγουσιν αὐτῷ. καὶ ὅτι ἐνέχεται καὶ ἔνοχον ἔχει τὴν ἀπροσέλευστον κληρονομίαν ὁ διοική(σας) αὐτήν. καὶ περὶ τοῦ ἐὰν ζῶντός σου ἄρξωμαι διοικεῖν τά σά, [πληροῦν] ἀναγκάζομαι τὰ ἀρχθέντα, οὐ μὴν νέων ἐφάπτεσθαι. τὸ αὐτὸ λέγομεν καὶ ἐπὶ τῆς κοινωνίας ἑνὸς τῶν κοινωνῶν ἀποθανόντος. καὶ ἐὰν ἄλλος διοική(σῃ) κατ' ἐντολ(ήν) σου τὰ πράγμ(α)τ(ά) μου, ἐπὶ ποίοις ἐνέχῃ μοι ἢ μή.* (22) *Καὶ περὶ τοῦ ἐὰν ἀναγκαῖον ἀγοράσ(ω) πρᾶγμα, τυχὸν δαπ(ά)ν(ην) τῇ φαμιλ(ίᾳ), καὶ τυχηρῶς ἀπόλλητ(αι), πότε ἔχω τὴν περὶ διοική(σεως). καὶ πότε οὐκ ἔχω.* (23) *Καὶ ὅτι ὁ διοικητ(ὴς) ἀπαιτή(σας) τὸ μὴ χρεωστούμ(ε)ν(ον) δίδω(σι) τῷ δεσπότ(ῃ). αὐτὸς δὲ τὸ μὴ κεχρεωστημένον διδοὺς ζημιοῦται.* (25) *Καὶ περὶ τοῦ δαπανήσαντ(ος) πλέον τοῦ δέοντ(ος).* (26) *Καὶ πότε τρεῖς διοικηταὶ παρὰ τῶν στρατηγῶν ἐπιτήδειοι προβληθέντες καὶ διελόντες τὴν διοίκη(σιν) μὴ συναινούντων τῶν στρατηγῶν καὶ ἑνὸς ἀπόρου ἀποθανόντος ἐπιγινώσκεται τῷ ἐξ ἀδιαθ(έ)τ(ου) φανέντι κληρονόμ(ῳ) ἡ ἀπορία ἀκύρου τῆς διαθήκης μετὰ ταῦτα φανείσης.* (27) *Περὶ δύο ἀδελφῶν, ὧν | ὁ εἷς ἦν ἀφῆλιξ, ἐχόντων* **64r** *ἐπίκοινα κτήμ(α)τ(α). καὶ τοῦ μείζονος πολυτελ<ῶς> ἐν αὐτοῖς κτίσαντος, εἰς διαίρε(σ)ιν ἀποδιδόντων ἤδη τελείου γενομένου τοῦ ἀφήλ<ικος>. καὶ*

---

16 cap. 20 Editionis deest in Tipuc. | 28 cap. 24 item

---

1 *ἀρχὴ δὲ ἡ* c. | 33 *ἀφήλιξ* c. *ἔχοντες* c. et Heimb. | 34 *πράγματα* pro *κτήματα* Heimb.

ποῖα τῶν γενομένων ἀπαίτη(σιν) ἔχουσι καὶ ποῖα μή. καὶ περὶ τοῦ δι' εὐσέβειαν ἀποθρέψαντος τὸν ἀδελφόπαιδα, πῶς οὐκ ἔχει ἀπαίτ(ησιν).(28) *Καὶ περὶ τοῦ ἐὰν ἐντείλωμ(αί) σοι διοικῆ(σαι) τὰ Πέτρου, πῶς ἐνέχ(η) μοι, εἰς ὅσον μέλλω Πέτρῳ καταδικάζεσθαι. καὶ πῶς ἐνάγω σοι καὶ πρὶν ἢ Πέτρος ἐναγάγῃ μοι.* (30) *Καὶ περὶ προβληθέντ(ος) κουράτ(ω)ρ(ος) ἄρτου καὶ ὑποκουράτ(ω)ρ(ος). οὗτινος περὶ τὸν ἄρτον πλημμελήσαντος ἀπητήθ(η) ὁ κουράτωρ τὸ τίμημα, ἕξει κατὰ τοῦ ὑποκουράτ(ω)ρ(ος) τὴν περὶ τῆς διοική(σεως) ἀγωγήν.* (31) *Καὶ ὅτι ἐὰν ἐπιτρέψω φίλῳ μου ἢ ἀπελευθ(έ)ρ(ῳ) δανείσασθαι καὶ σὺ πεισθεὶς γράμμασί μου ἐδάνεισας αὐτῷ ἢ ἠγγυήσω, ἔχεις κατ' ἐμοῦ τὴν περὶ διοική(σεως) κατὰ μίμησιν τοῦ προστησαμένου δοῦλ(ον) ἢ υἱὸν εἰς πραγματείαν, εἰ καὶ μὴ δαπανήσει τὰ χρήματ(α) εἰς τὴν πραγματείαν μου ἢ εἰς τὰ πράγματά μου. Καὶ περὶ τοῦ, ὅτι τὰ πράγματά σου διοικῶν πρᾶγμα Πέτρου ὃν ἐν αὐτοῖς διῴκη(σα) ἀγνοῶν, ἐνέχομαί σοι καὶ ἐπ' αὐτῷ τῇ περὶ διοική(σεως), ἐνέχομαι δὲ καὶ Πέτρῳ. τὸ αὐτὸ καὶ περὶ ἐπιτρόπου. καὶ περὶ διοικοῦντος καὶ μὴ ἐκκαλεσαμένου, ποῖος συγγινώσκεται καὶ ποῖος μή, καὶ τοῦ τὸν ἀπόντα διεκδικοῦντος καὶ δυναμένου ἐκκαλέσασθαι καὶ μὴ ἐκκαλεσαμένου. καὶ περὶ τοῦ διεκδικοῦντος τὸν μετὰ προκάταρξιν ἀπολειφθέντα. καὶ ὅτι ὁ διοικητὴς τῶν περιττευόντων χρημ(ά)των δίδω(σι) τόκ(ον) μετὰ τὴν ἀναγκαίαν δαπάνην. καὶ ὅτι οἱ ἀπελεύθ(ε)ρ(οι) πλέον τοῦ καταλειφθέντ(ος) αὐτοῖς ποσοῦ πρὸ(ς) κατασκευὴν μνημείου δαπανήσαντες οὐχ ἕξουσιν ἀπαίτη(σιν). καὶ ὅτι γυνὴ κατὰ γνώμην τοῦ ἀνδρὸς διοικοῦσα τὰ τοῦ ἀνήβου παιδὸς πράγματα οὐ δύναται ὀνόμ(α)τ(ι) τοῦ παιδὸς ἐνάγειν ἢ προβάλλεσθαι ἰδιοκινδύνως ἐνάγοντα τὸν ὀφείλ(ον)τ(α) κινεῖν ἢ ἐκποιεῖν τι τοῦ παιδὸς οὔτε ὑποδεχομένη ἐλευθ(ε)ρ(οῦν) χρεώστην αὐτοῦ. καὶ περὶ δύο κοινὸν κεκτημένων ἀγρόν, ὃς δουλ(είᾳ) ἐκεκόσμητ(ο) ὕδατος, ἀλλὰ τοῦ ἑνὸς ἀποδημοῦντος φιλονεικίας περὶ τῆς δουλ(είας) γενομ(έ)ν(ης) [ὁ ἕτερος] ἐδικά(σα)τ(ο) καὶ ἐνίκη(σε). δύναται ὁ κοινωνὸς ἐπανιὼν χρήσασθαι τῇ δουλ(είᾳ) παρασχὼν τὰς δαπάνας διὰ τῆς περὶ διοική(σεως).* (32) *Καὶ περὶ τοῦ, ὅτι κατὰ πλάνην ὁ ἐγγυητ(ὴς) ἔλα(βε) παρὰ τοῦ δανειστοῦ οὐ μόνα τὰ ἐπὶ τῷ παρ' αὐτοῦ ἐγγυηθ(έν)τ(ι) χρέει ἐνέχυρα, ἀλλὰ καὶ τὰ δι' ἕτερον χρέος καὶ δεδωκ(εν) αὐτῷ ἑκάτερον χρέος, ἡ περὶ τῆς διοική(σεως) ἁρμό(ζει). ὁ δὲ δανειστὴς οὐχ ὑπόκειται ἀποδοῦναι τὸ πρᾶγμα, τὸ γὰρ ἴδιον δίκαιον πεπρακέναι δοκεῖ. καὶ ὅτι ἀγνοούσης τῆς θυγατρὸς, ἐὰν ἡ μήτηρ αὐτῆς ἐδέξατο τὰ παρὰ τοῦ μνηστῆρος αὐτῇ δωρηθ(έν)τ(α), χώρα τῇ περὶ διοική(σεως) ἀγω-*

5 cap. 29 Editionis deest in Tipuc.

6-7 *ἀπαιτηθεὶς* Heimb. | 9 *καὶ σοὶ πεισθεὶς* c. | 10 *ἐγγυήσω* c. | 25 *ἐλευθεροῖ* Heimb. | 32 *χρέος ἢ* c.

γῇ, κατὰ τῆς μητρός. (33) *Καὶ ὅτι ὁ κληρονόμος τοῦ ἀνδρὸς οὐ κινεῖ κατὰ τῆς γυναικὸς τὴν πε(ρὶ) συληθέντων πραγμάτων ἀγωγήν, εἰ καὶ μετὰ τὴν τελευτὴν τοῦ ἀνδρὸς κατέχει, ἅπερ καὶ ζῶντος τοῦ ἀνδρὸς κατεῖχ(εν), ἀλλὰ τὴν ἐκδικοῦσαν τὰ ἀποκρυβέντ(α) καὶ τὴν περὶ διοική(σεως), εἴγε διώκει τὰ τοῦ ἀνδρὸς καὶ ἔτι περιόντος αὐτοῦ.* (34) *Καὶ ὅτι μάμμη διοικοῦσα τὰ τοῦ ἐκγόνου πράγματα καλῶς λογίζεται τὰ εἰς ἀποτροφὴν αὐτοῦ δαπανηθ(έν)τ(α) ὡς μὴ δι' εὐσέβειαν αὐτὰ χορηγήσασα, μάλιστα, εἰ κατέγρα(ψεν) αὐτὰ ἐν τῷ λόγῳ τῆς δαπάνης. ἡ δὲ μήτηρ εὐσεβῶς δαπανᾶν εἰς τὸν υἱὸν προείληπται, εἰ μὴ τὸ ἐναντ(ίον) διαμαρτύρηται. εἰ δὲ τοῦ πατρὸς ἐπὶ ξένης ἀποθανόντος ἀποθρέψει τὸν υἱὸν ἢ τὴν φαμιλ(ίαν) αὐτοῦ, ὑποστρέφου(σα) εἰς τὴν πατρίδα, τὴν περὶ διοική(σεως) ἀγωγὴν ἕξει κατὰ τοῦ ἀνήβου.* (35) *Καὶ περὶ ἀνδρὸς μετὰ διάλυ(σιν) τοῦ γάμου τὰ τῆς γυναικὸς διοικοῦντος. καὶ πότε ἡ ἀπορία | αὐτοῦ συμβάλλεται ἢ μή. Καὶ εἰ ὁ δανει-* **64ᵛ** *στὴς τὰ τοῦ χρεώστου διῴκη(σε) καὶ μὴ εὗρε πληρωθῆ<ναι> τὸ χρέος. καὶ περὶ πράτ(ου) διοικήσαντος τὰ τοῦ ἀγοραστοῦ πράγμ(α)τ(α) τοῦ πραθ(έ)ντ(ος) δούλ(ου) βίτ(ιον) ἔχοντος. καὶ ὅτι ἡ κατὰ τῶν ἐπιτρόπων ἀγωγὴ ο<ὐ> φέρεται εἰς τὴν περὶ διοική(σεως), συμφέρ(ει) γὰρ τῷ ἀνήβῳ ἐξ αὐτῆς χρεωστεῖσθαι.* (36) *Καὶ περὶ τοῦ καλῇ πίστει δουλεύοντός μοι καὶ δανεισαμένου ἐλευθ(έ)(ρου) καὶ δαπανήσαντ(ος) εἰς τὰ πράγματά μου.* (37) *Καὶ περὶ τοῦ ἐάν τις χωρὶς τῆς αὐθεντ(είας) τοῦ ἐπιτρόπου διοική(σῃ) τὰ τοῦ ἀνήβου πράγματα, ἐφ' οἷς ἔχ(ει) τὸν ἄνηβον ἔνοχον. καὶ ὅτι ὁ χειρίζων τινὸς πράγματα καὶ τόκους δίδω(σι) καὶ τὸν κίνδυνον ὑπέχ(ει), ὧν ἐδάνεισ(εν), εἰ μὴ οἱ δανεισάμενοι τυχηρῶς ἠπόρησαν πρὸ τῆς προκατάρξεως. καὶ ὁ πατὴρ διοικῶν τὰ τοῦ αὐτεξουσίου ἐνέχεται.* (38) *Καὶ περὶ χρεώστου διοικοῦντος τὰ τοῦ δανειστοῦ καὶ τῆς προθεσμίας τῆς καταβολ(ῆς) ἐνισταμένης μὴ καταβαλόντος τοῖς λογισμοῖς τοῦ δανειστοῦ, πῶς τόκους ἐπιγινώσκει.* (39) *Καὶ ὑπὲρ ἄκοντος καὶ ἀγνοοῦντος καταβαλών τις ἐλευθεροῖ αὐτόν. τὸ δέ τινι κεχρεωστημένον ἕτερος ἀπαιτεῖν οὐ δύναται παρὰ γνώμην αὐτοῦ.* (40) *Καὶ ἐὰν ἔχων μετά σου οἶκον ἀσφαλίζωμαι ὑπὲρ τοῦ σοῦ μέρους τὴν περὶ μελλούσης ζημίας, τὴν περὶ διοική(σεως) ἀγωγὴν ἔχω κατά σου.* (41) *Καὶ περὶ τοῦ διεκδικήσαντος ἐνεχόμενον τὸν δοῦλόν μου, πῶς κινεῖ τὴν περὶ διοική(σεως) κατ' ἐμοῦ.* (42) *Καὶ εἰ παρακληθ(εὶς) παρὰ τοῦ δούλ(ου) μου ἐνέβαλες σαυτὸν τοῖς πράγμασί μου, ποίαν ἀγωγὴν ἔχεις κατ' ἐμοῦ.* (43) *Καὶ ἐὰν χωρὶς ἐντολ(ῆς) καταβάλλῃς ὑπὲρ ἐμοῦ χρέος.* (44) *Καὶ ποῖος αἰτήσας ἐπίτροπον τῷ ἀνήβῳ ἢ τοῦ ὄντος ὡς ὑπόπτου κατηγορήσας οὐκ ἔχει κατ' αὐτοῦ ἀγωγήν.* (45) *Ἔχει τὴν περὶ διοική(σεως) καὶ ὁ δαπανήσας εἰς βαθμοὺς ἀξιώματ(ός) τινος. καὶ ὅτι ὁ χωρὶς αἱρέ(σεως) ἐν διαθή-*

---

2 *συλληθέντων* c. | 4 *ἐκνικοῦσαν* c. | 6 *ἔκγονο(ς)* c. | 31-32 *τὴν περὶ διεκδική(σεως)* c. | 35 *ἐπίτροπος* c. *ἐπιτρόπους* Heimb. | 37 *ὅτι χωρὶς αἱρ.* Heimb.

κ(ῃ) ἐλευθερωθ(εὶς) οὐκ ἀναγκάζεται λογισμὸν ἀποδοῦναι τῆς ἐν δουλ(είᾳ) διοική(σεως). καὶ περὶ τοῦ ἐὰν ὑπολαμβάνων τὴν ἀδελφήν μου κληρονόμ(ον) εἶναι καταβάλλω τοῖς κληρονομιαίοις δανεισταῖς, πῶς ἔχω κατὰ τοῦ ἀληθ(οῦς) κληρονόμου τὴν περὶ διοική(σεως). (46) Καὶ περὶ τοῦ ἐὰν ἐντείλ(ω) τῷ ὑπεξουσίῳ μου υἱῷ ἀγοράσαι πρᾶγμα ἢ ἐγγυήσασθαι ὑπὲρ σοῦ, κἀγὼ ἀγορά(σ)ω ἢ ἐγγυήσωμαι, ἀνά(γνωθι) διαστίξεις. (47) Καὶ τίς ἔχει τὴν περὶ διοική(σεως) ἀγωγήν. (48) Καὶ περὶ τοῦ ἐὰν ἀγνοούσης τῆς ἀδελφῆς μου ὡς πραγματείαν αὐτῆς πράττων ἐπερωτήσω τὸν αὐτῆς ἄνδρα τὴν προῖκα, ἔχει κατ' ἐμοῦ ἡ ἀδελφή μου τὴν περὶ διοική(σεως) εἰς τὸ ἐλευθερῶ(σαι) τὸν ἄνδρα. (49) Ἐὰν τὸ κλαπέν μου πρᾶγμα ὑπὸ τοῦ πραθ(έν)τ(ος) ἐξ ἐμοῦ δούλ(ου) ὁ ἀγοραστὴς πωλή(σῃ) καὶ φθαρῇ. Περὶ τῶν ἐνεχομένων τοίνυν τῇ περὶ διοική(σεως) ζήτ(ει) καὶ βι. θ', τί. ζ' κε. ιδ' τὸ τέλος οὗ ἡ ἀρχή Κἂν πεμφθῇ τις εἰς νομήν. καὶ βι. η' τί. β' μεθ' ὧν ἔχει παραπομπῶν, καὶ βι. ιδ', τί. α' κε. κ' οὗ ἡ ἀρχή Ὁ χωρὶς ἐντολ(ῆς) ἐγγυησάμενος. καὶ βι. ιη' τί. ε' κε. λθ' οὗ ἡ ἀρχή Ἐὰν γυνὴ μέλλουσα γαμεῖσθαι ὑπεξουσίῳ. καὶ βι. κδ' τί. α' κε. ιδ' οὗ ἡ ἀρχή Ἐὰν μὴ κεχρεωστημ(έ)ν(α) καταβάλλω πλαστῷ φροντιστῇ. καὶ βι. κς' τί. ς' κε. γ' οὗ ἡ ἀρχή Οὔτε προκουράτ(ω)ρ(ι) οὔτε διὰ προκουράτ(ω)ρος ἄνευ ἐντολῆς. καὶ βι. ξ' τί. ς' κε. λς' (= 34) οὗ ἡ ἀρχή Γυνή τις τοῦ ἀνδρὸς κληρονόμου γραφέντος. καὶ τοῦ παρ(όν)τ(ος) βι. τί. β' μετὰ καὶ τῶν παραπομπῶν αὐτοῦ.

ΤΙ(ΤΛΟΣ). β'. Περὶ ἀγωγῆς τῆς ἀπαιτούσης τὰ χρησίμως δαπανήμ(α)τ(α).

(1) Καὶ περὶ μητρὸς δαπανησάσης τινὰ εἰς τὸ ἀποκινῆσαι τοὺς ἐπιτρόπους τῶν ἑαυτῆς τέκνων κακῶς διοικοῦντας. (2) Καὶ περὶ γυναικὸς παῖδα νήπιον λαβούσης καὶ ἀπαγαγούσης ἐν Ῥώμῃ ἐπὶ τῷ ἐπίτροπον αὐτῷ αἰτῆ(σαι) καὶ ἀναλώματα | ποιησάσης περὶ τὴν ὁδὸν καὶ τὴν αἴτησιν τοῦ 65r ἐπιτρόπ(ου). (3) Καὶ περὶ δύο ἀδελφῶν κληρονόμων γεγονότων τῷ ἰδίῳ πατρὶ καὶ τοῦ ἑνὸς ἐξ αὐτῶν ἀπαιτηθέντ(ος) παρὰ δανειστοῦ πατρῷον χρέος καὶ καταβαλόντος ὁλόκληρον. (4) Καὶ περὶ ἐπιτρόπου ἐντειλαμένου τινὶ διοικῆ(σαι) τὰ πράγματ(α) τῆς παρ' αὐτοῦ ἐπιτροπευομένης καὶ τῆς ἀνήβου ἡβησάσης καὶ μὴ θελησάσης κινῆσαι κατὰ τοῦ ἐπιτρόπου, ἀλλὰ

15 init. cit. neque in cap. 39 tit. 5 libri 18 Editionis neque in vicinis capitulis quamquam de hominibus alieni juris earumque peculio tractantibus invenitur | 20 explicit hic editio Tipuciti Heimbachiana

4-5 ἐνετείλ(ω) μοι τῷ c. | 18 προκουράτωρ Heimb. | 29 καταβαλλόντος

κατ' αὐτ(οῦ), ποία αὐτῇ ἀγωγὴ δίδοται. (5) *Καὶ τίνες οὐ δύνανται τὰ δαπανήμ(α)τ(α) ἀπαιτεῖν, ὡς ἀπελεύθ(ε)ρ(ος) αἰτησάμενος ταῖς ἀνήβοις κόραις τοῦ πάτρωνος αὐτοῦ ἐπίτροπον καὶ ἀναλώσας δαπανήματα.* (6) *Καὶ περὶ κουράτ(ω)ρ(ος) δοθέντος κακῶς ἐν διαθήκῃ ὅμως διοική(σαν)τ(ος), πῶς ἡ κατὰ τῶν διοικούντων ἀλλότρ(ια) κινουμένη ἀγωγὴ ἁρμό(ζει) καὶ κατ' αὐτοῦ περιόντος καὶ τῶν κληρονόμων αὐτοῦ.* (7) *Καὶ ὅτι ἐὰν γρά(φεται) κληρονόμος παρὰ τοῦ διοικητοῦ ὁ δεσπότ(ης), εἰς ὅσον γρα(φῇ), ἐπ' ἐκείνῳ καὶ ἐφησυχάζει, εἰς δὲ τὰ λοιπὰ κινεῖ. καὶ ὅτι οὐκ ἀντίκειται μακροῦ χρό(νου) παραγρα(φὴ) τῷ δεσπότ(ῃ) θέλοντι κινῆσαι κατὰ τοῦ διοική(σαν)τ(ος) τὰ ἑαυτοῦ πράγματ(α).* (8) *Καὶ ὅτι ὁ δεκτὴν ἡγησάμενος τὴν ἀπαίτησιν τοῦ χρεώστ(ου) αὐτοῦ ἔχει κατὰ τοῦ ἀπαιτήσαντος τὴν παροῦσαν ἀγωγ(ήν).* (10) *Ὁμοίως ἔχει καὶ ὁ δοῦλ(ον) ἀλλότρ(ιον) εὑρὼν νοσοῦντα καὶ ἐπιμελησάμενος αὐτοῦ.* (11) *Καὶ ὅτι τὰ τροφεῖα ἡ μήτηρ τῶν παίδων, ἃ αὐτοῖς παρέσχεν, οὐ δύναται ἀπαιτεῖν, εἰ δέ τι χρησίμως ἀνήλω(σε), διὰ τῆς περὶ διοική(σεως) ἀγωγῆς δύναται λαμβάνειν. περὶ τοίνυν μάμμης ἀποθρεψαμένης τὸν ἔκγονον καὶ <ἴδιον?> τὸν υἱὸν ζή(τει) βι. λα' τί. ϛ' κε. ϛ'* (=5,7) *οὗ ἡ ἀρχή Ἡ μήτηρ ἀναγκαίως θρέψασα τὴν θυγατ(έ)ρ(α) καὶ συμμέτρως. τουτὶ γὰρ τὸ κε(φάλαιον) διαστίζει, πότε ἔχει ἀπαίτ(ησιν) καὶ πότε οὔ. περὶ δὲ θείου ἀποθρεψαμένου τὸν ἀνεψιὸν ζή(τει) βι. ιζ' τί. α' κε. κζ'* (=27,1) *οὗ ἡ ἀρχὴ Ὁ δι' εὐσέβειαν ἀποθρέψας. περὶ μάμμης κε. λδ' τοῦ αὐτ(οῦ) πρώτ(ου) τί. τοῦ ιζ' βι. οὗ ἡ ἀρχή Μάμμη διοικοῦσα τὰ τοῦ ἐκγόνου. εἰς δὲ τὸ τέλος τοῦ κε(φαλαίου) λέγει τὴν μητέρα εὐσεβῶς δαπανᾶν εἰς τὸν υἱόν, εἰ μὴ τὸ ἐναντίον διαμαρτύρηται, διαζυγίου δὲ γενομένου ὁ πατὴρ ὀφείλ(ει) τρέφειν τὸν γεννηθέντα αὐτῷ υἱὸν ἐκ τῆς διαζευχθείσης, ὡς τί. ϛ' τοῦ λα' βι. φη(σὶ) κε. ιδ'* (=13) *οὗ ἡ ἀρχή Κἀκεῖνο δὲ διατυπῶσαι συνείδομεν.* (12) *Καὶ πε(ρὶ) υἱοῦ αὐτεξουσίου διοικοῦντος τὰ τοῦ πατρὸς πράγμ(α)τ(α) καὶ καταβαλόντος πατρικὸν χρέος. εἶτα μετὰ τελευτὴν τοῦ αὐτοῦ πατρὸς καὶ αὐτοῦ τελευτήσαντος γραφέντος ἤδη σὺν τοῖς ἀδελφοῖς αὐτοῦ κληρονόμ(ου), πῶς δύναται ὁ ἔκγονος υἱὸς τοῦ τελευτή(σαντος) διοικητοῦ διὰ τῆς περὶ διοική(σεως) ἀγωγ(ῆς) ἀπαιτεῖν τὸ χρέος, εἰ μὴ ψυχῇ δωρουμένου κατεβάλετ(ο) ὁ πατὴρ αὐτ(οῦ) τὸ πατρῷον χρέος.* (13) *Καὶ ὅτι ὁ ἀνήρ, ὅσα δαπανή(σῃ) εἰς ἐπιμέλ(ειαν) καὶ ἰατρείαν τῆς γυναικός, οὐ λαμβάνει ὡς διὰ σχέσεως δαπανή(σας). τὰ δὲ εἰς ταφὴν διὰ τὸ ἀναλαβεῖν δαπανηθ(έν)τ(α) παρ' αὐτοῦ δύναται ἀπαιτεῖν.* (14) *Καὶ περὶ τοῦ διοικήσαντ(ος) ἐντολ(ῇ) τῇ τοῦ ἀνδρὸς τὰ τῆς γυναικὸς καὶ τοῦ ἀνδρὸς πράγμ(α)τ(α). καὶ ποῖος κινεῖ κατ' αὐτοῦ ἐξ αὐτῶν καὶ ποίαν ἀγωγ(ήν).*

---

12 cap. 9 Editionis deest in Tipuc. | 17 *ἀποθρέψασα* Ed.

---

3 *ἀναλώσαντα* | 14 *εἴ τι δὲ* 31 *κατεβάλλετο*

καὶ αὐτὸς κατ' αὐτῶν ὁποίαν ἀγωγὴν ἔχει. (15) Καὶ περὶ πατρῴου ἀναλώσαντ(ος) πε(ρὶ) τὰς προγονάς τινα καὶ μαθηματικὰ δόντ(ος) καὶ ἀποθρεψαμένου ταύτας, πῶς, εἰ μὴ ὡς ἀναληψόμενος ταῦτα ἐδαπάν(ησεν), οὐ δύναται λαμβάνειν τὰ ἐξοδιασθέντ(α). (16) Καὶ περὶ ἀδελφοῦ διοικοῦντος τὰ τῆς ἀδελφῆς πράγμ(α)τ(α) καὶ καταβαλόντος δημό(σια), διὰ ποίας ἀγωγῆς δύναται ταῦτα ἀπαιτεῖν. καὶ φησί · | διὰ τῆς περὶ διοική(σεως). (17) Καὶ 65v περὶ κληρονόμων κουράτ(ω)ρ(ος) μετὰ τελευτὴν ἐκείνου πωλησάν<τ>ων ἐν τῷ διοικεῖν αὐτοὺς τὰ τοῦ προκουρατωρευομένου πράγματ(α) καὶ διὰ τοῦτ(ο) τῆς πρά(σεως) μὴ συνισταμένης, ἀλλ' ἀπαιτουμένης διὰ τῆς περὶ διοική(σεως) ἀγωγ(ῆς), δόλον καὶ μεγάλην ἀμέλειαν [χρεωστοῦσι]. (18) Καὶ ὅτι ὁ διοική(σας) ἀναλώσ(ας) πολλὰ δύναται ταῦτα ἀπαιτεῖν σὺν τοῖς ἁρμό(ζουσι) τόκοις. (20) Καὶ περὶ τοῦ εἰ παρεμβαλών τις διοική(σει) ἑαυτόν, τινὰ μὲν τῶν πραγμάτων διοική(σῃ), τινὰ δὲ οὔ, καὶ ἀποστῇ μόνος τῆς διοική(σεως), οὐκ ἀναγκάζεται ὑπὲρ τῶν μὴ διοικηθ(έν)των ποιεῖν λόγ(ον) ἢ καὶ ἔτι διοικεῖν. θεματ(ίζει) δέ, ὅτι χωρὶς ἐντολ(ῆς) ὑπεισῆλθεν. εἰ τάχα καὶ ὁ ἐπίτροπος καὶ ὁ κουράτ(ω)ρ ἄχρι τινὸς καιροῦ οὐ δύναντ(αι) ἀφίστασθαι ἤγ(ουν) ὁ μὲν ἐπίτροπος ἄχρι τῆς ἥβης, ἰδὲ προκουράτ(ω)ρ τοῦ ἰ κε' χρό(νου). (21) Καὶ ὅτι οἱ δοῦλ(οι), ἐφ' οἷς ἐν δουλ(είᾳ) διῴκη(σαν), μετὰ τὴν ἐλευθ(ε)ρ(ίαν) οὐκ ἐνέχονται, εἰ μὴ καὶ πάλιν ἐνέβαλον ἑαυτοὺς τῇ διοική(σει), ὥστε κεχωρισμένην εἶναι τὴν ἐν καιρῷ δουλείας καὶ τὴν ἐν καιρῷ ἐλευθ(ε)ρ(ίας) διοίκη(σιν). (22) Καὶ περὶ τοῦ, ὅτι τοῖς τυχηροῖς οἱ πράγματ(α) διοικοῦντες ἀλλότρ(ια) οὐχ ὑπόκεινται, εἰ μὴ ἰδικὸν περὶ τούτ(ου) γένηται σύμφων(ον). (23) Καὶ ὅτι κατὰ τοῦ διοικητ(οῦ) οὐχ ἡ ἐκδικοῦσα ἴδια πράγματα ἀγωγ(ὴ) ἁρμό(ζει), ἀλλ' ἡ προσωπική. καὶ ὅτι αἱ καταχόμεναι ἀπὸ διοική(σεως) ἀγωγ(αὶ) πᾶσαι τέσσαρ(ές) εἰσιν ἤγ(ουν) ἡ περὶ ἐντολ(ῆς), ἡ κατ' ἐπιτρόπων, ἡ περὶ διοική(σεως) πραγμάτων ἀλλοτρ(ίων) καὶ ἡ περὶ πραγμάτων διοικηθέντων πρὸ τῆς ἐπιτροπῆς. πᾶσαι δὲ αὗται προσωπικαί εἰσι καὶ οὐδεμία αὐτῶν ὑπὸ τὴν ἐκδικοῦσαν ἴδια πράγμ(α)τ(α) ἀναφέρετ(αι). (24) Καὶ ὅτι ὁ διοικῶν ἀλλότρ(ια) καὶ παραγγελθ(εὶς) μὴ διοικῆ(σαι), κἂν καλῶς διοική(σει) μετὰ τὴν παραγγελίαν ἢ ἐξοδιάσει, οὐκ ἔχει ἀγωγ(ὴν) οὐδεμίαν κατὰ τοῦ δεσπότ(ου), εἰ μὴ ἐπὶ τοῖς περὶ τῆς παραγγελ(ίας) μόνοις. περὶ τοίνυν δαπάνης ἀπαιτουμ(έ)ν(ης) ἢ μὴ ἀπαιτουμένης καὶ ποῖα λέγονται χρησίμως ἢ μὴ δαπανηθῆ(ναι) καὶ τῶν δαπανησάντων ζήτ(ει) βι. β' τί. β' κε. οθ' (=76) οὗ ἡ ἀρχή Δαπάναι ἀναγκαῖαί εἰσιν, αἵπερ εἰ μὴ γένοιντ(ο). καὶ βι. ιβ' τί. β', κε. κθ' οὗ ἡ ἀρχή

12 cap. 19 Editionis deest in Tipuc.

1 πρώον | 10 ἀγωγς' | 19 ἐνέβαλλον

Ἐὰν ὁ εἰδὼς κοινὸν πρᾶγμα πλανᾶται περὶ τὸ πρόσωπον τοῦ κοινωνοῦ. καὶ βι. ιγ' τί. β' κε. η' οὗ ἡ ἀρχὴ Οὐ μόν(ον) δὲ ἐπὶ τοῖς εὑρισκομένοις ἐκ τῆς παραθήκης. καὶ βι. ιδ' τί. α' κε. γ' οὗ ἡ ἀρχὴ Ἔσθ' ὅτε ὁ ἐνταλθεὶς κρείττονα ποιεῖ τὴν αἵρε(σιν). καὶ βι. ιη' τί. α' κε. λβ' οὗ ἡ ἀρχὴ Ἐὰν ὑποκείμενος τῇ περὶ πεκουλ(ίου) ἀγωγ(ῇ). καὶ βι. ιθ' τί. η' κε. ξδ' οὗ ἡ ἀρχὴ Ἐὰν ὁ πράτ(ης) ἐλάττονα εἶπεν ἀγροῦ συντέλειαν. καὶ βι. κε' τί. α' κε. η' οὗ ἡ ἀρχὴ Ἐὰν ὁ δανειστὴς ἀναγκαίως δαπανή(σῃ) περὶ τὸ ἐνέχυρον. καὶ κε. κβ' (= 25) οὗ ἡ ἀρχὴ Ὁ διδάσκων τέχνας τοὺς [δούλους] ἐνεχυριασθέντ(ας) αὐτῷ. καὶ βι. κη' τί. η' κε. ζ' (=7, 11 in medio) οὗ ἡ ἀρχὴ Ἐὰν ὁ ἀνὴρ ὅλον τὸν ἐνιαυτὸν καρπίζηται. καὶ τί. ι' ὅλον. καὶ βι. λζ' τί. ζ' κε. λβ' θέ. ε' (=31, 6) οὗ ἡ ἀρχὴ Ἐκεῖνα τὰ δαπανήματα καταλογίζεσθαι τῷ κηδεμόνι. καὶ βι. μα' τί. ζ' κε. ιδ' (=12) θέ. γ' οὗ ἡ ἀρχὴ Προικὸς συνεισαγομένης ὑπεξαιροῦνται τὰ περὶ αὐτὴν γενόμενα. καὶ βι. μβ' τί. α' κε. λς' θέ. τελευταῖον οὗ ἡ ἀρχὴ Καρπὸ(ς) νοεῖται ὁ μετὰ τὴν ὑπεξαίρε(σιν) τῶν δαπανῶν. καὶ τί. β' κε. ς' θέ. α' οὗ ἡ ἀρχὴ Τὰ περὶ τὴν κληρονομίαν δικ(αίως) δαπανηθ(έν)τ(α). καὶ τί. γ' κε. λθ' (=38) οὗ ἡ ἀρχὴ Ἐὰν τῶν κληρονόμων ἐγκαλουμένων ὡς μὴ ἐκδικησάντων. καὶ κε. μδ' θέ. ς' (=43,8) οὗ ἡ ἀρχὴ Ἐὰν δύο κληρονόμοι κελευσθῶ(σι) ποιῆ(σαι) στήλην. καὶ κε. νά (=50) οὗ ἡ ἀρχὴ Ὁ ὑπεξούσιος οὕτως ὑπεξαιρεῖ τὴν προῖκα τῆς γαμετῆς αὐτ(οῦ). ἀνά(γνωθι) καὶ τὸ ν' (=49) κε. οὗ ἡ ἀρχὴ Ὁ αὐτεξούσιος υἱὸς οὐ λογίζεται εἰς τὸ μέρο(ς) αὐτοῦ. καὶ βι. μδ' τί. ε' κε. λβ' θέ. γ' (=4) οὗ ἡ ἀρχὴ Ἐὰν ληγατεύσω ἀγρὸν καὶ ἀξιώσω σε. καὶ τί. ζ' κε. ε' οὗ ἡ ἀρχὴ Τὴν ληγατευθεῖσαν προῖκα οὐ παρακρατεῖ. καὶ βι. μζ' τί. α'. κε. ιδ' (=13) οὗ ἡ ἀρχὴ Ὁ κατὰ δωρεὰν γεωργῶν | ἀλλότρ(ιον) ἀγρόν. 66r
καὶ τί. γ' κε. ιδ' οὗ ἡ ἀρχὴ Ὁ δωρησάμενος ἐκδικῶν τὸν ἀγρὸν ἐκβάλλεται παραγραφῇ. καὶ βι. να' τί. δ' κε. ιβ' (=14) οὗ ἡ ἀρχὴ Ὁ ἐν ἀλλοτρ(ίῳ) κτίσας ἐδάφει. καὶ βι. νγ' τί. ε' κε. ε' οὗ ἡ ἀρχὴ Ὁ δανείζων πιστικῷ ὀφείλ(ει) καὶ τὴν αἰτ(ίαν). καὶ βι. νη' τί. ι' κε. μβ' θέ. ις' οὗ ἡ ἀρχὴ Ἐὰν μετὰ τὸ διαλαληθῆναι [καὶ] πεμφθῆναι εἰς νομὴν ὁ οἶκος πέσῃ. καὶ κε

---

4 initium citatum cap. 32 tit. 1 libri 18 non invenitur in titulo 1 ceterum de talibus tractante | 6 *τὴν τοῦ ἀγροῦ συντέλειαν* Ed. | 10 cap. 32 tit. 7 libri 37 deperditum est ; Tipuc. habet in them. 6 cap. 31 : *καὶ περὶ τοῦ ποῖα δαπανήματα καταλογίζεται τῷ κηδεμόνι* | 14 *μετὰ ὑπεξαίρ.* Ed. | 21 tit. 5 libri 44 in Editione suppletus ex Tipucito habet : *καὶ περὶ τοῦ ἐὰν ληγατεύσω σοι ἀγρὸν καὶ ἀξιώσω σε.* | 22 tit. 7 libri 44 deperditus est. Tipucitus habet : *καὶ περὶ τοῦ, πῶς οὐ δύναται ὁ κληρονόμος παρακρατεῖν τὴν ληγατευθεῖσαν προῖκα* | 27 cap. 5 tit. 5 libri 53 deest in fragmentis Editionis et Supplementi | 28 initium citatum them. 16 cap. 42 tit. 10 libri 58 desideratur in Editionis et Supplementi fragmentis

ξδ' οὗ ἡ ἀρχή Ἐὰν οὖν τὸν μὴ ἐρρωμένον λύσῃ καὶ συμβῇ ἐκ τούτ(ου) ζημία. καὶ τί. ια' κε. δ' (=3) οὗ ἡ ἀρχή. Ἐὰν ὁ κοινωνὸς εἰς ἀνακαίνισιν οἰκίας ἐδαπάνησ(ε). καὶ κε. ε' οὗ ἡ ἀρχή Ἐὰν οἰκονόμος εἰς λόγον αὐτοῦ ἔκτισε. καὶ βι. νθ' τί. α' μεθ' ὧν ἔχει παραπομπῶν.

---

1 cap. 64 item ; tractatur de pariete communi idoneo (ἐρρωμένος), ut ex Supplem. Basil. (t. VII, p. 148, 9) apparet | 2 εἰς ἀνανέωσιν Ed. | 3 cap. 5 tit. 11 libri 58 desideratur in Ed. et Suppl. fragmentis

ΒΙ(ΒΛΙΟΝ) ιη'. ΤΙ(ΤΛΟΣ) α'.

Περὶ τῆς ἀγωγῆς τῆς κινουμένης κατὰ τοῦ προστήσαν(τός) τινα διοικεῖν τὸ ἴδιον ἐργαστ(ή)ρ(ιον).

(1) *Καὶ πό(τε) ἐνάγεται παρὰ τῶν συναλλαξάντων αὐτῷ, οὐκ ἐνάγει δὲ αὐτοῖς, εἰ μὴ δοῦλος αὐτοῦ ἐστιν ὁ προεστώς. εἰ δὲ δοῦλ(ος) ἀλλότρ(ιός) ἐστιν ἢ ἐλεύθ(ε)ρ(ος), ἔχει κατ' αὐτοῦ ἢ τοῦ δεσπότ(ου) τὴν περὶ ἐντολῆς ἢ τὴν κατὰ πραγματευτ(ῶν) κινουμένην ἀγωγήν. ἔχει δὲ καὶ κατὰ τῶν συναλλαξάντων τῷ προεστῶτι τοῦ ἐργαστηρ(ίου),* (2) *ἔνθα τὸ ἴδιον ἄλλως οὐ δύναται ἀπαιτ(ῆσαι) ἤτοι σῶσαι.* (3) *Καὶ ποῖος λέγεται προεστώς, ὡς ἐμπορίας χάριν προστὰς εἴτε ἐν ἐργαστ(η)ρ(ίῳ) εἴτε μή.* (5) *Καὶ ὁ συναλλάξας τῷ ἐνοικιολόγῳ ἢ τῷ ἐφεστῶτ(ι) οἰκοδομήματ(ος) ἢ ἀγορασίας σίτ(ου) ἢ ἐπὶ τῷ δανείζειν ἢ γεωργεῖν ἢ πραγματεύεσθαι καὶ ὠνεῖσθαι ἀγρούς, εἰς ὁλόκληρον ἐνάγει τῷ προστήσαντι. καὶ ὅτι προεστώς ἐστιν ὁ προεστὼς οἱασδήποτε πραγματ(είας). καὶ ὁ δοῦλ(ος) προστήσας τραπέζης ἐνάγεται. προεστώς ἐστι καὶ ὁ περιάκτ(ης) ἤτ(οι) ὁ παραγωγιάτ(ης) καὶ ὁ μουλίων ἤγ(ουν) ὁ ἱπποϊατρὸς καὶ ὁ τοῦ κναφέως καὶ ὁ τοῦ ῥάπτ(ου) καὶ ὁ πανδοχεὺς καὶ ὁ δοῦλ(ος) ὁ παρὰ τοῦ ἐργαστηριακοῦ πεμφθεὶς ἐπὶ ξένης, ἐφ' ᾧ φορτ(ία) ὠνεῖσθαι καὶ στέλλειν αὐτῷ. καὶ νεκροθάπτ(ου) δοῦλ(ος) νεκροθάπτης νεκρὸν ἀποδύων. ὁ δεσπότης αὐτοῦ ἐνάγεται τῇ κατὰ τοῦ προεστῶτος ἀγωγ(ῇ) καὶ τῇ περὶ κλοπῆς. καὶ τῇ περὶ ὕβρεως. καὶ πότε ὁ δεσπότ(ης) ἐνέχεται τοῦ δούλ(ου) δανεισαμένου. καὶ περὶ κναφέως ἀποδημήσαντος καὶ μετὰ τὴν ἀποδημίαν αὐτοῦ μαθητοῦ αὐτοῦ λαβόντος ἱμάτ(ιον) καὶ ἀποφυγόντος, πότε ἐνάγεται ἐπὶ τῷ ἱματ(ίῳ) ἢ μή. καὶ ποίᾳ ἀγωγ(ῇ) ὑπόκειται διαβεβαιωσάμενος τῷ δόντι καλῶς πιστεύειν τοῖς μαθηταῖς. καὶ ὅτι ἀπὸ μόνων τῶν προσφόρων τῇ προστασίᾳ κατέχεται ὁ προβαλλόμενος. καὶ ὅτι ὁ δανείζων τῷ προεστῶτι ἀγορασίαν ἐπὶ τῷ δοῦναι τὸ ἐνοίκιον τοῦ ἐργαστ(η)ρ(ίου) ἔχει κατὰ τοῦ προστήσαντ(ος) τὴν ἀγωγήν, εἰ μὴ ἐκωλύθ(η) δανείζεσθαι. καὶ ὁ δανείζων ἔλαιον τῷ ἐπιτραπέντι ἀγοράζειν καὶ πιπράσκειν ἔλαιον καὶ ὁ διδοὺς αὐτῷ ἀρραβῶνα, εἰ μὴ ἐπετέτραπτο παραχρῆμα τὸ τίμημα λαμβάνειν, καὶ ὁ δεδωκὼς ἐνέχυρον ἐπὶ τῷ τιμήμ(α)τ(ι) καὶ ὁ τὸν προεστῶτα ἐγγυησάμενος ἔχει κατὰ τοῦ προστήσαντος ἀγωγ(ήν). καὶ εἰ*

11 cap. 4 Editionis deest in Tipuc. | 12 *ἐνοικολόγῳ* Ed. minus recte

5 *συναλλαξέντων* | 12 *ἀγορασία* | 24 *ἐπὶ τῇ τῷ ἱματ'* | 30 *παρὰ χρῆμα*

ὁ προβαλλόμ(ε)ν(ος) τελευτή(σῃ) καὶ ὁ κληρονόμος κέχρηται τῷ προεστῶτι, ἐνέχεται. καὶ ὁ ἐν ἀγνοίᾳ παραδό(σεως) αὐτῷ συναλλάξας. καὶ εἰ ὁ φροντιστής μου ἢ ἐπίτροπος ἢ ὁ προκουράτ(ω)ρ προστήσεται τὸν προεστῶτα, χώρα κατ' ἐμοῦ τῇ τῶν προστησάντων ἀγωγ(ῇ). (6) Ἁρμόζει καὶ κατὰ τοῦ φροντιστοῦ γενικοῦ ὄντος. (7) Τὸ αὐτὸ κἂν τις πραγματείαν μου πράττων προβάλλεται καὶ δεκτὸν ἡγήσομαι. καὶ ὅτι γίνονται προεστῶτες καὶ ἄρρενες καὶ θήλειαι, ἐλεύθεροι καὶ δοῦλ(οι), ἀλλότριοι | 66v καὶ ἴδιοι καὶ προϊστῶσι πάντες. καὶ γυνὴ ἐὰν προστή(σῃ) ἢ προσταθ(ῇ), ἐνέχεται ὡς ἐπὶ τῆς <ἀγ>ωγῆς τὴν κατὰ τοῦ προστήσαντος τὸν ἴδιον δοῦλ(ον) μαγίστωρα τοῦ ἰδίου πλοίου. καὶ κἂν ὑπεξούσιος ἢ δούλη ἢ ἄνηβος προστῇ, χώρα τῇ κατὰ τῶν προστησάντων ἀγωγῇ. (9) Καὶ ὁ ἄνηβος σὺν αὐθεντ(είᾳ) τοῦ ἐπιτρόπου προϊστῶν ἐνάγεται τῇ τοιαύτῃ ἀγωγῇ. εἰ δὲ χωρὶς αὐθεντ(είας) τοῦ ἐπιτρόπ(ου), οὐκ ἐνέχεται, (10) ἀλλ' εἰς ὅσον μόνον ἐγένετο εὐπορώτερος ἐκ τούτ(ου). (11) Καὶ περὶ τοῦ, ὅτι ὁ προστήσας ἐνέχεται, εἰ μὴ κωλύσει διὰ τοῦ προστάγματος συναλλάξαι τῷ προεστῶτι. τότε γάρ, τουτέστιν, εἰ κωλύσει, τῇ δε πεκουλίῳ ὑπόκειται, ὡς βι. τοῦδ(ε) τί. ε' κε. κθ' (=21) θέ. α' οὗ ἡ ἀρχή Κἂν κωλύσῃ ὁ δεσπότ(ης) συναλλάξαι. καὶ κε. μζ' οὗ ἡ ἀρχή Ὁ προγράψας ἐργαστ(η)ρ(ίῳ). ποῦ δὲ δεῖ εἶναι τὸ πρόγραμμα καὶ πῶς, ἀνά(γνωθι) καὶ γνώσῃ. καὶ εἰ ποτὲ [μὲν] ἐπιτρέπει, ποτὲ δὲ κωλύει, ἢ παντελῶς ἀπαγορεύσει τῷ προεστῶτι συναλλάξαι. καὶ ὅτι ἐπὶ δεσποτικῶν φορτ(ί)ων ἡ περὶ πεκουλ(ίου) ἀγωγ(ὴ) κινεῖται. ἐπὶ δὲ πεκουλι(α)ρ(ί)ων φορτίων ἡ τριβουτ(ο)ρία, ἥτις κινεῖτ(αι) κατὰ τοῦ δούλ(ου) τοῦ πολλοῖς χρεωστήσαντος. καὶ πότε χώραν ἡ τριβουτορία οὐκ ἔχει. καὶ πότε ἔχει. καὶ περὶ τοῦ ἐὰν μισθωσάμενός τις παρὰ τοῦ δούλ(ου) σου τὰς ὑπηρεσίας τοῦ δούλ(ου) αὐτοῦ, ποιήσω αὐτὸν προεστῶτα καὶ ἀγοράσῃς παρ' αὐτοῦ, πῶς ἔρρωται ἡ πρᾶσις. (12) Καὶ ποίαν ἀγωγ(ὴν) ἔχεις κατ' ἐμοῦ κἀγὼ κατὰ σοῦ. (13) Καὶ ὅτι, ἐὰν προστή(σῃ) τις τὸν δοῦλον αὐτοῦ ἐπὶ τῷ ἔλαιον πραγματεύεσθαι καὶ δανείζεσθαι χρήματα κἀγὼ δανείσω αὐτ(ῷ) ὡς διὰ τὴν πραγματ(είαν) καὶ οὐ δείξω, ὅτι εἰς τὴν πραγματ(είαν) κατεβλήθ(η), κινῶ ὡς δανείσας. καὶ ὅτι τότε χώραν ἔχει κατὰ τοῦ δεσπότ(ου) ἡ ἀγωγή, ὅτε μὴ κατὰ μετάθε(σιν) ἐπερωτηθ(ῇ) ὁ προεστὼς ἢ ἕτερος. καὶ ὅτι, ἐὰν οἱ ἔχοντες ἐργαστήρ(ιον) προβάλλωνται κοινὸν δοῦλον, οὐ πρὸ(ς) τὸ μέρος τῆς ἐπὶ τῷ δούλ(ῳ)

---

9 *μαΐστωρα* Ed. | 10 *ὑπεξουσία* Ed. | 11 cap. 8 Editionis deest in Tipuc. | 15 *προγράμματος* Ed. | 18 initium citatum cap. 47 tit. 5 libri 18 deest in fragmentis Editionis | 31 *ἐπερωτᾶ* Ed. ; Heimb. in ann. h passivum hic adhibendum esse divinavit

---

1 *τελευτὴν* pro *τελευτή(σῃ)* | 14 *ποστήσας* | 15 *συναλλᾶξαι* | 17 *συναλλᾶξαι* | 20 *συναλλᾶξαι*

ἢ τοῖς φορτίοις δεσποτείας ἐνάγονται, ἀλλ' ἕκαστος καθ' ὁλόκληρ(ον), καθ' ὑπόδειγμα τῆς περὶ πεκουλ(ίου) ἀγωγ(ῆς) καὶ τῆς ἀγωγ(ῆς) τῆς κατὰ τοῦ προστήσαντος τὸν ἴδιον δοῦλ(ον) μαγίστωρα τοῦ ἰδίου πλοίου. (14) Τὸ αὐτὸ κἂν ἀλλότρ(ιος) ἦν ὁ δοῦλ(ος). ἔνθα δὲ χώραν οὐκ ἔχει ἡ κατὰ τῶν κοινωνῶν ἀγωγ(ὴ) ἢ ἡ τὰ ἐπίκοινα διαιροῦσα πράγματ(α), ἀνὰ μέρος ἐνάγονται. καὶ ἀνά(γνωθι) καὶ παράδειγμα. (15) Καὶ ὅτι αὗται αἱ ἀγωγαὶ διηνεκεῖς εἰσι καὶ δίδονται κληρονόμοις καὶ κατὰ κληρονόμων. (16-7) Καὶ ὅτι ἐκ τῶν συναλλαγμάτων τοῦ διοικητοῦ τοῦ χωρίου μου οὐχ ἁρμόζει ἡ κατὰ τοῦ προστήσαντος ἀγωγ(ή). ὑποδοχεὺς γάρ ἐστι τῶν καρπῶν, εἰ μὴ ἄρα ἐπετράπη πιπράσκειν. καὶ περὶ τοῦ ποίαις ἀγωγαῖς ἐνέχεται ὁ προστήσας τινὰ πιπράσκειν καὶ ἀγοράζειν δούλ(ους) ἢ ἄλογα. καὶ περὶ τοῦ ἐὰν τὸν δοῦλ(όν) σου ἔσχε Πέτρος προεστῶτα, ποίαν ἀγωγ(ὴν) ἔχω κατὰ Πέτρου καὶ ποίαν κατὰ σοῦ, εἰ μὴ ὁ Πέτρος ἐκώλυσέ με συναλλάξαι αὐτῷ. τότε γὰρ ἔχω τὴν περὶ πεκουλ(ίου). καὶ πότε ὁ ἄνηβος κληρονομῶν τοῦ πατρὸς ἐνέχεται, ὥσπερ καὶ εἰ ἐπίτροπ(ος) αὐτοῦ προστησάμενος ἀπέθα(νεν). καὶ ἐπὶ τοῖς πρὸ τοῦ ὑπεισελθεῖν τὴν κληρονομ(ίαν) συναλλάγμασιν ἐνέχεται ὁ κληρονόμος, εἰ καὶ μεμηνὼς εἴη. καὶ πε(ρὶ) τοῦ, ἐὰν διαμαρτυρήσωμαί σε μὴ δανεῖσαι τῷ προστάντ(ι) παρ' ἐμοῦ δούλ(ῳ). (18) Καὶ τίς λέγεται προεστώς. (19) Καὶ ὁ προβαλλόμενος ἐπὶ τῷ δανείζεσθαι φροντιστὴν ταύτῃ ἐνέχεται, κἂν εὔπορος ᾖ ὁ φροντιστής. καὶ περὶ τοῦ ἐὰν ὁ προβληθείς μοι δοῦλ(ος) ἐλευθερωθ(εὶς) ἐπιμείνῃ τῇ πραγματ(είᾳ). καὶ περὶ τοῦ ἐὰν ὁ ὑπεξούσιός μου υἱὸ(ς) προεστώς μου ὢν δανείσητ(αι) διὰ τὴν πραγματ(είαν) καὶ ἐγγυήσωμαι, ἁρμό(ζει) καὶ ἡ κατὰ τοῦ προστήσαντ(ος) ἀγωγή. Καὶ ὅτι ὁ δοῦλ(ος) ἐπὶ μόνῳ τῷ | δανείζειν προστάς, ἐὰν ὡς ἀντιφωνητὴς ὁμολογήσῃ, οὐ ποιεῖ 67r
τὸν δεσπότ(ην) εἰς ὁλόκληρον ἔνοχον. εἰ δὲ δανεισάμενος ἐγὼ παρ' αὐτοῦ δώσω σοι τὸν δοῦλ(ον) εἰς τὸ ἀπαριθμῆ(σαί) σοι, ἀπαιτεῖς τὸν δεσπότ(ην). ἐκεῖνο(ς) δὲ ἔχει κατ' ἐμοῦ τὸν κονδ(ουκ)τ(ό)ρ(ιον). (20) Καὶ ὅτι ὁ προεστώς, εἰ γρά(φει)· ἔχεις ἐν τῇ τραπέζῃ τοῦ πάτρωνός μου χίλια νομίσματα, ἅτινα ὀφείλω τῇδε τῇ προθεσμίᾳ σοι ἀποδοῦναι, τελευτήσαντ(ος) ἀδιαδόχ(ου) τοῦ προστήσαντος, ὁ προεστὼς οὐκ ἐνέχεται, τοῦτο γὰρ δι' ἀπόδειξιν μόνην ἐποίησε. (21) Καὶ πότε ἐνέχεται ὁ δεσπότ(ης) δανειζομένου τοῦ προστήσαντ(ος) οἰκέτου τῇ παρούσῃ ἀγωγ(ῇ) καὶ πότε τῇ περὶ πεκουλ(ίου). (22) Καὶ εἰ ἀναλώμ(α)τ(α) γένωνται πάρα τοῦ προεστῶτος ἢ ἐπὶ ταῖς αἰτίαις, ἐφ' αἷς προεβλήθ(η) ὁ προεστώς, συναλλά(ξῃ) τις αὐτῷ, πῶς ἐνέχεται ὁ

---

3 μαΐστωρα Ed. | 17 εἰ μὴ καὶ μεμηνώς Ed. | 25-26 ἐγὼ παρὰ σοῦ ἀποδώσω σοι τ. δ. Ed.

---

5 εἰς ἀνὰ μέρος | 13 συναλλᾶξαι | 28 ἐν τῇ τραπέζῃ τοῦ πράγματ(ός) μου; de emendatione cf. Ed. | χίλια ii.

δεσπότης. (23) Καὶ περὶ δούλ(ου) προβληθ(έν)τ(ος) τραπέζης καὶ λαβόντος χρήματα καὶ ἀγνωμονοῦντος, πῶς κατέχεται ὁ δεσπότης. (24) Καὶ εἰ παρὰ γυναικὸς προβληθ(ῇ) προνοητ(ὴς) τῶν πραγμάτων αὐτῆς, ἡ γυνὴ ἐνέχεται ἐκ τῶν πρὸ(ς) αὐτὸν συναλλαγμάτων καί, εἰ προστήσεται, ὁμοίως ἐνέχεται. (25) Ἐνέχετ(αι) ταύτῃ καὶ ὁ ἐντειλάμενός τινι δανείσασθαι ἐκείνου δανεισαμένου. (26) Ταύτην ἔχει καὶ ὁ δούλ(ῳ) συναλλάξας βουλή(σει) τοῦ δεσπότ(ου) αὐτοῦ. πότε δὲ δοκεῖ ἐπιτρέπειν δανείζεσθαι ὁ δεσπότ(ης), ζήτ(ει) βι. τοῦδ(ε) τί. δ′ κε. ζ′ (=6) θε′. ς′ (=9) οὗ ἡ ἀρχή Ἐὰν ὑπεξούσ(ιος) προεστὼς δανείσητ(αι). πε(ρὶ) τοίνυν δανεισμάτων προεστώτων καὶ πραγματευτῶν δούλων ζήτ(ει) βι. κγ′, τί. α′ κε. κθ′ οὗ ἡ ἀρχή Ὁ δανείζων πραγματευτ(ῇ) δούλ(ῳ). περὶ δὲ τοῦ, ὅτι ὁ δοῦλος διοικῶν τὰ τοῦ δεσπότου πράγματα πρᾶγμα τῆς τοῦ δεσπότ(ου) περιουσίας κινητὸν ἢ ἀκίνητον οὐ δύναται ἐκποιεῖν, ζήτ(ει) βι. η′ τί. β′ κε. ϟε′ (=93) οὗ ἡ ἀρχή Δοῦλ(ος) διοικῶν τὰ τοῦ δεσπότ(ου). περὶ τοίνυν προισταμένων πλοίου καὶ προστησάντων ζήτ(ει) βι. νγ′ τί. α′ ὅλον. ζήτ(ει) τοῦ αὐτ(οῦ) νγ′ βι. καὶ τί. ε′ κε. ι′ οὗ ἡ ἀρχή Ὁ δανείζων πιστικῷ ὀφείλ(ει) καὶ τὴν αἰτίαν, ἐφ᾽ ᾗ προέστη. μὴ λάθῃ σε δὲ καὶ τοῦ α′ τί. τοῦ νβ′ βι. κε. [ε′] οὗ ἡ ἀρχή Οἱ προεστῶτες πλοίου ἢ ἐργαστηρ(ίου) ἢ πανδοχ(είου) ἐνέχονται, ἐφ᾽ οἷς ἥμαρτον οἱ ὑπουργοῦντες.

ΤΙ(ΤΛΟΣ) β′.

Περὶ ἀγωγῆς τῆς κινουμένης παρὰ τοῦ δεσπότ(ου) ἢ πατρός, ἡνίκα γινωσκόντων αὐτῶν καὶ μὴ ἀντιλεγόντων πραγματευόμενο(ς) ὁ αὐτοῦ δοῦλ(ος) ἢ ὑπεξού(σιος) παῖς ἔνοχοι γίνονται τοῖς πρὸ(ς) αὐτοὺς συναλλάσσουσι.

(1) Καὶ ποῖα ὑπεξαιρεῖ ὁ δεσπότ(ης) τῆς περὶ πεκουλ(ίου) ἀγωγῆς κινουμένης εἴτε γινώσκων τὸν δοῦλον ἐπὶ τῷ πεκουλιαρ(ίῳ) φορτίῳ πραγματευόμενον εἴτε ἠγνόει. καὶ ποίαν εἴδη(σιν) ὁ νόμ(ος) ἀπαιτεῖ ἐπὶ τῆς τοιαύτης ἀγωγ(ῆς), ἀνά(γνωθι), ὡρ(αῖόν) ἐστι καὶ δυνάμενον ὠφελῆσαί σε. καὶ ὅτι ἁρμό(ζει) ἡ παροῦσα ἀγωγ(ὴ) ἐπὶ παντὸς ὑπεξου(σίου) καὶ τοῦ καλῇ πίστει δουλεύοντ(ος) ἐλευθ(έ)ρ(ου) τε καὶ δούλ(ου) ἀλλοτρ(ίου) καὶ τοῦ ἐν χρή(σει) δουλεύοντ(ος) δούλ(ου) ἀλλοτρ(ίου), (2) εἰ τὸ πεκουλιάρ(ιον) φορτίον, εἰς

---

5 cap. 25 Editionis praebet textum plane diversum | 8-9 ὑπεξούσιος ὁ προεστὼς Ed. | 15 cap. 10 tit. 5 libri 53 deest in fragmentis Edit. et Suppl. | 17 cap. 5 tit. 1 libri 52 habet : ὁ προεστὼς πλοίου..: πανδοχείου ἐκ τῶν ἁμαρτημάτων τῶν ὑπουργούντων..; ἐνέχεται, ἐν οἷς αὐτὸς μηδὲν ἥμαρτεν

ὃ ἐπραγματεύετο, ἀνήκει τῷ ἐναγομένῳ. (3) Καὶ πε(ρὶ) τοῦ ἐὰν δύο δεσπότ(αι) εἰσὶ γινώσκοντες ἢ ὁ εἷς ἀγνοεῖ, τί δεῖ γενέσθαι καὶ εἰς τί εὐθύνεται ὁ καθεὶς τούτων. καὶ τί ἐξαιρεῖ ὁ γινώσκων. καὶ εἰ χωρή(σῃ) ὁ συναλλάξας κατὰ τοῦ μὴ γινώσκοντος, ποία ἀγωγ(ὴ) αὐτῷ δίδοται. καὶ τίνα ἐξαιροῦντ(αι). καὶ τίνων ἡ εἴδη(σις) εἰσάγει μεταξὺ τοῦ δεσπότ(ου) καὶ τῶν συναλλαττόντων τὴν διαιροῦσαν τὸ κέρδος ἀγωγ(ήν). λέ(γει) δὲ τοῦ ἐπιτρόπ(ου) καὶ τοῦ κουράτ(ω)ρ(ος) τοῦ μαινομένου, οὐ μὴν τοῦ ἀνήβου. καὶ εἰς τί ἐνέχονται ἀπὸ δόλου τοῦ ἐπιτρόπου καὶ τοῦ κουράτ(ω)ρ(ος). καὶ πότ(ε) καὶ ὁ ἄνηβος, εἰ δεκτικός ἐστι δόλ(ου), ἐνέχεται ἐξ οἰκείου δόλ(ου), εἰ καὶ ἡ εἴδη(σις) αὐτοῦ πρὸς τὴν πραγματείαν οὐκ ἀρκεῖ. (4) Καὶ πῶς, εἰ ὁ μὲν ἡβήσας, ὁ δὲ νήψας πλημμελή(σει) δόλ(ον), ἐνέχεται. (5) Καὶ περὶ τοῦ ἐὰν ὁ δοῦλ(ος) τοῦ δούλ(ου) μου πραγματεύση(ται), εἴτε ᾔδειν εἴτε οὐκ ᾔδειν ἐγώ τε καὶ ὁ δοῦλ(ός) μου, | τί δεῖ γενέσθαι. καὶ δούλης πραγματευομένης 67 κινεῖται ἡ διαιροῦσα ἀγωγ(ή), καὶ ἀδιάφορον, εἴτε τῷ δούλ(ῳ) εἴτε τῷ προστήσαντ(ι) συναλλάξει. καὶ ὅτι οὐ πᾶν συνάλλαγμα, ἀλλὰ τὸ ἐπὶ τοῖς φορτίοις ἐπεισάγει τὴν διαιροῦσαν τὸ κέρδος ἀγωγ(ήν). καὶ ὅτι μερίζεται ὁ ἔχων ὑπεξού(σιον) τὸν συναλλάξαντα μετὰ τῶν δανειστῶν, εἴτε ἐπὶ τῷ φορτίῳ κεχρεώστηται εἴτε ὁθενδήπ(ο)τ(ε), εἴτε πρὸ τοῦ πραγματεύεσθαι τὸν ὑπεξού(σιον) ἐχρεωστήθ(η) ἢ ἄλλοι αὐτοῦ ὑπεξούσιοι εἴτε μετὰ ταῦτα. καὶ εἰ τὰ φορτ(ία) τοῖς δανεισταῖς ὑπετέθ(η), προτιμῶνται τοῦ δεσπότ(ου). εἰ δὲ πολλοί εἰσιν οἱ δεσπόται, πᾶσι πρὸ(ς) ἀναλογον(ίαν) τοῦ χρέους μερίζεται. καὶ ὅτι οὐ πᾶν τὸ πεκούλ(ιον), ἀλλ' ἡ πραγματ(εία) μερίζεται, καὶ τὰ παρακολουθήμ(α)τ(α) ταύτης, ἃ καὶ ἀνά(γνωθι). καὶ περὶ τοῦ δύο ἐργαστ(ή)ρ(ια) ἔχοντος ἢ δύο πραγμ(α)τ(είας) ἢ ἐν διαφόροις τόποις λογοσυνάκτας καὶ κεχωρισμένως ἐπ' αὐτοῖς δανεισαμένου, τί γίνεται πολλῶν κεχρεωστημένων ἐκ πραγματείας ἀμφοτέρων τῶν ἐργαστηρ(ίων) ἢ καὶ δανει(στῶν). καὶ εἰ ἐπὶ πρᾶ(σιν) φορτ(ίον) ἐδόθ(η) καὶ τὸ τίμημα οὐ κατεβλήθ(η), ἐπίκεινται δὲ οἱ δανεισταί. καὶ πῶς μερίζονται οἱ δανεισταὶ καὶ τί ἀσφαλίζοντ(αι). (6) Καὶ ὅτι ἴσοι εἰσὶ πάντες ἐπὶ ταύτης τῆς ἀγωγ(ῆς), ὁτεδήποτ(ε) ἐναγάγωσιν, οὐχὶ κρείττων ὁ προλαβὼν ὡς ἐπὶ τῆς περὶ πεκουλ(ίου). (7) Καὶ ὅτι ἡ παροῦσα ἀγωγ(ὴ) ἁρμό(ζει) καὶ κατὰ τοῦ ποιήσαντ(ος) [δόλον ἐπὶ τῷ] ἧττον μερισθῆ(ναι) ἢ οὐδέν. καὶ τίνι οὐκ ἐνέχοντ(αι). καὶ πότ(ε) δόλ(ον) δοκεῖ ποιεῖν ὁ δεσπότ(ης). καὶ ὅτι διηνεκής ἐστιν ἡ διαιροῦσα τὸ κέρδος καὶ δίδοται κατὰ κληρονόμων εἰς τὸ περιελθ(όν). (8) Καὶ ἀποθανόντος τοῦ δούλ(ου) ἐνέχεται διηνικῶς ὁ δεσπότ(ης) καὶ ὁ κληρονόμος αὐτοῦ διὰ τὸ φά(κ)τ(ον) τοῦ τελευτήσαντος. (9) Καὶ ὅτι ὁ δανειστὴς ἐπιλογὴν ἔχει ἢ τὴν περὶ πεκουλ(ίου) ἢ τὴν διαιροῦσαν τὸ κέρδος κινῆ(σαι), ὑποστρέφειν δὲ

4 ποῖα ἀγωγὴ | 19 μετα

πρὸς τὴν ἑτ(έ)ρ(αν) οὐ δύναται, ἐκ διαφόρων δὲ αἰτιῶν ἑκατέραν δύναται κινεῖν. καὶ περὶ κληρονόμ(ου) ἐνεχομένου ἐκ τοῦ ἐλευθερωθῆναι τὸν δοῦλ(ον) μετὰ τοῦ πεκουλ(ίου) ἢ παρακρατήσαντ(ος) τὸ ὀφεῖλον μερισθῆ(ναι). (10) Καὶ ποία ἀγωγ(ὴ) κινεῖται κατὰ τοῦ ἀγοραστοῦ τοῦ δούλ(ου). (11) Καὶ τί κατάγεται εἰς τὴν διαιροῦσαν τὸ κέρδος καὶ τί εἰς τὴν περὶ πεκουλ(ίου). (13) Καὶ ὅτι ὑπεξου(σίου) διδομένου ἐπιτρόπ(ου) ἢ κουράτ(ω)ρ(ος) ὁ πατὴρ τῇ περὶ ἐπιτροπ(ῆς) καὶ τῇ πε(ρὶ) διοική(σεως) ἀλλοτρ(ίων) πραγμάτων ἐνάγεται ἀγωγ(ῇ) ἐπὶ τῷ πεκουλ(ίῳ). (14) Καὶ ὅτι ὁ ὑπεξούσιο(ς), ἐξ ὧν συναλλάσσει τις ἐν ὑπεξουσιότ(η)τ(ι) ὁπωσδήποτ(ε), κατέχεται μετὰ τὴν αὐτεξουσιότ(η)τ(α), εἰς ὅσον εὐπορεῖ. (15) Καὶ περὶ δαπαν(ήματος) μεταγενομένου εἰς τὰ τοῦ δεσπότ(ου) πράγμ(α)τ(α), πῶς κατέχεται, εἰ καὶ μὴ κατὰ κέλευσιν αὐτοῦ τὸ δάνειον ἐγεγόνει μηδὲ ὑπέγρα(ψεν) ἐν τῷ χειρογράφῳ. (16) Καὶ πε(ρὶ) ὑπεξουσίου χρήματα λαβόντος κατὰ κέλευσιν τοῦ πατρὸς καὶ διὰ τοῦτο μὴ ἐνεχομένου, εἰ μὴ ἐνέμιξε[ν ἑαυτὸν] τῇ πατρῴᾳ κληρονομίᾳ. ἀνά(γνωθι) περὶ τούτ(ου) βι. θʹ τί. γʹ κε. μθʹ (=48) οὗ ἡ ἀρχὴ Ὑπεξού(σιος) συναλλάξας, εἰ μὴ κληρονομεῖ τοῦ πατρός. περὶ δὲ τοῦ ἀποστάντ(ος) τῆς πατρῴας κληρονομ(ίας) καὶ διὰ τοῦτ(ο) μὴ ἐνεχομένου ζήτ(ει) τοῦ αὐτοῦ θʹ βι. τί. ηʹ κε. κηʹ οὗ ἡ ἀρχὴ Ἡ δι(ά)τ(αξις) λέ(γει), ὅτι ὁ ἀποστήσας ἑαυτὸν τῆς πατρῴας κληρονομ(ίας). περὶ δὲ τῶν κληρονομησάντων παίδων, πῶς οὐ δύνανται τὴν ἀπόκτησιν τὴν διαφέρ(ουσαν) αὐτοῖς, τυχὸν ἐκ μητρῴας κληρουχ(ίας) ἢ ἄλλου τρόπου, ἀνατρέπειν, ζήτ(ει) βι. θʹ τί. ηʹ κε. κθʹ οὗ ἡ ἀρχὴ Ἐὰν παίδ(ων) κληρονομη(σάντων) τὸν πατέρα. τὸ δὲ ϟδʹ (=93) κε. τοῦ αʹ τί. τοῦ ιεʹ βι., εἰς ὅσον κληρονομή(σῃ), φη(σίν), ἐφησυχάζειν δεῖ τὸν παῖδα, οὗ ἡ ἀρχὴ Ἐάν τις παρὰ γυναικὸς ἀγορά(σῃ) πρᾶγμα διαφέρ(ον) τῷ ταύτης παιδί. ἀνά(γνωθι) καὶ βι. ιθʹ τί. ηʹ κε. ςʹ θεʹ. εʹ οὗ ἡ ἀρχὴ Ὁ ὑπεξού(σιος) πωλῶν ἐνέχεται ὡς αὐτεξού(σιος). (17) Καὶ περὶ ὑπεξου(σίου) μείζονος τῶν κεʹ ἐνιαυτῶν ἐγγυησαμένου καὶ ἐνεχομένου. καὶ περὶ οἰκέτου δανεισαμένου καὶ οἶκον ἔχοντος ἐν πεκουλ(ίῳ) ἐπιτρέψαντος τῷ δανειστῇ ἀντ(ὶ) τῶν τόκων μένειν ἐν τῷ οἴκῳ, πῶς ἔνοχον ποιεῖ τὸν δεσπότ(ην) ἀπὸ τοῦ δανείου τῇ | περὶ πεκουλ(ίου). (19) Καὶ **68r**
περὶ τοῦ δανείζοντ(ος) οἰκέτ(ῃ) ἀλλοτρ(ίῳ) ζῶντος τοῦ οἰκ<έτου> δι<ηνε-

---

6 caput 12 Editionis deest in Tipuc. | 22 παῖδες κληρονομήσωσι Ed. | 27 inde a cap. 17 usque ad librum XX Ed. propter lacunam cod. Paris. textu Basilicorum caret; Heimbachius ex copia a fratre completa textum Tipuciti Vaticani nostri, interdum etiam citata Harmenopuli et Synopsis suppeditavit. Ideo «Ed. T.» in sequentibus notis «textus Heimbachianus Tipuciti» significatur

---

3 πεκουλ(ίου) ὦ μὴ παρακρατ. | 4 ποῖα | 19 ἀποστήσας αὐτὸν | 25 τὸ ταύτης

κῶς, μετὰ δὲ> τὴν ἐκείνου τελευτὴν ἐντὸς ἐνιαυτοῦ ἔχ(ει) τὴν περὶ πεκουλ(ίου). εἰ δὲ δαπανήμ(α)τ(α) εἰς τὰ τοῦ δεσπότ(ου) πράγμ(α)τ(α) ἐγένετ(ο), διηνεκῶς τὴν ἐν τοῖς ἀναλωθ(εῖ)σ(ι) πράγμασιν εἰς τὰ τοῦ δεσπότ(ου) ἔχ(ει) ἀγωγήν, εἰ δὲ φροντιστῇ δανείσ<η> τῇ περὶ τὸν φροντιστὴν διαθέ(σει) δανείσας, ἀνά(γνωθι), πότ(ε) ἔχει κατὰ τοῦ κυρίου τῶν πραγμάτων ἀγωγ(ὴν) ἢ μή. (20) *Καὶ ὅτι ὑπεξού(σιος) θεμιτῶς δανεισάμενος, εἰ μὴ ἄρα παρὰ τὸ μακεδονεάνειον δόγμα, ἢ ἐὰν τὸν πατέρα ἐνηγγυήσατ(ο), καὶ ὑπεξού(σιος) ὢν εἰς ὁλόκληρ(ον) ἐνέχεται καὶ μετὰ θάνατον τοῦ πατρός, εἰ κληρονόμος ἐγρά(φη), ὁμοίως εἰς ὁλόκληρ(ον), εἰ δ' οὐκ ἐγρά(φη), εἰς ὅσον αὐτεξού(σιος) ἐγένετ(ο), ὡσαύτως, εἰς ὅσον εὐπορεῖ, ἐνέχεται.* (21) *Καὶ περὶ τοῦ, ποῖον πεκούλ(ιον) δύναται πωλεῖν ὁ οἰκέτης καὶ ποῖον οὐδαμῶς. ἀλλ' εἰ καὶ πωλή(σῃ), ὑπεύθυνον ποιεῖ τὸν ἐν εἰδή(σει) ἀγοράσαντ(α) τῇ κλοπῇ.* (22) *Καὶ περὶ δούλης συναλλαξάσης, πῶς περιούσης διηνεκῶς δίδοται κατὰ τοῦ δεσπότ(ου) ἡ πε(ρὶ) πεκουλ(ίου), εἰς ὃ ηὐξήθ(η) τὸ πεκούλ(ιον), μετὰ δὲ τελευτὴν αὐτῆς, ἐντὸς ἐνιαυτοῦ.* (23) *Καὶ ὅτι ὁ δεσπότ(ης) τοῦ οἰκέτ(ου) συναλλάξαντος ἰδίῳ ὀνόματ(ι) οὐ γίνεται ἔνοχος, κατέχεται δὲ τῇ περὶ πεκουλ(ίου) καὶ τῇ περὶ τῶν ἀναλωθ(έν)των εἰς τὰ πράγματα αὐτοῦ ἀγωγ(ῇ).* (24) *Καὶ ὅτι τότε κατέχεται ὁ δεσπότ(ης), ὅτε ἰδικῶς ὁρίσει τὴν ποσότ(η)τ(α) τὴν ὀφείλ(ουσαν) δανεισθῆ(ναι) ἢ τῷ δούλ(ῳ) ἢ τῷ μισθωτῷ ἢ τῷ γεωργῷ ἢ τῷ διοικητ(ῇ) τοῦ ἀγροῦ. εἰ δὲ παρέθ(ε)τ(ο) δι' ἐπιστολῆς τὸν οἰκέτ(ην) αὐτοῦ τῷ δανείσαντ(ι) ἢ τοὺς μισθωτ(οὺς) ἢ τὸν τοῦ ἀγροῦ διοικητ(ήν), οὐκ ἔστι κατ' αὐτοῦ ἡ ἀγωγ(ή). περὶ τοίνυν τῶν τοιούτων θεμάτων καὶ δανείων ὑπεξουσίων ζήτ(ει) τὸν γ' τί. τοῦ παρ(όν)τ(ος) βι. καὶ τὸν δ' τί. ὅλ(ον). περὶ δὲ ἐγγύης ζήτ(ει) τί. ε' κε. δ'* (=3,3) *οὗ ἡ ἀρχή Ἐὰν δοῦλ(ος) ἢ υἱὸς ἐγγυήσηται ἢ μανδατωρεύσῃ. πε(ρὶ) δὲ τοῦ, πῶς ἐνέχεται, ζήτ(ει) βι. ζ' τί. ε' κε. νς' θέ. α' οὗ ἡ ἀρχή Ὁ ὑπεξούσιος καὶ ἀπὸ συναλλαγμάτων καὶ ἁμαρτημάτων ἐνέχεται. περὶ δὲ τοῦ μὴ κατέχεσθαι τὸν πατέρα ὑπὲρ ὧν ὁ ὑπεξού(σιος) συναλλάσσει χωρὶς κελεύσεως αὐτοῦ ζήτ(ει) βι. κδ' τί. δ' κε. ε' οὗ ἡ ἀρχή Οὐδὲ ὑπὲρ ὧν συνήλλαξεν υἱὸς αὐτεξούσιος κατέχεται ὁ πατήρ. περὶ τοίνυν τῶν γινωσκόντων καὶ μὴ ἀντιλεγόντων καὶ τῆς ἀγωγ(ῆς) τῆς κινουμένης κατὰ πατρὸς ἢ δεσπότ(ου) ζήτ(ει) βι. β' τί. δ' κε. θ' θέ. α' οὗ ἡ ἀρχή Ἐὰν ὑπεξού(σιος) στρατιώτ(ης). καὶ βι. ζ' τί. ιε' κε. πάντα καὶ ὅλ(ον) τὸν τί(τλον). διαλέγεται γὰρ περὶ παραστά(σεως) δούλων καὶ πῶς ἀσφαλίζεται ὁ δεσπότης τοῦ παριστᾶν. καὶ περὶ τοῦ εἰ γένηται ἐμποδισμὸς παρά τινος εἰς τὸ δικαστ(ή)ρ(ιον) παραστῆ(ναι). καὶ εἰ ὁμολογήσει παραστῆσαι καὶ μὴ παραστήσει. καὶ τί. γ' καὶ δ' τοῦ*

---

27 *ἐνάγεται* Ed.

---

7 *ἐνεγγυήσατο* | 26 *κε. κς' θέ. α'*

παρ(όν)τ(ος) βι. καὶ βι. λζ' τί. α' κε. ζ' οὗ ἡ ἀρχή Ἐὰν ὑπεξού(σιον) ἐπίτροπον ὁ ἄρχων ποιήσῃ. καὶ βι. λη' τί. γ' κε. ϛ' οὗ ἡ ἀρχή Οὐκ ἐνέχεται ὁ πατὴρ ὑπὲρ ὧν ὁ υἱὸς ἐπίτροπος ὤν. καὶ βι. μβ' τί. γ' κε. ξα' (=60) περὶ πεκουλίων διαλεγόμενον συνεισαγομένων τοῖς ἀδε(λφοῖς) ἢ μή, οὗ ἡ ἀρχή Ἐὰν ὑπεξουσίῳ ὄντι τῷ παιδὶ καὶ ἀπιόντι. καὶ βι. νβ' τί. α' κε. ζ' οὗ ἡ ἀρχή Οὐ δίδοται τῷ ὑπεξου(σίῳ) κατὰ πατρός. καὶ βι. νγ' τί. α' κε. ιε' οὗ ἡ ἀρχή Ἐὰν ὑπεξούσιος υἱὸς ἢ δοῦλ(ος) ὑποδέξητ(αι). καὶ κε. κη' οὗ ἡ ἀρχή Ἐὰν ὁ δοῦλ(ος) τοῦ ναύτ(ου) κατὰ τὴν ναῦν ζημιώσῃ. καὶ βι. ξ' τί. ε' περὶ ἀγωγῶν τῶν κινουμένων κατὰ δεσποτῶν, ἡνίκα δοῦλ(ος) ἁμάρτ(ῃ). καὶ τί. ϛ' κε. ιϛ' οὗ ἡ ἀρχή Ἐὰν τὰ τοῦ εἰωθότ(ος) δούλ(ου) διοικεῖν ἢ δανείζειν. καὶ κε. λα' οὗ ἡ ἀρχή Οἱ ὑποδεξάμενοι παρὰ δούλ(ου) ἐν εἰδή(σει) τὰ παρ' αὐτοῦ κλαπέντα. καὶ βι. κθ' τί. α' [κε. α'] θέ. γ' οὗ ἡ ἀρχή Ἐὰν ὑπεξούσιος δανεισάμενος παράσχῃ. περὶ δὲ ὑπεξουσίων ἀφελομένων ἐκ τοῦ πατρὸς ἢ τῆς μητρός τι ζήτ(ει) βι. κη' τί. ια'. περὶ δὲ τῶν ὑποδεξαμένων δοῦλ(ον) ζήτ(ει) βι. ξ' τί. ζ' κε. θ' οὗ ἡ ἀρχή Ὁ τὸν φυγάδα ὑποδεξάμενος. περὶ δὲ ἀπαι(τήσεως) κλοπιμ(αίων) ζήτ(ει) τί. ι' τοῦ ξ' βι. καὶ τί. ια' καὶ τί. μβ' κε. ε' [θέ. ε'] οὗ ἡ ἀρχή Ἐὰν ἄκοντος τοῦ πατρὸς κινή(σῃ) ὁ ὑπεξούσιος. 68v
καὶ τί. ξη' κε. ιζ' οὗ ἡ ἀρχή Ἡ δ(ιά)τ(αξις) βούλετ(αι) περιορισθ(έν)τ(ος) τοῦ πατρὸς τοῦ | ἔχοντος ὑπεξούσιον τὸν ἴδιον παῖδα. περὶ τοίνυν ὑπεξουσίων δούλων τε καὶ υἱῶν καὶ τῶν καλῇ πίστει δουλευόντων ἡμῖν καὶ πῶς καὶ πότε ὑπὲρ αὐτῶν ἐνάγοντ(αι) καὶ εὐθύνονται οἱ ἔχοντος αὐτοὺς ὑπεξουσίους ἀπό τε συναλλαγμάτων αὐτῶν καὶ ἁμαρτημάτων καὶ χρέους, εἴτε ὡς προστήσαντες αὐτοὺ<ς> ἢ ὡς παραχωρήσαντες τὴν τοῦ πεκουλ(ίου) διοίκη(σιν) ἢ καὶ ὡς δαπανησάντων αὐτῶν εἰς τὰ τοῦ δεσπότ(ου) ἢ τοῦ πατρὸς πράγματ(α) ζήτ(ει) καὶ τί. β' κε. α' ἄχρι τοῦ ιγ'. καὶ τί. γ' τοῦ παρ(όν)τ(ος) βι. κε. α' καὶ βι. ϛ' τί. δ' κε. α' ἄχρι τοῦ ιη'. καὶ τί. ε' κε. α' ἄχρι τοῦ λβ' καὶ τί. ϛ' κε. α' καὶ β' καὶ ν'. καὶ τί. β' κε. α' ἄχρι τοῦ η'. καὶ τί. η' κε. α' καὶ ε'. καὶ βι. ζ' (?) τί. ε' κε. νβ' καὶ τί. ιε' καὶ κβ'. καὶ βι. ιζ' τί. α' κε. ε', ιγ', ιε'. καὶ βι. θ' τί. ι' κε. να'. καὶ βι. κγ' τί. α' κε. κθ', κζ'. καὶ βι. κϛ' τί. ζ' κε. μα'. καὶ βι. ξ' τί. ε' κε. α' ἄχρι τοῦ μβ'. καὶ τί. νϛ' κε. λε'. καὶ τί. ιβ' καὶ ζ' καὶ κε. νγ' θέ. ϛ' καὶ κε. νϛ'. καὶ τί. να' κε. λα', πα'. καὶ βι. η' τί. β' κε. ϟε' (=93). καὶ βι. θ' τί. γ' κε. μθ' καὶ τί. η' κε. κη', κθ'. καὶ τοῦ ιε' βι. τί. α' κε. ϟδ', καὶ βι. ιθ' τί. η' καὶ ιδ'. καὶ βι. θ' τί. β' κε. θ'.

---

4 *κατὰ τοῦ π.* Ed. | initium cap. 15 tit. 1 libri 53 desideratur in Ed. et in Suppl. | 5 cap. 28 item | 8 *ἐὰν ὁ εἰωθὼς δοῦλος δ. ἢ δ.* Ed. | 10 *ὑπ' αὐτοῦ* Ed.

ΤΙ(ΤΛΟΣ) γ'.

Περὶ ἀγωγῆς τῆς κινουμένης κατὰ τοῦ πατρός,

(1) ἡνίκα ὑπεξούσιοι αὐτοῦ συναλλάσσοντες μετὰ ἑτέρων ἔνοχοι αὐτοῖς γίνωνται ἐν τῷ πεκουλ(ίῳ) αὐτῶν. καὶ εἰς τί εὐθύνονται οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους κελεύσει αὐτῶν συναλλαξάντων ἢ παρὰ κέλευσιν. καὶ ποῖαι ἀγωγαὶ κατ' αὐτῶν δίδονται. (2) Καὶ εἰ δαπανηθῶσιν εἰς τὰ πεκουλ(ίου) τοῦ υἱοῦ ἢ εἰς τὴν οὐσίαν τοῦ πατρὸς καὶ γένηται ὁ υἱὸς αὐτεξούσιος ἢ εἰς θέ(σιν) δοθ(ῇ) ἢ παρὰ τοῦ πατρὸς ἀπόκληρος γενόμενος ἢ εἰς μέρος γραφόμενος ἢ ἀποτασσόμενος τῷ κλήρῳ, ἐνάγεται, εἰς ὃ καταβαλεῖν δύναται. (3) Καὶ οὐχ ὑπεξαιρεῖ τὸ κεχρεωστημένον ἑτέροις ἐν ὑπεξουσιότ(η)τ(ι) συναλλά(ξασιν) αὐτῷ, εἰ μή τίς ἐστι προτίμησιν ἔχων ὥσπερ ἡ γυνὴ ἢ μνηστὴ περὶ τὴν προῖκ(α). καὶ ποῖον ὑπεξαιρεῖ. (4) Εἰ δὲ μὴ γρα(φῇ) εἰς ἐλάχιστον ὁ υἱός, ἐν τίσι καὶ πῶς ἐπιλογὴν ἔχει ὁ δανειστής, ἀνά(γνωθι). καὶ ὁ πλασάμενος αὐτὸν αὐτεξού(σιον) καὶ ἀπόκληρος καὶ ἐπὶ τῶν ἁμαρτημάτων εἰς ὁλόκληρον ἐνάγεται. καὶ τίς μέχρις εὐπορίας βοηθεῖται, ὡς ὁ ὑπεξού(σιος), ὁ δὲ κληρονόμος αὐτοῦ εἰς ὁλόκληρ(ον) ἐνάγεται. καὶ ἐὰν μετὰ πολλὰ ἔτη ἐνάγεται ὁ υἱός, εἰς ὁλόκληρον ἐνάγεται. καὶ περὶ τοῦ δυναμένου κινῆσαι τὴν παροῦσαν ἀγωγ(ὴν) καὶ κινή(σαντος) τὴν περὶ πεκουλ(ίου), πότε δύναται ἀνακλᾶν καὶ κινεῖν τὴν τοιαύτην ἀγωγὴν καὶ πότ(ε) κωλύεται. (5) Καὶ περὶ τοῦ ἐὰν καταδικασθ(ῇ) ὁ υἱὸς ζῶντ(ος) τοῦ πατρὸς, πῶς μέχρις εὐπορίας καταδικάζεται αὐτεξού(σιος) γενόμενος, καὶ εἰς πόσον ἐνάγεται γενόμενος καθ' ὁμάδ(α) ληγατ(ά)ρ(ιος) ἢ ἀναγκασθεὶς κληρονομή(σει) καὶ ἀποκαταστήσει. (6) Καὶ ἐὰν προσποιησάμενος ἑαυτὸν αὐτεξού(σιον) ἐπερω(τήσῃ) κατ' ἐντολήν μου, καὶ ἄπορος ὢν ἐνάγεται. τὸ αὐτὸ καὶ ἐπὶ πασῶν τῶν καλῇ πίστει ἀγωγῶν. (7) Καὶ πε(ρὶ) πατρ(ὸς) ἐπιτρέψαντος υἱῷ δανείσασθαι καὶ ἐντειλαμέν(ου) δι' ἐπιστολ(ῆς) τῷ δανειστῇ δανεῖσαι, πῶς ἔχει ὁ δανειστὴς ἄδειαν κινεῖν ἢ κατὰ τῶν κληρονόμων κατὰ τῆς κληρονομ(ίας) αὐτῶν ἢ κατὰ τοῦ υἱοῦ εἰς ὁλόκληρον. εἰς ὃ δὲ δύναται ὁ υἱός, καταδικάζεται. (8) Καὶ περὶ δούλ(ου) προισταμένου ἐπὶ τῷ δανείζειν καὶ λαμβάνειν ἐνέχυρα καὶ λαβόντος χρυ(σίον) παρά τινος ἀγοράζοντος κριθ(ὴν) καὶ διὰ τοῦτ(ο) παραδοθέντ(ος) αὐτῷ ἀντ' αὐτοῦ εἰς τὸ πληρῶσαι τῷ πράτ(ῃ) καὶ φυγόντος, πῶς, εἰ καὶ μὴ ἐπὶ τούτῳ προέστη, ὅμως,

---

6 τὸ πεκούλιον Ed. T. | 14 αὐτὸν c. et Ed. T. | 25 τὸ αὐτὸ... ἀγωγῶν desideratur in Ed. T.

---

23 κληρονομ͡ | προσποιησάμενον | 26 ἐντειλαμένῳ

εἰ ἐπεῖχεν ἐν πᾶσι τὸν τόπον τοῦ δεσπότ(ου), ἐνέχεται ὁ δεσπότ(ης) τῷ προσλαβόντι αὐτὸν εἰς τὸ | ἀποπληρωθῆναι. ζήτ(ει) βι. β′ τί. γ′ κε. δ′ (=3-4) οὗ 69r ἡ ἀρχὴ Ὁ δυνάμενος θέλειν δ<ύν>αται καὶ μὴ θέλειν, οὐ δοκεῖ δὲ θέλειν. καὶ βι. ζ′ τί. ις′ κε. ε′ θέ. α′ οὗ ἡ ἀρχή Τὸ αὐτό ἐστιν, ἐὰν [ὁ] τῷ ὑπεξουσίῳ συναλλάξας λάβ(ῃ) τὴν τῆς παραστά(σεως) ἀσφάλ(ειαν). καὶ βι. θ′ τί. ζ′ κε. κη′ (=27) οὗ ἡ ἀρχὴ Ἄνηβος ἀπέστη τοῦ πατρῴου κλήρου καὶ ἄλλον κλῆρον εἰς αὐτὸν ἐλθόντα κατεδέξατ(ο). καὶ τί. η′ κε. ια′ (=12) οὗ ἡ ἀρχή Ὑπεξού(σιος) ἔχων ἐλευθ(έ)ρ(αν) πεκουλ(ίου) διοίκη(σιν) οὐκ ἐπιτέτραπται. καὶ τοῦ παρ(όν)τ(ος) βι. τί. ε′ καὶ βι. ιγ′ τί. β′ κε. κα′ οὗ ἡ ἀρχή Ἐὰν ὑπεξού(σιός) μου λά(βῃ) παραθήκ(ην). καὶ βι. κδ′ τί. δ′ κε. ε′ οὗ ἡ ἀρχή Οὐδὲ ὑπὲρ ὧν συνήλλαξεν υἱὸς αὐτεξούσιος, κατέχεται ὁ πατήρ. καὶ τί. ς′ κε. ια′ οὗ ἡ ἀρχή Ὁ πατὴρ ὑπὲρ υἱοῦ ἢ ὁ δεσπότ(ης) ὑπὲρ δούλ(ου) ἐναχθείς. καὶ κε. ια′ (=19) οὗ ἡ ἀρχή Ἡνίκα διὰ μῖσος τοῦ ἐνάγοντος ἐλευθεροῦται ὁ ἐναγόμενος. καὶ κε. λγ′ (=38) θέ. α′ οὗ ἡ ἀρχή Δανεισάμενος παρὰ τοῦ συνυπεξου(σίου) ἀδελφοῦ κατέβαλ(ον) αὐτῷ μετὰ θάνατον τοῦ πατρός μου. καὶ θέ. β′ (=38,1) οὗ ἡ ἀρχή Ἐὰν υἱὸς παρὰ πατρὸς δανεισάμ(ε)ν(ος) καταβάλ(ῃ) αὐτῷ μετὰ αὐτεξουσιότ(η)τ(α). ἀνά(γνωθι) καὶ τὸ κε. αὐτὸ τὸ λγ′ (=36) οὗ ἡ ἀρχή Δοῦλός μου ἀγνοοῦντός μου. ἀνά(γνωθι) καὶ βι. κε′ τί. η′ κε. η′ θέ. δ′ (=5) οὗ ἡ ἀρχή Δοῦλ(ος) ἢ υἱὸς ὑπεξούσιος ἔχοντες ἐλευθ(έ)ρ(αν) πεκουλ(ίου) διοίκη(σιν). καὶ βι. κς′ τί. δ′ κε. ιε′ (=16) οὗ ἡ ἀρχή Οὔτε πεκουλιαρίαν ἀγωγ(ὴν) ὁ δοῦλ(ος) παρὰ γνώμ(ην) τοῦ δεσπότ(ου) μεταφέρ(ει). καὶ κε. κδ′ (=25) οὗ ἡ ἀρχή Οὐ πᾶς, ᾧτινι ὀρθῶς καταβάλλεται, καὶ μετατιθέναι τὴν ἐνοχὴν δύναται. καὶ κε. λγ′ (=34) οὗ ἡ ἀρχή Υἱὸς καὶ δοῦλ(ος) δύνανται δι′ ἑαυτῶν μεταφέρειν τὰς πεκουλιαρίας ἀγωγάς. καὶ [τί. ε′] κε. ρθ′ (=111) οὗ ἡ ἀρχή Ὁ παρὰ οἰκέτ(ου) ἐξουσίαν διοικεῖν τὸ πεκούλ(ιον) αὐτοῦ ἔχοντος. καὶ βι. κη′ τί. η′ κε. κγ′ (=22) θέ. γ′ οὗ ἡ ἀρχή Ἐὰν νομίσασα γυνὴ τὸν δοῦλ(ον) ἐλεύθ(ε)ρ(ον) εἶναι. καὶ κε. νδ′ (=56) οὗ ἡ ἀρχή Ὁ ἀνὴρ [μὴ] προπετῶς ἐπιτρέψας τῷ δούλ(ῳ). καὶ κε. νε′ (=58) θέ. α′ οὗ ἡ ἀρχή Ἐὰν ὁ ἀνὴρ ἐλευθερώ(σῃ) τὸν προικιμαῖον δοῦλον ἀκούσης τῆς γυναικὸς καὶ γραφ(ῇ) παρὰ τοῦ δούλ(ου) κληρονόμος. καὶ βι. μβ′ τί. α′ κε. λδ′ (=34,1) οὗ ἡ ἀρχή Ὑπεξουσίου υἱοῦ ἢ δούλ(ου) ἔχοντος κληρονομιαῖα πράγματ(α). καὶ βι. μγ′ τί. α′ κε. μη′ (=46) οὗ ἡ ἀρχή Ἐὰν ὑπεξού(σιος) ὁμολογήσῃ δοῦναι δοῦλον, ὅστις μετὰ ὑπέρθε(σιν) ἀποθά(νῃ). καὶ βι. μδ′ τί. ις′ κε. ε′ θέ. α′ (=2) οὗ ἡ ἀρχή Ἐὰν τῷ πατρὶ τοῦ ὑπεξουσίου χρεώστου ἐλευθερία χρέους ληγατευθ(ῇ). περὶ δὲ τοῦ, πῶς ἐνέχ(ον)τ(αι) οἱ ὑπεξού(σιοι)

---

3 ἐκείνου ἐστὶ τὸ μὴ θέλειν τοῦ δυναμένου θέλειν. οὐ δοκεῖ θέλειν... Ed. | 5 τὴν παραστάσεως Ed. | 9-10 ἐὰν ὁ ὑπεξ. Ed. | 12 υἱοῦ, ὁ δεσπ. Ed. | 15 συνυπεξουσίου μου ἀδ. Ed. | 30 παρ′ αὐτοῦ Ed.

---

7 ἀρχὴ δὲ ὑπ. | 15 κατέβαλλ | 16-17 καταβάλλ

καὶ ἐνάγονται καὶ ἀπὸ συναλλαγμάτων καὶ ἁμαρτημ(ά)των, ζήτ(ει) βι. ζ' τί. ε' κε. νζ' (=56) *οὗ ἡ ἀρχή Ὁ ὑπεξού(σιος) καὶ ἀπὸ συναλλαγμ(ά)των καὶ ἁμαρτημάτων ἐνέχεται. περὶ δὲ τοῦ, ποῖα προσπορίζονται τοῖς πατράσι τούτων ἢ μή, ζήτ(ει) βι. με' τί. δ'.*

ΤΙ(ΤΛΟΣ) δ'.

Περὶ συγκλήτου θεσπίσματος μακεδονικοῦ, ὅπερ κινεῖται, ἡνίκα ὑπεξού(σιος) ἢ ὑπεξουσία παρὰ τὰς ἐγκειμένας ἐν τῷ τί(τλῳ) δι(α)τ(άξεις) δανείσηται.

(1) *Καὶ ὅτι ὁ δανείζων ὑπεξου(σίῳ) οὐδὲ μετὰ τελευτ(ὴν) τοῦ πατρὸς αὐτοῦ ἔχει ἀπαίτ(ησιν). καὶ περὶ υἱοῦ αἰχμαλώτ(ου) δανεισαμένου, πότε ἐνέχεται ἢ μή. φη(σὶ) γάρ, εἰ ὑποστρέ(ψει) ὁ πατήρ, μὴ ἐνέχεσθαι αὐτόν. σὺ δὲ ζήτ(ει) βι. λε' τί. η' κε. λγ'* (=36), *ἔνθα κατέστρωται ἡ ριε' νε(α)ρ(ὰ) περὶ τὰ μέσα* (=princ.) *ἧς ἡ ἀρχή Θεσπίζομεν μὴ ἐξεῖναι παντελῶς πατρὶ ἢ μητρί. φη(σὶ) γὰρ τὸν υἱὸν τοῦ αἰχμαλ(ώ)τ(ου) εἰς ἐξώνη(σ)ιν τοῦ πατρὸς δανείζεσθαι καὶ ἀφήλικα ὄντα καὶ χρήματ(α) ὑποτιθέναι κινητὰ καὶ ἀκίνητα εἴτε ἴδια εἴτε πατρικὰ καὶ ὑποκεῖσθαι τῷ δανείῳ. καὶ τὸν υἱοτεθ(έν)τ(α) βοηθεῖσθαι ἐξ ὧν ἐδανείσατ(ο) ὑπεξού(σιος) ὤν. | καὶ οἱοσδή-* 69v
ποτ(ε) ἀξιωματ(ικὸς) ὑπ<εξ>ού(σιος) <κεκώλυ>τ(αι) πλὴν τοῦ ἔχοντος πεκούλ(ιον) ἰδιόκτητ(ον). (2) *Ὁ ὑπ(εξούσι)ο(ς) γὰρ ἐν τῷ πεκουλ(ίῳ) αὐτεξούσιος δοκεῖ εἶναι.* (3)*Καὶ περὶ τοῦ ἐάν τις οὐχ ἁπλῶς οὐδὲ κατὰ ἄγνοιαν νόμου πιστεύσῃ αὐτεξούσιον εἶναι τὸν ὑπεξούσιον πολλοῖς δοκοῦντ(α) εἶναι τοιοῦτον καὶ συναλλάττονται καὶ λειτουργοῦντ(αι), ἀργεῖ τὸ δόγμα, ὥσπερ ἐπὶ μισθωσαμένου δημόσια τέλη καί, ὅτε ὁ δανείσας οὐκ ἠδυνήθ(η) γνῶναι, εἴ ἐστιν ὑπεξού(σιος). εἰ δὲ ὑπεξούσιος ὑπεξουσίῳ δανείσει, ἀργεῖ τὸ δόγμα, κἂν ἐλευθ(έ)ρ(αν) πεκουλ(ίου) διοίκη(σιν) εἶχεν ὁ δανείσας. οὐ συνίσταται γὰρ δάνειον. ἐκδικεῖ οὖν ὁ πατὴρ τὰ νομίσματα. καὶ ὅτι ἐπὶ μόνης ἀριθμήσεως χρημάτων χώρα τῷ δόγματι, οὐ μὴν τῶν ἄλλως ὀφειλομένων, ἐξ ἀγορασίας τυχὸν ἢ μισθώ(σεως) ἢ ἐπερωτ(ήσεως) ἢ ἑτέρου τρόπου, κἂν ταῦτα ὡς ἀπὸ δανείου χρεωστεῖν ὁμολογήσῃ, εἰ μὴ περιγρα(φὴ) γέγονεν. σως γὰρ μὴ δυνάμενος δανεῖσαι ἐπώλησα αὐτῷ, ἵνα τὸ τίμημ(α) ἀντὶ δα-*

---

3 *ἁμαρτ. ἐνάγεται* Ed. | 10 *οὔτε* Ed. T. | 12 *φησὶ δὲ* Ed. T. | 28 *τῶν ἄλλων ὀφειλ.* Ed. T. | 30 *χρεωστῶν ὁμολ.* Ed. T.

---

27 τὰ ii

νείου σχῇ. καὶ ὅτι ἀργεῖ τὸ δόγμα, ἐὰν ὑπεξού(σιος) ὁμολογή(σῃ) καὶ ὁ ὁπωσοῦν αὐτεξού(σιος) γενόμενος ἀπαριθμή(σῃ). (4) *Τῇ γὰρ ἀπαριθμή(σει) προσέχομεν, οὐ μὴν τοὐναντίον.* (5) *Τυχὸν αὐτεξού(σιος) ὡμολόγησε καὶ ὑπεξού(σιος) ἀπηρίθμη(σε). χώρα γὰρ τότε τῷ δόγματ(ι)* (6) *Καὶ ὅτι ἐγγυωμένου τοῦ ὑπεξου(σίου) ἀργεῖ τὸ δόγμα, εἰ μὴ ἄρα μέλλων δανείσασθαι ἐσχηματίσατ(ο) τὸν ἐγγυώμενον ἕτερον ἐναγόμενον δεδωκώς. τότε γὰρ ἑκάτερος βοηθεῖται καὶ οἱ ἐγγυητ(αὶ) τοῦ ὑπεξου(σίου). εἰ ϐὲ μέλλων δανείζειν ὑπεξου(σίῳ) λάβω σε συνεναγόμενον, ἵνα μὴ ὡς ἐγγυητ(ὴς) βοηθῇς, χώρα τῇ παραγρα(φῇ). καὶ περὶ υἱοῦ ὑπεξουσίου τοῦ πατρὸς ἐξορισθέντος ἢ ἐπὶ πολὺν χρό(νον) ἀπολειφθέντ(ος) καὶ αὐτοῦ τοῦ υἱοῦ ὁμολογήσαντος προῖκα ὑπὲρ τῆς θυγατρ(ὸς) καὶ ἐνεχυράσαντ(ος) πράγματ(α) τοῦ πατρός, πότε ἀργεῖ τὸ δόγμα καὶ τὸ ἐνέχυρον οὐκ ἔρρωται. καὶ πότ(ε) ἔρρωτ(αι). καὶ ὅτι οὐκ ἐπὶ πάντων τῶν δανειζομένων εἰδῶν, ἀλλὰ μόνων ἀργυρίων χώρα τῷ νόμῳ, εἰ μὴ πρὸ(ς) περιγρα(φήν) τις δανείσει οἶνον ἢ σῖτον ἢ ἔλαιον, ἵνα πωλή(σῃ) ὁ ὑπεξού(σιος) καὶ χρήσηται τῷ τιμήματ(ι). χώρα τῷ δόγματ(ι), εἰ καὶ ἑτέρου ἦν ὑπεξού(σιος) ἐν τῷ δανείζεσθαι καὶ νῦν ἑτέρου, καί, ἔνθα μὴ ἀπέθα(νεν) ὁ πατήρ, ἀλλὰ τῆς πολιτείας ἐξέπεσε. τὸ αὐτὸ καὶ περὶ δύο ἐναγομένων ἐπερωτώντων. καὶ περὶ τοῦ, εἰ δύο ὑπεξουσίους λάβω ὑποχρέους, ὧν τὸν ἕνα ἐνόμιζον αὐτεξούσιον, τί γίνεται. καὶ πῶς ἐπὶ τοῦ παρόντ(ος) θέματ(ος) τοῦ ὑπεξου(σίου) ἀποθανόντος βοηθεῖται ὁ πατὴρ αὐτοῦ εἴτε αὐ(τε)ξού(σιος) ὁ κληρονόμ(ος) αὐτοῦ. καὶ περὶ προεστῶτος δανεισαμένου ὑπεξου(σίῳ), ποίοις τρόποις ἐνάγεται ὁ αὐτὸν προστήσας καὶ ποίοις ὁ προσταθ(είς), εἰ μὴ ὁ πατὴρ αὐτὸν προεστήσατ(ο) τῆς ἰδίας τραπέζης ἢ πραγματείας ἢ ἠνέσχετο ἐν τῷ πεκουλ(ίῳ) αὐτὸν πραγματεύεσθαι. δοκεῖ γὰρ καὶ τοῦτ(ο) παραγγέλλειν, εἰ μὴ ῥητῶς κωλύσει. καὶ περὶ τοῦ ἐὰν τὸ δανεισθὲν στρέψῃ εἰς τὴν οὐσίαν τοῦ πατρὸς καὶ μὴ τοιαύτ(ῃ) αἰτί(ᾳ) ἐδανείσατ(ο), ἀργεῖ τὸ δόγμα. καὶ ποῖον οὐ λέγεται δαπάνημα, ὡς τὸ καταβληθὲν ὑπὲρ χρέους ἀγνοοῦντι τῷ πατρί. καὶ περὶ ὑπεξου(σίου) ἀπόντος καὶ ἕνεκεν σπουδασμάτων δανεισαμένου σύμμετρα καὶ τὸ εἰωθὸς παρὰ τοῦ πατρός, πῶς ἐν αὐτῷ ἀργεῖ τὸ δόγμα. καὶ ὅτε δανεισάμενος ὑπεξού(σιος) καταβάλῃ ἑτέρῳ δανειστῇ μὴ ἐκβαλλομένῳ τῇ τοῦ δόγματ(ος) παραγρα(φῇ), ἀργεῖ τὸ δόγμα. καὶ εἰ ἄρξεται ὁ πατὴρ καταβάλλειν τὸ παρὰ τοῦ υἱοῦ δανεισθέν, ἀργ(εῖ) τὸ δόγμα. καὶ ἐὰν αὐτὸς γενόμενος αὐτεξού(σιος) καταβάλῃ, ἀργεῖ τὸ δόγμα καὶ ἡ ἀνάληψις.* (7) *Εἰ δὲ*

---

2 *αὐτεξουσίῳ γενομένῳ ἀπαριθμηθῇ* Ed. T. | 4 *χώρα ἐστὶ τότε* Ed. T. | 6 [*καὶ*] *ἕτ. ἐναγ. δέδωκεν* Ed. T. | 7 *βοηθῇ* Ed. T. | 20-21 *αὐτεξούσιος* desideratur in Ed. T.

---

20 *ὁ ὑπεξού(σιος) ἀποθανὼν* | 22-23 *αὐτὸν ὁ προστ.* | 32-33 *καταβάλλῃ* 34 *καταβάλλῃ*

ἀγνοῶν ὁ κουράτωρ καταβάλλῃ, ἀναλαμβάνεται. (8) Εἰ δὲ γενόμ(ε)νος αὐτεξού(σιος) ἐνέχυρον παράσχῃ, ἀργεῖ τὸ δόγμα μέχρι ποσοῦ τοῦ ἐνεχύρου | **70r** (9) Καὶ περὶ τοῦ λαβόντος δωρεὰν ὑπεξου(σίου) καὶ καταβαλόντος τῷ δανειστῇ,πῶς ἐκ<δ>ικεῖ ταύτην ὁ πατήρ, εἰ μὴ ἐπὶ τούτῳ ἐδωρήθη. καὶ ἐπὶ ὑπεξου(σίας) χώρα τῷ δόγματι, κἂν ἐκ τῶν δανεισθ(έν)των ἠγόρα(σε) κόσμια. καὶ ἐπὶ υἱοῦ, εἴτε δαπανηθ(ῇ) ἐν τῷ πεκουλ(ίῳ) εἴτε μή, χώρα τῷ δόγματι, καὶ εἰ φαίνεται ἐν τῷ πεκουλ(ίῳ). καὶ πότε οἱ ἐγγυηταὶ αὐτοῦ βοηθοῦντ(αι) ἢ μή. καὶ εἰ βουλή(σει) τοῦ πατρὸς παρενέβαλον. καὶ ὅτι, εἰ ὁ ὑπεξού(σιος) καὶ ὁ παρεμβάλλων καταβάλλουσιν, οὐκ ἀναλαμβά(νουσιν). ἡ γὰρ τοιαύτη παραγρα(φὴ) διὰ μῖσος εἰσηνέχθη τοῦ ἐνάγοντος καὶ οὐ δι' εὔνοιαν αὐτῶν. (10) Καὶ εἰ μὴ ἀντιθέντες τὴν παραγρα(φὴν) καταδικασθῶ(σι), κέχρηνται τῇ παραγρα(φῇ) καθ' ὑπόδειγμα τῆς ἀντιφωνησάσης γυναικός. (11) Καὶ πότε ἀργεῖ τὸ δόγμα δανεισαμένου τοῦ ὑπεξου(σίου), τουτέστιν, ὅτε εἰδή(σει) τοῦ πατρὸς καί, ὅτε κελεύσας δανείσασθαι κωλύ(σει) ἀγνοοῦντος τοῦ δανειστοῦ.ἡ γὰρ ἀρχὴ σκοπεῖται τοῦ συναλλάγματ(ος). (12) Καὶ ὅτι ἰσχυρῶς ἐπερωτᾶται ὑπεξού(σιος) κατὰ μετάθε(σιν) τοῦ χρέους, ὅπερ ἕτερος ἐδανείσατ(ο). (13) Καὶ ὅτι χώρα τῷ δόγματι, κἂν κελεύσει τοῦ ἰδίου πατρὸς ἐδανείσατ(ο) ὁ ὑπεξού(σιός) μου ἔγγονος.(14) Καὶ κἂν πό(λις) ἢ ἰδιώτ(ης) δανείσῃ, χώρα τῷ δόγματ(ι). (15) Καὶ ὅτι ἐὰν ὁ ὑπεξού(σιος) ὡς ἀπὸ μανδ(ά)τ(ου) τοῦ πατρὸς δανεισάμενος γρά(ψῃ) αὐτῷ καταβαλ(εῖν), ὀφείλ(ει) ὁ πατὴρ ἐγγρά(φως) διαμαρτύρασθαι, εἰ ἀποδοκιμάζει τὸ γεγονός. (16) Καὶ πῶς ἐνάγεται ὁ πατὴρ τοῦ υἱοῦ δανεισαμένου καὶ ἐπιδόντος προῖκα ὑπὲρ τῆς ἀδε(λφῆς).(17) Καὶ ὅτι ἀποθανόντος τοῦ ὑπεξου(σίου) ἐγγυητ(ὴν) ὁ δανειστὴς οὐ δύναται λαβεῖν. ὁ μέντοι πατὴρ περὶ τοῦ παρ' αὐτοῦ χρεωστουμένου διὰ τῆς περὶ τοῦ πεκουλ(ίου) ἀγωγ(ῆς) καλῶς δίδω(σιν) ἐγγυητ(ήν). (18) Καὶ ὅτι τὸ δόγμα μόνῳ τῷ γινώσκοντ(ι) ἢ τῷ γινώσκειν ὀφείλ(ον)τ(ι) ἀντίκειται, ὅτι τυχὸν ὑπεξούσιός ἐστιν ὁ δανειζόμενος. (19) Καὶ ὅτι ὁ ὑπεξούσιος αὐτεξούσιος γενόμενος, εἰ κατὰ ἄγνοιαν φάκτ(ου) νοβατεύσει τὸ παρὰ τὸ δόγμα αὐτοῦ δανεισθέν, ἔχει παραγρα(φὴν) ἰνφακτ(ούμ). (20) Καὶ ὅτι ἀργεῖ τὸ δόγμα καὶ ἐπὶ τοῦ δικαίως νομισθ(έν)τ(ος) καὶ ἑαυτὸν λέγοντος αὐτεξούσιον. (21) Οὐ βοηθεῖται ἐκ τοῦ δόγμ(α)τ(ος ὁ δημοσίᾳ αὐτεξούσιος νομιζόμενος ἢ κατὰ βούλη(σιν) τοῦ πατρὸς συναλλάξας ἤ, ἐὰν ὁ πατὴρ τὸ πραχθὲν ἀποδέξηται ἢ εἰς βάρος τοῦ πατρὸς κατεβλήθ(η) ἢ γενόμενος αὐτεξούσιος διὰ μεταθέ(σεως) τοῦ χρέους τὴν ἰδίαν πίστιν ἔνοχον ἐποίησεν ἢ ἄλλως ἔγνω τὸ χρέος. (22) Ἐπὶ δανείου χώρα, φη(σί),

11 cap. 9 Ed. (e Synopsi) desideratur in Tipuc. | 34 διὰ μετάθεσιν Ed. T.

3 καταβαλλόντος | 8 παρενέβαλλον | 9 καταβάλουσιν | 29 ἴνφακτον

τῷ δόγματι. ἐὰν δὲ ἐξ ἀγορα(σίας) χρεωστήσῃ, ἀργεῖ τὸ δόγμα. (23) *Καὶ πῶς τὸ κατὰ γνώμην τοῦ πατρὸς ἔρρωτ(αι) δάνειον καὶ τὸ ἐνέχυρον ὑπόκειται. καὶ μάλιστα, εἰ κληρονομή(σῃ) τὸν πατέρα, εἰ μὴ προγενέστ(ε)ρ(ος) δανειστὴς δικαίῳ προγενεστέρ(ας) ὑποθήκ(ης) ἀφέλητ(αι) τὸ πρᾶγμ(α).* (24) *Καὶ πῶς κατέχεται ὁ πατὴρ καὶ ὁ ὑπεξού(σιος) υἱὸς δανεισάμενος ἐλευθερίων σπουδασμ(ά)των ἕνεκεν ἢ πρεσβείας χάριν ἀπολιμπανόμενος. οὐ μόνον περιόντος αὐτοῦ, ἀλλὰ καὶ ἀποθανόντος τοῦ υἱοῦ ἐνέχεται ὁ πατὴρ ἐντὸς ἐνιαυτοῦ. εἰ μέντοι κατὰ κέλευσιν τοῦ πατρὸς ἐδανείσατ(ο), καὶ διηνεκὴς ἐστι κατὰ τοῦ πατρός.* (25) *Καὶ ὅτι δάνειον παρὰ τὸ δόγμα γενόμενον · οὐδὲ ἡ περὶ πεκουλ(ίου) χώραν ἔχ(ει). καὶ ὅτι, ὅπερ ἐπὶ υἱῶν, τοῦτο καὶ ἐπὶ ἐγγόνων λέγομεν. καὶ ὅτι τὸ τοῦ ὑπεξουσίου δάνειον, ἐὰν ὕστερον ὁ πατὴρ ἀποδέξηται, ἰσχύει καὶ οὐ ζητοῦμεν, εἰς τί ἐδαπάνησεν. ἐπὶ δὲ στρατι(ώ)τ(ου) ὑπεξουσίου δανεισαμένου, κἂν χωρὶς μανδ(ά)τ(ου) ἢ συναινέ(σεως) ἢ βουλή(σεως) τοῦ πατρὸς ἢ ἀποδοχῆς ᾖ, χρὴ ἐνίστασθαι τῷ συναλλάγματ(ι) μὴ πολυπραγμονούντων ἡμῶν τὴν αἰτίαν, δι' ἣν τὰ δανεισθέ(ν)τ(α) χρήματ(α) ἐδανείσθη ἢ ποῦ δαπανηθ(έν)τ(α) εἰσίν. οὐ γὰρ πιστεύεται ἀλλαχοῦ δαπανᾶν, εἰ μὴ εἰς τὰ στρατιωτικά. ζήτ(ει) περὶ τούτων πάντων βι. β' τί. γ' κε. ρκγ' οὗ ἡ ἀρχή Ὅπερ τοῖς συναλ|λά<γμα>σιν ἀντίκειται.* **70v** *ὅτι δὲ οὐ προσέχομεν, ὡς εἴρηται, τῷ χρό(νῳ) τῶν καταβολῶν, ἀλλὰ τοῦ συναλλάγματος, ζήτ(ει) βι. κε' τί. ε' κε. α' τὸ μέσον. περὶ δὲ τοῦ, πότ(ε) ὑπόκειντ(αι), ἃ ἐν τῷ δανείῳ ὑποτιθῶμεν, ζήτ(ει) τοῦ αὐτ(οῦ) κε' βι. τί. δ' κε. δ' οὗ ἡ ἀρχή Ἐὰν μέλλων δανείσασθαι ποιήσω γραμματεῖον. καὶ βι. μγ' τί. α' κε. οη'* (=85) *οὗ ἡ ἀρχή Ἐὰν ὑπεξού(σιος) ὑπὸ αἵρε(σιν) ἐπερωτήσῃ. περὶ δὲ δανείων ὑπεξουσίων ζήτ(ει) βι. κγ' τί. α' κε. ιδ' οὗ ἡ ἀρχή Ἐὰν ὑπεξού(σιος) παρὰ τὸ δόγμα δανεισάμενος. καὶ βι. κδ' τί. δ' κε. ε' οὗ ἡ ἀρχή Οὐδὲ ὑπὲρ ὧν συνήλλαξεν υἱὸς αὐτεξού(σιος). καὶ τί. ς' κε. ια' οὗ ἡ ἀρχή Ὁ πατὴρ ὑπὲρ υἱοῦ ἢ δεσπότ(ης) ὑπὲρ δούλ(ου). καὶ κε. ιθ' οὗ ἡ ἀρχή Ἡνίκα διὰ μῖσος τοῦ ἐνάγοντος. καὶ κε. κη'* (=26,8) *οὗ ἡ ἀρχή Ἐὰν ὁ τοῦ πεκουλ(ίου) χρεώστης καταβάλλῃ τῷ ὑπεξουσίῳ. καὶ θε'. β'* (=9) *οὗ ἡ ἀρχή Ὁ ὑπεξούσιος παρὰ τὸν νόμον δανεισάμενος. ἀνά(γνωθι) καὶ τὸν ε' τί. τοῦ αὐτοῦ κδ' βι. καὶ βι. λε' τί. ια' κε. πε'* (=80) *οὗ ἡ ἀρχή Ἐὰν ἀποκ(α)τ(α)στῇ ὑπεξουσίῳ κληρονομία. καὶ τοῦ παρ(όν)τ(ος) ιη' βι. τί. β' καὶ βι. μθ' τί. ς' κε. ς' οὗ ἡ ἀρχή Ἐπὶ τῆς φαβιανῆς χώρα τῷ ἐνδίκῳ ὅρκῳ. καὶ κε. ζ' καὶ βι. νβ' τί. α' κε. ιδ' οὗ ἡ ἀρχή Ἐὰν*

10-11 *υἱοῦ... ἐκγόνου* Ed. T. | 18 initium citatum deest in fragmentis Editionis | 22 *δανείζεσθαι* Ed. | 27 *υἱοῦ, ὁ δεσπ.* Ed.; cf. 73,12

1 *τὸ δόγμα. ἐὰν δὲ* | 11 *ἐκγόνων* | 12 *ἐδαπάνησας*

ὁ κληρονόμος ἐναχθεὶς παρὰ δανειστοῦ. περὶ δὲ τοῦ προσποιησαμ(έ)ν(ου) ἑαυτὸν αὐτεξούσιον καὶ δανεισαμένου ζήτ(ει) βι. θ' τί. γ' κε. ι' οὗ ἡ ἀρχὴ Ὁ προσποιησάμενος ἑαυτὸν αὐτεξούσιον.

ΤΙ(ΤΛΟΣ) ε'.

Περὶ πεκουλ(ίου), τουτέστι, πότ(ε) κινεῖται κατὰ πατρὸς ἢ δεσπότ(ου) ἡ περὶ πεκουλ(ίου), ἐξ ὧν συνήλλαξε πρός τινα υἱὸς ὑπεξού(σιος) ἢ δοῦλ(ος) ἢ δούλ(η).

(1) Καὶ πότε ἁρμό(ζει) ἐπὶ ἀνήβου δούλ(ου) ἢ δούλης, τουτέστιν, ὅταν αὐξηθ(ῇ) τὸ πεκούλ(ιον) καὶ γένηται εὐπορώτ(ε)ρ(ον). καὶ ὅτι οὐ μόνον ὀνόμ(α)τ(ι) τῶν ἰδίων δούλων καὶ κοινῶν ἐναγόμ(ε)θ(α), ἀλλὰ καὶ τῶν καλῇ πίστει δουλευόντων ἡμῖν ἐλευθέρων τε καὶ δούλων ἀλλοτρ(ί)ων. (2) Καὶ ὧν τὴν χρῆ(σιν) τῶν καρπῶν καὶ χρῆ(σιν) μόνην ἔχομεν. ἀπὸ γὰρ τῶν λοιπῶν οἱ τὴν δεσποτ(είαν) ἔχοντες ἐνάγονται. τὸ αὐτὸ καὶ ἐπὶ τῶν λοιπῶν πραιτωρίων ἀγωγῶν. (3) Ἔχει τὴν πε(ρὶ) πεκουλ(ίου) καὶ ὁ συναλλάξας κληρονομιαίῳ δούλ(ῳ) πρὸ τῆς ὑπεισελεύσεως τῆς κληρονομ(ίας). καὶ τὴν περὶ τῶν δαπανηθέντων εἰς τὰ τοῦ δεσπότ(ου). καὶ ὅτι ἀδιάφορον, εἴτε γυνὴ εἴτε ἀνὴρ δεσπόζει εἴτε ἄνηβος. ἐνάγεται γάρ, κἂν μὴ σὺν αὐθεντ(είᾳ) τοῦ ἐπιτρόπου συναλλάξῃ ὁ δοῦλ(ος) αὐτοῦ. ἐπὶ γὰρ τῶν συναλλαγμάτων τοῦ ἀνήβου ζητοῦμεν τὴν αὐθ(εν)τ(είαν) τοῦ ἐπιτρόπ(ου). καὶ ὅτι σὺν αὐθεντ(είᾳ) τοῦ ἐπιτρόπ(ου) ὁ ἄνηβος οὐ δύναται τῷ δούλ(ῳ) συστήσασθαι πεκούλ(ιον). καὶ ὁ κουράτ(ω)ρ τοῦ μαινομ(έ)ν(ου) ἐνάγεται τῇ περὶ πεκουλ(ίου). καὶ ὁ δοῦλ(ος) γὰρ αὐτ(οῦ) δύναται ἔχειν πεκούλ(ιον). Καὶ ἐὰν δοῦλ(ος) ἢ υἱὸς ἐγγυήσητ(αι) ἢ μανδατ(ωρεύσῃ) ἢ ἄλλως παρεντεθ(ῇ), πότε δίδοται ἡ περὶ τοῦ πεκουλ(ίου) ἀγωγ(ὴ) ἢ μή. καὶ περὶ τοῦ, ἐὰν ἐγγυητ(ὴς) τοῦ χρεώστου μου υἱοῦ ἢ δούλ(ου) καταβάλῃ μοι τὸ παρὰ τοῦ υἱοῦ μου κεχρεωστημένον μοι ἢ ἀχρεωστήτως καταβάλῃ, ποίας ἀγωγ(ὰς) ἔχει. καὶ περὶ δούλ(ου) ἐλευθεριάζοντος καὶ δικαζομένου παρὰ αἱρετῷ δικαστῇ ἢ ἐμπρά(κ)τ(ῳ), πῶς οὐχ ἁρμό(ζει) ἡ περὶ πεκουλ(ίου), ἀλλ' ἐπὶ μόνοις τοῖς διαποντ(ίοις) χρήμα(σιν). υἱοῦ δὲ ἐφ' οἱᾳδήποτε αἰτ(ίᾳ) ἐγγυησαμένου ἢ ἄλλως παρεμβαλόντος ἢ δικασαμένου εἰς αἱρετὸν ἢ εἰς ἔμβαθμον, χώρα τῇ περὶ πεκουλ(ίου). καὶ ὅτι ὁ υἱὸς ἐνάγεται τῇ τὸ κλοπιμαῖον ἀπαιτούσῃ. καὶ ὁ δεσπότ(ης) τῇ

27 ἀχρεώστητον Ed. T.

26 καταβάλλῃ | 27 καταβάλλῃ

περὶ πεκουλ(ίου) ἀγωγ(ῇ), εἰς ὃ γέγο(νε) πλουσιώτ(ε)ρ(ος), ὥσπερ καὶ ὁ πατὴρ ὀνόμ(α)τ(ι) τῆς θυγατρ(ός). καὶ περὶ ὑπεξουσίου γενομένου στρατηγοῦ μὴ φροντίσαντος δοθῆναι τὴν περὶ τοῦ | τὸ πρᾶγμα σῴζεσθαι τοῦ ἀνή- **71r** βου ἀγω<γήν>, πῶς ὁ πατὴρ αὐτοῦ ἐνάγεται <τῇ> πε(ρὶ) πεκουλ(ίου). (4) Καὶ ποῖον λέγεται πεκούλ(ιον). καὶ ὅτι ὁ δεσπό<της> καὶ αὔξειν αὐτὸ καὶ <ἀ>φαιρεῖν παντελῶς καὶ μερικῶς δύναται. καὶ πότε παύεται εἶναι χρεώστης ὁ δεσπότ(ης) ἢ νομίζεται εἶναι. καὶ ὅτι <ἔ>σθ' ὅτε καὶ ἀγνοοῦντος τοῦ δεσπότ(ου) μειοῦται τὸ πεκούλ(ιον), ὡς, ἔνθα κλέψει τι τοῦ δεσπότ(ου) ἢ ζημιώσει. καὶ εἰ σπουδὴν ἄλλῳ κλέπτοντι παρέσχετ(ο), τί δεῖ γινέσθαι. καὶ περὶ τοῦ, εἰ καὶ μὴ μειωθ(ῇ) τοῖς δεσποτικοῖς χρέεσι τὸ πεκούλ(ιον) τοῦ δούλ(ου), μέθοδος ἐκ φάκτου, πῶς εἴ τι μένει. καὶ τί συνυπάγετ(αι) τῷ τοῦ δούλ(ου) πεκουλ(ίῳ). (5) Καὶ ἐπὶ τῆς παρ(ούσης) ἀγωγ(ῆς) ὁ πατὴρ καὶ ὁ δεσπότ(ης) ἐνάγεται τῇ πε(ρὶ) πεκουλ(ίου), καὶ εἴ τι αὐτοὶ κατὰ δόλ(ον) ἐζημίωσαν. καὶ ἐπὶ τῇ κατὰ παράκλησιν ὀνόμ(α)τι υἱοῦ καὶ δούλ(ου). καὶ ἀπὸ τοῦ ἐναχθέντος ὅρκου παρὰ τοῦ υἱοῦ, οὐ μὴν καὶ δούλ(ου). καὶ πῶς ἐκλήθ(η) πεκούλ(ιον). καὶ τί ἐστι πεκούλ(ιον) καὶ πῶς ὁρίζεται (6) Ὁ δὲ ἄνηβος, φη(σί), καὶ ὁ μαινόμενος οὐ δύνατ(αι) συνιστᾶν μὲν πεκούλ(ιον), τὸ δὲ συστὰν παρὰ τοῦ πατρὸς τοῦ ἀνήβου ἢ πρὸ τῆς μανίας οὐκ ἀφαιρεῖται, τουτέστιν, οὐκ ἀφανίζεται διὰ τῆς ἡλικίας ἢ τῆς μανίας τοῦ δεσπότ(ου). Καὶ ὅτι ὀφείλ(ει) ὁ δεσπότ(ης) παχυμερῶς εἰδέναι τὸ πεκούλ(ιον) καὶ οὐ τὸ καθέκαστον τῶν πραγμάτων. ἡ δὲ ἐλευθ(έ)ρ(α) τοῦ πεκουλ(ίου) διοίκη(σις) ῥητῆς ἐπιτροπῆς χρῄζει. καὶ ὁ ἄνηβος υἱὸς καὶ δοῦλ(ος) δύναται πεκούλ(ιον) ἔχειν. καὶ ἡ ἐπιγενομένη μανία οὐκ ἀφαιρεῖται τὸ πεκούλ(ιον). καὶ τίνα δύναται εἶναι ἐν τῷ πεκουλ(ίῳ). καὶ ποῖά εἰσι τοῦ πεκουλ(ίου). (7) Καὶ ὅτι ἡ σύστα(σις) τοῦ πεκουλ(ίου) χρῄζει παραδοῦναι τὸν δεσπότ(ην) ἢ τὸ ὂν παρὰ τῷ δούλ(ῳ) ἀντὶ παραδοθέ(ν)τ(ος) ἡγήσασθαι. ἡ δὲ ἀφαίρε(σ)ις ψιλῇ βουλή(σει) γίνεται. (8) Καὶ ποῖα τῶν κλαπέντων ἢ ζημιωθ(έν)των λογίζονται ἐν τ(ῷ) πεκουλ(ίῳ). καὶ ποῖα ὑπεξαιροῦνται τοῦ πεκουλ(ίου), ὡς τὸ χρεωστούμενον τῷ δεσπότ(ῃ) καὶ τοῖς ὑπεξουσίοις αὐτοῦ καὶ τοῖς ὑπ' αὐτοῦ κηδεμονευομένοις καὶ ὧν ἐστι πραγμάτων διοικητής. καὶ πότε ἑαυτῷ δύναταί τις καταβάλλειν ὡς ὁ πράγματ(α) διοικῶν καὶ ὁ ἐπίτροπ(ος) χρεωστούμενος παρὰ τοῦ κυρίου τῶν πραγμ(ά)των ἢ τοῦ ἀνήβου. καὶ ὁ

---

3 φροντίσαντος τὸ δοθ. Ed. T. | 11 locus corruptus esse videtur. Heimbachius correxit πῶς ἐν αἰτίᾳ μένει, sed se non intellegere in annotatione confitetur. Dig. XV, 1, 4, 6 habent: Si aere alieno dominico exhauriatur peculium servi, res tamen in causa peculiaria manent... | 12 τῆς περὶ παραθήκης ἀγωγῆς Ed. T. | 14 καὶ αἰτίᾳ τῇ κατὰ π. Ed. T. | 15 περὶ τοῦ υἱου Ed. T. | 25 τοῦ πεκ. τῷ παραδ. Ed. T.

---

18 συστᾶν

δανειστής, εἰ κληρονομή(ση) τοῦ δεσπότ(ου) τοῦ δούλ(ου), ὑπεξαιρεῖ, ὅπερ τῷ δούλ(ῳ) ἐδάνεισε, κἂν ἠλευθεριώθ(η) ὁ δοῦλ(ος) κἂν ἀπέθα(νεν). ὑπεξαιρεῖ ὁ δεσπότ(ης) τοίνυν τὸ κεχρεωστημένον ἀπὸ συναλλάγματ(ος) αὐτῷ ἢ ἁμαρτήμ(α)τ(ος), ψιλὸν μέντοι τὸ τίμημα τοῦ κλαπέντ(ος), οὐ μὴν καὶ τὴν ποινήν. καὶ περὶ τοῦ ἐὰν ἑαυτὸν ὁ δοῦλ(ος) ἀνέλῃ ἢ τραυματίσῃ, ποίαν ζημίαν ὑπεξαιρεῖ ὁ δεσπότ(ης). καὶ ποίαν οὐχ ὑπεξαιρεῖ. ἢ καὶ δαπάνην γενομένην εἰς ἐπιμέλ(ειαν) τοῦ δούλ(ου). καὶ ἁπλῶς εἰπεῖν· ποῖα δύναται ὑπεξαιρεῖν ὁ δεσπότ(ης) τῆς περὶ πεκουλ(ίου) κινουμ(έ)νης καὶ ποῖα οὐ δύναται. καὶ ποῖος προτιμᾶται τῶν ἐναγαγόντων ἐπὶ τῷ πεκουλ(ίῳ). (9) *Λέ(γει) γὰρ οὐχὶ ὁ ἐναγαγών, ἀλλ' ὁ τὴν ψῆφον πρῶτος ἀπενεγκάμενος. οὐχ ὑπεξαιρεῖ τὸ χρεωστούμενον αὐτῷ προκινήσαντι.* (10) *Καὶ πότε ὁ δεσπότ(ης) ἁμαρτήσαντος τοῦ δ(ού)λ(ου) καὶ παρασχόντος αὐτοῦ ὑπεξαιρεῖ τὸ δοθὲν ἢ μή. καὶ πότ(ε) δύν(α)ται ἅπαξ ὑπεξαιρεῖν ἐναγόμενος τὸ ἑτέρῳ χρεωστούμενον. καὶ ἁπλῶς εἰπεῖν περὶ τῶν δυναμένων φη(σὶν) ὑπεξαιρεῖν ἢ μή, κἂν ὀνόμ(α)τ(ι) τοῦ δούλ(ου) κινῆται.* (12) *Καὶ ὅτι τοῦ προικιμαίου δούλ(ου) διπλοῦν ἐστι τὸ πεκούλ(ιον). καὶ ἀνά(γνωθι), ποῖα διαφέρει τῇ γυναικὶ καὶ ποῖα τῷ ἀνδρί. καὶ ὅτι ὁ τὴν χρῆ(σιν) τοῦ δοῦλ(ου) ἔχων ἔσθ' ὅτε κινεῖ κατὰ τοῦ δεσπότ(ου) καὶ τοὔμπαλιν.* (13) *Οἱ κοινωνοὶ δὲ κατ' ἀλλήλων οὐκ ἔχουσι τὴν περὶ πεκουλ(ίου).* (14) *Καὶ ὅτι ἐν πεκουλ(ίῳ) ἐστι καὶ τὸ δόλῳ τοῦ δεσπότ(ου) παυσάμενον εἶναι ἤ,* [ὃ] *πρὸ(ς) βλάβην τῶν δανειστῶν ἠνέσχετο σκορπισθῆ(ναι). οὐ ποιεῖ δὲ δόλον καταβαλὼν ἑτέρῳ. καὶ ὅτι ἐκ τοῦ δόλ(ου) τοῦ εὐποροῦντ(ος) ἐπι|τρόπ(ου) <ἐνέχε>ται ὁ ἄνηβος καὶ μαλι-* **71v** *στα, εἰ περιῆλθ(έ) τι εἰς αὐτόν. τὸ αὐτὸ καὶ ἐπὶ φ<ρον>τιστοῦ καὶ κουράτ<ωρος> μαινομ<ένου>. καὶ ὅτι ὁ ἀγοραστὴς οὐκ ἐνέχεται ἀπὸ δόλ(ου) τοῦ πράτ(ου) οὔτε κληρονόμος οὔτε διάδοχος ἑτ(έ)ρου, εἰ μὴ εἰς τὸ περιελθόν. σκοπεῖται δ' ὁ δόλ(ος) ὁ πρὸ τῆς προκατ<άρ>ξεως καὶ ὁ μετ' αὐτήν. καὶ ὅτι οὐ δύναται ὁ δεσπότ(ης) παραιτεῖσθαι τὴν περὶ πεκουλ(ίου), ἀλλ' ἐξ ἀνάγκης καὶ αὐτὴν ὡς πᾶ(σαν) ἑτέραν προσωπικὴν ὑποδέχεται.* (15) *Ὑπεξαιρεῖ ὁ δεσπότ(ης) καὶ εἰ ἐπερωτηθ(ῇ), τῇ δάμνῃ ἰμφέκτῃ. καὶ περὶ πεκουλιαρ(ίου) οἴκου.* (16) *Καὶ ὅτι εἰς ὁλόκληρον ὁμολογεῖ τὴν περὶ μελλούσης ζημίας ἀγωγ(ήν), ὥσπερ καὶ ὀνόμ(α)τ(ι) τοῦ δούλ(ου) ἁμαρτήσαντος.* (17) *Καὶ ὅτι ὁ κουράτ(ω)ρ τοῦ μαινομένου διοίκη(σιν) πεκουλ(ίου) καὶ δοῦναι καὶ ἀφελέσθαι δύναται δούλῳ καὶ υἱῷ τοῦ μαινομ(έ)ν(ου).* (18) *Καὶ ποία ἐσθής ἐστι τοῦ πεκουλ(ίου). ζήτ(ει) καὶ κε. μ'* (=31) *οὗ ἡ ἀρχή Πεκούλ(ιόν) ἐστιν, ὅπερ οὐκ ἐξ ἀνάγκης παράσχῃ δούλῳ ὁ δεσπότ(ης).* (19) *Καὶ περὶ*

15 cap. 11, quod in Ed. Heimbachius e Synopsi supplevit, deest in Tipuc.

15 *τοῦ δούλ(ου)* bis | 29 *ἰμφέκτην* | 33 *ποῖα* |

δόλ(ου) γενομ(έ)ν(ου) παρὰ τοῦ δεσπότου. καὶ ἐὰν μὴ κεχρεωστημένο(ς) δέδωκ(ε) τὸ ἀπὸ οἰκείου δόλου.(20) *Καὶ ὅτι ὀνόμ(α)τ(ι) δούλης καὶ θυγατρ(ὸς) ἁρμό(ζει) ἡ περὶ πεκούλ(ίου) ἀγωγ(ὴ) καὶ ἡ περὶ παρακαταθήκης καὶ τῶν ἐν χρή(σει) διδομένων καὶ ἡ διαιροῦσα μεταξὺ πατρὸς καὶ δεσπότ(ου) καὶ τῶν συναλλαξάντων τῷ δούλ(ῳ) ἢ τῷ υἱῷ τὸ κέρδος. καὶ τί ὑπεξαιρεῖ ὁ κληρονόμ(ος). καὶ ὅτι τοῦ δεσπότ(ου) ἐναγομένου ἐντὸς ἐνιαυτοῦ ἐκποιησαμένου τὸν δοῦλ(ον) οὐδὲν ἧττον καὶ ὁ δεσπότ(ης) ἐνάγεται. πῶς δέ, ἀνά(γνωθι). καὶ ὅτι ἡ περὶ πεκουλ(ίου) ἀγωγὴ καθ' ἑκάστου τῶν δεσποτῶν εἰς ὁλόκληρον κινεῖται. καὶ οὐ σκοπεῖται τὸ ὂν παρὰ τῷ ἐναγομένῳ, ἀλλὰ καὶ τὸ παρ' ἑτέρῳ.* (21) *Κἂν κωλύσῃ ὁ δεσπότ(ης) συναλλάξαι μετὰ τοῦ δούλ(ου), ἐνάγεται τῇ περὶ πεκουλ(ίου).* (22) *Καὶ εἰ ἐν τῇ προκατάρξει μηδέν ἐστιν ἐν τῷ πεκουλ(ίῳ), εὑρεθῇ δὲ κατὰ τὸν καιρὸν τῆς ψήφου, καταδικάζεται ὁ ἐναχθείς. καὶ ὅτι οἱ κληρονόμ(οι) τοῦ πατρὸς καὶ τοῦ δεσπότ(ου) οὐκ εἰς ὁλόκληρον, ὡς οἱ κοινωνοί, ἀλλὰ ἐκ μέρους καὶ τῇ περὶ πεκουλ(ίου) ἀγωγ(ῇ) καὶ τῇ περὶ δαπανημάτων γενομένων εἰς τὰ τοῦ πατρὸς καὶ τοῦ δεσπότ(ου) ἐνάγονται. ἀνά(γνωθι) τὰς ἐν αὐτῷ διαστίξεις. καὶ ὅτι ὁ ἅπαξ κινήσας τὴν περὶ πεκουλ(ίου) δύναται πάλιν ἐνάγειν ἐπὶ τῷ λείποντι, αὐξηθ(έν)τ(ος) τοῦ πεκουλ(ίου). καὶ περὶ τοῦ ἐὰν μετ' ἐνιαυτὸν κινήσας τις κατὰ τοῦ πράτ(ου) ἐκβληθ(ῇ) παραγραφῇ,πῶς καλῶς χωρεῖ κατὰ τοῦ ἀγοραστοῦ. καὶ ὅτι ἀπὸ δόλ(ου) μετὰ τὸν ὡρισμένον χρό(νον) τῆς περὶ δόλ(ου) ἀγωγῆς οὐ καταδικάζεται τῇ περὶ πεκουλ(ίου). ὁ δὲ κληρονόμος εἰς τὸ περιελθὸν μόνον ἐνέχεται.* (23) *Εἰ μὴ αὐτὸς τὸν δόλ(ον) ἐποίησε.* (24) *Καὶ ἐὰν ὁ ὑποκείμενος τῇ περὶ πεκουλ(ίου) ἐντὸς ἐνιαυτοῦ ἐπὶ πολλοῖς ἀποθά(νῃ) κληρονόμ(οις) καὶ ὁ εἷς ἐναχθῇ. καὶ ὅτι τοῦ πεκουλ(ίου) ἡ νῦν κατάστα(σις) σκοπεῖται. τὸ γὰρ πεκούλ(ιον) καὶ αὔξη(σ)ιν καὶ μείωσιν δέχεται. καὶ πε(ρὶ) τοῦ πωλήσαντ(ος) μετὰ τοῦ πεκουλ(ίου) τὸν δοῦλ(ον) καὶ παραδιδοῦντος τὸ πεκούλ(ιον).* (25) *Καὶ εἰ συνεφώνησε λαβεῖν ὑπὲρ τοῦ πεκουλ(ίου) τίμημα.* (26) *Καὶ εἰ ὁ κληρονόμ(ος) ἐκελεύσθη δοῦναι τὸ πεκούλ(ιον) λαμβάνων δῆλον ποσόν.* (27) *Καὶ περὶ τοῦ, ὅτι ἐπὶ τῶν καλῇ πίστει ἀγωγῶν, ὡς ἐπὶ τῆς δοθείσης τῷ ὑπεξουσίῳ προικὸς πρὸ(ς) τῇ περὶ τοῦ πεκουλ(ίου) ἀγωγ(ῇ) καὶ ἀπὸ τοῦ οἰκείου δόλ(ου) ὁ πατὴρ ἐνάγεται, βλάψας τυχὸν ἢ ζημιώσας ἢ ἔχων τὸ πρᾶγμα καὶ μὴ ἀποκαθιστῶν.* (28) *Καὶ περὶ τοῦ, ἐὰν εἴπω τῷ δούλ(ῳ) μου ἀγορά(σαι) ὀκτὼ νομίσμασι δοῦλον καὶ δοῦναι αὐτὰ ἐκ τῶν ἐμῶν, ὁ δὲ ἀγορά(σῃ) δέκα. καὶ ἐὰν ἔχων μετὰ σοῦ κοινὸν δοῦλον ἐπώλησα τὸ μέρος μου καὶ ἐνάγεται ὁ ἀγοραστὴς ἢ σὺ τῇ περὶ πεκουλ(ίου) ἀγωγ(ῇ).*

1 *κεχρεωστημένον* Ed. T. | 26 *παραδόντος* Ed. T. | 29-30 *ἐπὶ δοθ.* Ed. T.

6-7 *ὁ δεσπότ(ης) ἐναγόμενος... ἐκποιησάμενος* | 10 *συναλλᾶξαι* | 26 *παραδοῦντος* | 33 *ἀγορᾶσαι ὀκτὼ* ii

καὶ ὅτι ὁ τὴν χρῆ(σιν) ἔχων, εἰ ἧττον δέδωκ(ε) τοῦ πεκουλ(ίου) ἐναχθείς, πληροῦται ὁ δανειστὴς ἀπὸ τοῦ ἔχοντ(ος) τοῦτο. καὶ ὅτι ὁ τὴν χρῆ(σιν) ἔχων ἔχει τὴν περὶ πεκουλ(ίου) κατὰ δεσπότ(ου), εἰ τὴν | ὑπηρεσίαν αὐτοῖς 72r *ἐμίσθωσεν εἴτε ἐδάνεισε.* (29) *Καὶ ὅτι, ἐὰν π<αρ>άθωμαι τῷ υἱῷ σου νομίσματα καὶ ἔχῃς αὐτά, οὐκ ἔχει χώραν ἡ περὶ πεκουλ(ίου) ἀγωγή, ἀλλ' ἡ περὶ ἀποκρυβέντων καὶ ἡ τὰ ἴδια ἐκδικοῦσα. καὶ ποῖα καὶ αὖθις ὑπεξαιροῦνται, τυχὸν γυναικὸς μελλούσης γαμηθῆ(ναι) ὑπεξουσίῳ καὶ προῖκα ὁμολογησάσης λυομένου τοῦ γάμου. καὶ ἐὰν ἐνάγωμαι ὀνόμ(α)τ(ι) τοῦ δούλ(ου) μου. καὶ περὶ τοῦ ἐὰν πωλήσας σοι δοῦλ(ον) δανείσω αὐτῷ.* (30) *Καὶ ἐπὶ ποίοις πεκούλιον συνίσταται.* (31) *Καὶ ποῖον λέγεται πεκούλ(ιον).* (32) *Καὶ ὅτι κατὰ νόμους ὁ δοῦλ(ος) οὔτε χρεωστεῖ οὔτε χρεωστεῖται.* (33) *Καὶ ὁ υἱοθετήσας ἐνάγετ(αι) τῇ περὶ πεκουλ(ίου), οὐ μὴν πε(ρὶ) τῶν πρὸ τῆς θέσεως.* (34) *Καὶ ἐὰν μετὰ προκάταρξιν τῆς περὶ πεκουλ(ίου) πραθ(ῇ) ὁ δοῦλ(ος).* (35) *Καὶ ὅτι ὁ συναλλάξας υἱῷ αὐτὸν εἰς ὁλόκληρον, τὸν δὲ πατέρα εἰς τὸ πεκούλ(ιον) ἔχει ἔνοχον* (36) *Καὶ ὅτι ὁ συγχωρῶν τῷ υἱῷ τὸ πεκούλ(ιον) διοικεῖν, τίνα δοκεῖ ἐπιτρέπειν γενικῶς ἢ τίνα ἐπιτρέπειν ἰδικῶς.* (37) *Καὶ πότε ὁ δεσπότ(ης) οὐκ ἐνάγεται τῇ κατὰ τοῦ προστήσαντος, ἀλλὰ τῇ περὶ πεκουλ(ίου). καὶ πότε ἐνάγεται ὁ δεσπότ(ης) ἐκ τῆς ἐγγύης τοῦ δούλ(ου) ἢ οὐκ ἐνάγεται. καὶ ὅτι μὴ πληρωθ(εὶς) ὁ δανειστὴς ἐκ τοῦ πεκουλ(ίου) οὐ λαμβάν(ει) ἀσφάλ(ειαν). καὶ ὅτι μὴ πληρωθ(εὶς) ὁ δανειστὴς παρὰ τοῦ ἀγοραστοῦ ἔχει κατὰ τοῦ πράτ(ου) ἀγωγ(ήν), ἐξ ἀρχῆς δὲ τὴν ἀγωγ(ὴν) ἐπιμερίζειν καὶ τοῖς δυσὶν ἅμα ἐνάγειν οὐ δύναται. καὶ ὅτι ἐκ τῶν πρὸ τῆς πρά(σεως) ὁ πράτ(ης) παρὰ παντὸς ἐνάγεται καὶ αὐτοῦ τοῦ ἀγοραστοῦ. καὶ περὶ τοῦ ἐὰν χωρὶς τοῦ πεκουλ(ίου) πραθῇ ὁ δοῦλ(ος), ὁ πράτ(ης) ἐναγόμενος ποῖα ὑπεξαιρεῖ καὶ ποῖα οὐχ ὑπεξαιρεῖ. καὶ ὅτι τὰ ἐπὶ πράτ(ου) καὶ ἀγοραστοῦ εἰρημένα ἕλκεται καὶ ἐπὶ τῶν ἄλλων ἐκποιήσεων, ὡς ἐπὶ προικὸς καὶ ληγάτ(ου).* (38) *Καὶ τίνες οὐ μένουσιν ἔχοντες πεκουλ(ίου) διοίκη(σιν) ἐλευθ(έ)ρ(αν), ὡς ὁ φυγάς, ὁ κλαπείς, ὁ ἀγνοούμενος, εἰ ἐτελεύτ(ησεν) ἢ ζῇ. Καὶ ὅτι ὁ ἔχων ἐλευθέραν τοῦ πεκουλ(ίου) τὴν διοίκη(σιν) δύναται ἀποπληροῦν ἴδιον χρέος.* (39) *Καὶ ὅτι τὸ συγχωρηθὲν παρὰ τοῦ δεσπότ(ου) πεκούλ(ιόν) ἐστι καὶ τὸ κτηθ(ὲν) ἀγνοοῦντος αὐτοῦ. καὶ περὶ τοῦ ἐὰν δοῦλ(ός) μου ἀγνοοῦντός μου διοικῇ τὰ πράγματ(ά) μου, τί μοι χρεωστεῖ. καὶ ὅτι ὁ δεσπότ(ης) ἐκ τοῦ γρά(φειν) τοῖς οἰκείοις λόγοις χρεωστεῖν τὸν δοῦλ(ον) αὐτῷ οὐ πιστεύεται.* (40) *Καὶ ὅτι, εἰ λανθάν(ει) ὁ δεσπότ(ης), ὅτι ὁ δοῦλ(ος) οὐκ ἔχει πεκούλ(ιον), οὐ πέμπεται ὁ δανειστὴς εἰς νομὴν τῶν*

10 *καὶ ποῖα* pro *καὶ ποῖον* Ed. T.

4-5 *υἱῷ σου* ii | 10 *πεκουλίοις συνίσταται* | 29 *ἄδειαν τοῦ πεκ. τ. διοίκ.*

πραγμάτων αὐτοῦ. οὐ δοκεῖ δὲ πρὸ(ς) παραγρα(φὴν) λανθάνειν καὶ ὁ ὑπὸ ἡμέρ(αν) ἢ ὑπὸ αἵρε(σιν) χρεώστης. καὶ ὅτι καὶ μὴ ὄντος πεκουλ(ίου) ἐγγυητ(ὴς) δίδοται. καὶ ἐπὶ μελλούσῃ ἀγωγῇ δίδοται, ὅτε μέντοι οὕτως προσληφθῇ. καὶ περὶ δανειστοῦ κληρονόμον γράψαντος τὸν ἐνεχόμενον τῇ περὶ πεκουλ(ίου) ἀγωγῇ, πότε σκοπεῖται τὸ πεκούλ(ιον). καὶ ὅτι καὶ μετὰ τὸ ἐναχθῆναι τὸν δεσπότ(ην) καλῶς ἐγγυᾶταί τις ὑπὲρ τοῦ δούλ(ου). καὶ περὶ τοῦ ἐὰν δουλεύων μοι καλῇ πίστει δοῦλ(ος) ἀλλότρ(ιος) ἐδανείσατ(ο) νομίσματα καὶ δέδωκέ μοι ἐπὶ τῷ ἐλευθερῶ(σαι) αὐτὸν, πῶς μόνος ἐνάγεται ὁ δεσπότ(ης) τῇ περὶ πεκουλ(ίου). καὶ κατ' ἐμοῦ ἔχει τὴν περὶ τῶν ἀποκρυβέντων πραγμάτων ἀγωγ(ήν), τῶν νομισμάτων χάριν. (41) Καὶ ὅτι ἐναγόμενος ὁ δεσπότ(ης) ὑπὲρ ὧν ἐξωτικὸς χρεωστεῖ τῷ δούλ(ῳ) ἢ ὑπὲρ κοινωνοῦ εἰς ὁλόκληρ(ον) ἐνεχομέν(ου), μόνας τὰς ἀγωγ(ὰς) ἐκχωρεῖ. (42) Καὶ ἐὰν δοῦλ(ος) ὡς ἐλεύθ(ε)ρ(ος) ἐπιτροπεύσῃ, πῶς προτιμᾶται ὁ ἄνηβος τῶν λοιπῶν δανειστῶν. ὁ δὲ δεσπότ(ης) ὑπεξαιρεῖ τὸ κεχρεωστημένον αὐτῷ. οὐδὲ ἓν γὰρ προνόμ(ιον) τοῦ δεσπότ(ου) περιγίνεται. καὶ εἰ ὑπέθετο ἢ ἐδάνεισε τὰ τοῦ ἀνήβου | πράγματα, τ<ί> δεῖ γενέσθαι. καὶ <ποῖ>ον δοκεῖ **72v** πεκούλ(ιον) εἶναι τοῦ ἐπιτροπεύσαντ(ος) δού<λ>(ου). καὶ ὅτι, εἰ προῖκα ὑποδεξάμενος ὁ υἱὸς ἐπιτροπεύσει, προτιμᾶται ἡ γυνὴ καὶ ὁ ἀφῆλιξ καὶ ὑπερτίθεται ἡ τῶν ἄλλων δανειστῶν ἀγωγ(ή). καὶ εἰ κινή(σωσιν) οἱ μὴ ἔχοντες προνόμ(ιον), ἀσφαλίζονται ἀ<να>διδόναι κινουμένης ὕστερον κατὰ τοῦ πατρὸς τῆς δε πεκούλ(ιο). (44) Καὶ ἐὰν ἀγρὸς ἐξωπλισμένος ἑνὶ τῶν κληρονόμων ληγατευθ(ῇ), ἐν ᾧ ᾖ δοῦλ(ος) χρεωστῶν τῷ δεσπότ(ῃ). (45) Καὶ περὶ τοῦ ἐάν τις κατὰ βίαν ἀποσπά(σῃ) τὸν ἐναγόμενον τῇ περὶ πεκουλ(ίου) ἀγωγ(ῇ). (46) Καὶ ποῖα ὑπεξαιρεῖ ὁ δεσπότ(ης). (47) Καὶ περὶ τοῦ ἐὰν τῆς περὶ πεκουλ(ίου) κινουμένης ἀποθά(νῃ) ὁ χρεωστήσας ὑπεξουσίῳ. καὶ περὶ τοῦ ἐὰν αὐτῷ τῷ δούλ(ῳ) ἐν διαθήκῃ ἐλευθερωθ(έν)τ(ι) ληγατευθ(ῇ) τὸ πεκούλ(ιον) αὐτ(οῦ) ἢ ἐξωτικῷ ληγατευθ(ῇ), τί λαμβά(νει). καὶ περὶ τοῦ ἐὰν ληγατευθ(ῇ) ἑνὶ τῶν κληρονόμων ἀγρὸς μετὰ τῶν ἀνδραπόδων καί τινες αὐτῶν χρεωστοῦσι τῷ δεσπότ(ῃ), οὐκ ἔχουσιν οἱ ἄλλοι κληρονόμ(οι) τὴν περὶ πεκουλ(ίου) ἀγωγ(ήν). περὶ δούλων δυναμένων ἐκκαλεῖσθαι ἢ δεσπότ(ου) ὀνόματ(ι) τῷ ἐκείνου ζήτ(ει) βι. θ' τί. α' κε. ιε' οὗ ἡ ἀρχὴ Πότε οἱ δοῦλ(οι) καταδικαζόμενοι. καὶ κε. ιη' οὗ ἡ ἀρχὴ Ἐκκαλεσάμενος ὁ δεσπότ(ης) ὑπὲρ τοῦ δούλ(ου). καὶ τοῦ παρ(όν)τ(ος) ιη' βι. τί. α', β', γ', δ', ς', ζ', μεθ' ὧν ἔχουσι παραπομπῶν. καὶ βι. ιθ' τί. ιβ' κε. γ' (=1) οὗ ἡ ἀρχὴ Ἐὰν δοῦλος ἀγορά(σῃ) ἐκ τοῦ πεκουλ(ίου) καὶ ἀπαιτ(ῇ) τὸν δοῦλ(ον) ὁ πράτ(ης) τὸ πρα-

---

13 ἐὰν ὁ δοῦλος Ed. T. | 21 cap. 43, quod Heimbachius in Ed. supplevit ex Scholiis Basil., deest in Tipuc. | 29 χρεωστῶσι Ed. T.

---

7 ἐδανείσατ(ο) ii | 10 ii χάριν | 18 ἀφῆλιξ | 35 ἀγορά(σ)ας

θέν. καὶ βι. κϛ' τί. δ' κε. λγ' (=34) *οὗ ἡ ἀρχή Υἱὸς καὶ δοῦλ(ος) δύνανται δι' ἑαυτῶν μεταφέρειν. καὶ τί. ζ' κε. λθ' θε'. θ' οὗ ἡ ἀρχή Ἐὰν μέλλων σοι συναλλάσσειν, κατ' ἀντιφώνησιν συναλλάξω γυναικί. καὶ βι. λα' τί. α' κε. θ' οὗ ἡ ἀρχή Ἐν τοῖς δημο(σίοις) ὁ ὑπεξούσιος. καὶ βι. ξ' τί. δ' κε. α' περὶ τὰ μέ(σα). ὅτι δὲ οὐχ ὑποτίθεται τὸ πεκούλ(ιον) ὑπὲρ ἄλλου παρὰ δούλ(ου) ἢ υἱοῦ, οὔτε μὴν δωρεῖται, ζήτ(ει) βι. κε' τί. δ' κε. α' θέ. α'.*

ΤΙ(ΤΛΟΣ) ϛ'

Ὅσαι πε(ρὶ) πεκουλ(ίου) ἀγωγ(αὶ) ἐνιαυσιαῖαί εἰσιν.

(1) *Καὶ ὅτι ἡ πε(ρὶ) πεκουλ(ίου), ἐφ' ὅσον ὑπεξού(σιός) ἐστιν ὁ υἱὸς ἢ δοῦλος, διηνεκῶς ἁρμό(ζει), μετὰ δὲ θάνατ(ον) ἢ αὐτεξουσιότ(η)τ(α) ἢ ἐκποίησιν ἢ ἐλευθερίαν ἐνιαυσιαία ἐστί. καὶ ὅτι οὐτίλιός ἐστιν ὁ ἐνιαυτός ἀρχόμενος ἀφ' οὗ τις χώραν σχοίη, τουτέστιν εὐχέρειαν τοῦ κινῆσαι, ὅθεν ἐπὶ αἱρετικοῦ χρέους οὐκ ἀπὸ τῆς ἀυτεξουσιότ(η)τ(ος), ἀλλ' ἀπὸ τῆς ἐκ βάσεως τῆς αἱρέσεως ἀριθμεῖται. κινεῖται δὲ εἰς τὸ πεκούλ(ιον) καὶ εἰς ὃ γέγονεν ἧττον κατὰ δόλ(ον) τοῦ τὸν ὑπεξού(σιον) ἔχοντος, σβέννυται δὲ τῷ θανάτῳ τὸ πεκούλ(ιον) καὶ τῇ ἐκποιήσει. καὶ πότε δοκεῖ τις ἐκποιεῖν. καὶ πε(ρὶ) δούλ(ου) ληγατευθ(έν)τ(ος) μετὰ τοῦ πεκουλ(ίου) ἢ χωρὶς τοῦ πεκουλ(ίου) αὐτοῦ ἢ ἐλευθερωθ(έν)τ(ος). καὶ ἐὰν κελευσθῇ ὁ κληρονόμος παρακρατῆ(σαι) τὸν δοῦλ(ον) μετὰ τοῦ πεκουλ(ίου), τίς ἐνάγεται. καὶ ὅτι σβεσθείσης τῆς χρή(σεως) τῶν καρπῶν ὁ τὴν χρῆ(σιν) τῶν καρπῶν ἔχων ἐντὸ(ς) ἐνιαυτοῦ ἐνάγεται. καὶ περὶ τοῦ ἐὰν νομίσας τὸν περιόντα ὑπεξούσιον τετελευτηκέναι κινήσω τὴν ἐνιαυσιαίαν ἀγωγ(ὴν) καὶ ἐκβληθ(ῶ) ὡς τοῦ ἐνιαυτοῦ πληρωθ(έν)τ(ος), δύναμαι τὴν περὶ πεκουλ(ίου) κινεῖν τοῦ ἀληθ(οῦς) γνωσθ(έν)τος), οὐ μὴν τὴν πε(ρὶ) τῆς λοιπάδος.* (2) *Καὶ ὅτι, ἐὰν ἀπὸ τῆς περὶ χρεῶν ἀγωγ(ῆς) κινεῖται μετὰ θάνατον τοῦ ὑπεξουσίου, εἴσω ἓξ μηνῶν μετὰ τελευτὴν τοῦ υἱοῦ κινεῖται. καὶ ἐπὶ πασῶν τῶν προσκαίρων ἀγαγῶν. καὶ ὅτι οὐκ ἔστιν ἐνιαυσιαία | ἡ περὶ πεκουλ(ίου), ἐφ' ὅσον ὑποστρέ-* **73r** *ψαι δύναται αἰχμάλ(ω)τ(ος) ὑπεξού(σιος).* (3) *Καὶ ὅτι, εἰ καὶ τῷ θανάτῳ καὶ τῇ ἐλευθερίᾳ [τοῦ δούλου] παύεται εἶναι πεκούλ(ιον), ὅμως καὶ μετὰ θάνατον αὐτοῦ τῆς ἐνιαυσιαίας ἀγωγῆς κινουμένης σκοπεῖται ἡ αὔξησις αὐτοῦ καὶ μείωσις. ζήτ(ει) καὶ βι. λ' τί. α' κε. μη'* (=55, 2) *οὗ ἡ ἀρχή Ἐὰν*

---

4 *ἐν τοῖς πουβλίκοις* Ed.

---

12 *ἐνιαυσιαῖα*

ὁ υἱός μου διοικῶν τὰ πράγματα τῆς αὐτ(οῦ) μητρός. καὶ βι. νθ′ τί. ς′ κε. α′ θέ. β′.

ΤΙ(ΤΛΟΣ) ζ′.

Περὶ τῆς ἀγωγ(ῆς) τῆς περὶ τὰ πράγμ(α)τ(α) τοῦ δεσπότ(ου) καὶ τοῦ πατρὸς κινουμένης, ἐξ ὧν συναλλάσσει ὁ ὑπεξούσιος ἢ δοῦλος πρὸς ἕτερον.

(1) Τουτέστιν, ἡνίκα δύναται κινεῖν κατὰ τοῦ πατρὸς ἢ δεσπότ(ου) καὶ ζητεῖν τὸ δαπανηθ(ὲν) εἰς τὰ τούτ(ου) πράγματ(α). ἀναγκαία γάρ ἐστι τῷ δανείσαντι ἡ περὶ τῆς δαπ(ά)ν(ης) ἀγωγ(ή). τί γάρ, ὅτι οὐκ ἔστι πεκούλ(ιον) ἢ ἧττόν ἐστι τοῦ χρέους ἢ χωρὶς δόλ(ου) ἀφῃρέθη ἢ ἀπέθα(νεν) ὁ ὑπεξούσιος καὶ παρῆλθ(εν) ὁ ἐνιαυτὸς ὡς μὴ ἔχειν χώραν τὴν περὶ πεκουλ(ίου) ἀγωγ(ήν). ἡ γὰρ περὶ τῆς λοιπάδος ἀγωγ(ὴ) διηνεκής ἐστι καὶ κινεῖται μὴ ὄντος τοῦ πεκουλ(ίου). οὐκ ἔχει χώραν ἡ τῆς λοιπάδος ἀγωγ(ή), ἐὰν ἐνταλθεὶς ὁ δεσπότ(ης) παρ' ἑτέρου τῇ περὶ πεκουλ(ίου) κατέβαλ(εν) ἢ αὐτῷ τῷ δούλ(ῳ). (2) Καὶ ὅτι ὁ λαβὼν ἐκ τοῦ δούλ(ου) νομίσματα καὶ ἐλευθερώσας αὐτὸν οὐκ ἐνάγεται τῇ τῶν δαπανηθέντων ἀγωγ(ῇ). οὐ γὰρ γέγονεν εὐπορώτ(ε)ρ(ος). (3) Εἰ μὴ ἄρα πλέον τῆς τοῦ δούλ(ου) τιμῆς ἐδόθ(η). καὶ περὶ τοῦ, ποῖά εἰσι καὶ λέγονται δαπανήμ(α)τ(α). τὰ παρὰ τοῦ ὑπεξουσίου δανεισθ(έν)τ(α) καὶ ἐξοδιασθε(ν)τ(α) εἰς τὰ τοῦ δεσπότ(ου) πράγμ(α)τ(α), ἀποθρέψας τυχὸν τὴν φαμιλ(ίαν) αὐτοῦ ἢ δανεισταῖς καταβαλών. καὶ εἰ ἐν ἀγνοίᾳ μὴ χρεωστούμενον καταβάλλῃ, δαπάνημά ἐστιν, εἰς ὅσον ὁ δεσπότ(ης) ἔχει ἀνάληψιν. καὶ ἁπλῶς εἰπεῖν ποῖα λέγονται δαπανήμ(α)τ(α) ἢ οὐ λέγονται. κἂν ἑαυτὸν θρέψῃ, κἂν ὀνόμ(α)τ(ι) τοῦ δεσπότ(ου) δανείσῃ καὶ αὐτὸς δανεισάμενος, ἀνά(γνωθι). εὑρή(σεις) γάρ τινα πολυσχεδῆ, τυχὸν εἰς τροφὴν καὶ εἰς αἰσχρὰν δαπάνην καταβάλλοντ(α) τὸν δανεισάμενον δοῦλον. καὶ ἐὰν δανείσηται ἐπὶ τοῦ ἀγορά(σαι) ἐσθῆτα τῇ φαμιλίᾳ καὶ ἀπολέ(σῃ) τὰ νομίσματα, εἴτε κατεβλήθ(η) τῷ πράτ(ῃ) εἴτε καὶ μή, πῶς ἔχει ὁ δανειστὴς τὴν περὶ τῆς δαπάνης ἀγωγ(ήν), κἂν ἡ ἐσθὴς ἀπώλ(ε)τ(ο). (4) Κρείττων δέ ἐστιν ἐπὶ ταύτῃ τῇ ἀγωγ(ῇ) ὁ προλαμβάνων. (5) Καὶ περὶ τοῦ ἐὰν γνώμῃ τοῦ δεσπότ(ου) ἀγορά(σῃ) ὁ δοῦλ(ος), πότε λέγεται τὸ καταβληθὲν δαπάνημα. (6) Καὶ πότε κατὰ τοῦ δεσπότ(ου) κινεῖται. (7) Καὶ

27 καταβληθῇ Ed. T.

8 ἀναγκαῖα | 15 ii καὶ | 21 δαπανήμ(α)τ(α), εἰς ὅσον ; ad emend. cf. Dig. 15, 3, 3 | 26 ἀγοράσαι | 27 ἀπολέ(σῃ) τὰ ii

ποῖον οὐ νομίζεται δαπάνημ(α). καὶ ποῖα ὄντα ἐν τῷ πεκουλ(ίῳ) οὐ νομίζονται δαπάνημα ἢ καὶ διδόμενα τῷ δεσπότ(ῃ) καὶ ἁπλῶς εἰπεῖν ἀνά(γνωθι) διάφορα θέμ(α)τ(α) δηλοῦντα, ποῖα λέγονται δαπανήματα ἀφ' οἱουδήποτ(ε) τρόπου ἐπερχόμενα τῷ δούλ(ῳ) καὶ εἰς τὰ τοῦ δεσπότ(ου) πράγματα δεδαπανημένα ἢ τὰς ἀγωγὰς ἢ τὴν ταφήν. καὶ περὶ τοῦ ἐὰν κληρονομ(ίαν) ἀνήκουσάν σοι ἀγορά(σω) ἐκ τοῦ δούλ(ου) σου ἢ καὶ συλλογίσομαι εἰς τὸ τίμημα τὸ χρεωστούμενόν μοι παρ' αὐτοῦ ἢ καταβάλλω δανεισταῖς καὶ ἐκδική(σῃς) παρ' ἐμοῦ τὴν κληρονομ(ίαν), τί γίνεται. δαπάνημά ἐστι καί, ἐὰν ὡς πράττων τῷ πατρί μου δανείσωμαι καὶ προικίσω τὴν θυγατ(έ)ρ(α) μου. (8) Ὁμοίως κἂν ἀδελφὴν ἢ ἐξ ἄλλου ἀδελφοῦ ἐγγόνην τοῦ πατρός μου προικίσω. καὶ δοῦλ(ος) τὴν θυγατ(έ)ρ(α) τοῦ δεσπότ(ου). (9) Εἰ μέντοι προικίζειν ὁ πατὴρ οὐκ ἤμελλεν, οὐκ ἐστι δαπάνημ(α). (10) Δαπάνημ(ά) ἐστι καὶ ἐὰν ἐγγυησάμενος ὁ παῖς τὸν πατέρα καταβάλλῃ καὶ ὅτε ἐκδικήσας | αὐτὸν καταδικασθ(ῇ). ἀνά(γνωθι) καὶ τὴν διάστιξιν τοῦ · εἰ δὲ 73v καὶ εἰς τὴν πε(ρὶ) πεκουλ(ίου) ἀγωγὴν δικεδικ<ή>(σῃ) τὸν πατέρα. καὶ περὶ τοῦ, πότε ἀπαιτεῖται τόκος ἐπὶ τῆς περὶ δαπάνην ἀγωγῆς. καὶ πότε οὐκ ἀπαιτεῖται. καὶ πότε ἁρμό(ζει) ἡ περὶ δαπ(ά)ν(ης) ἀγωγ(ή). καὶ πότε ἡ περὶ δόλ(ου) κατὰ πατρὸς ἢ τοῦ δεσπότ(ου). καὶ πότε τὸ δαπανηθ(ὲν) ἢ καταβληθ(ὲν) παύεται εἶναι δαπάνημα. καὶ ἐὰν δανεισάμενος ὁ υἱὸς ἐνόχων γεγονότων τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, καὶ καταβάλλ(ῃ) ὁ υἱὸς ὀνόμ(α)τ(ι) ἰδίῳ. ἢ ἐὰν τῷ υἱῷ δανείσ(ῃς) κελεύσει τοῦ πατρὸς καὶ ὁ υἱὸς καταβάλλ(ῃ) σοι, πότε λέγεται ἢ μὴ δαπάνημα.(11) Καὶ περὶ τοῦ ἐὰν υἱὸς δανεισάμενος ἢ δοῦλ(ος) καταβάλλ(ῃ) ἰδίῳ δανειστῇ (12) ἢ ἀγοράσ(ῃ) τῷ πατρὶ καὶ τῷ δεσπότ(ῃ) ἀγρόν, πότε λέγεται δαπάνημα. καὶ τί γίνεται, εἰ ἥττονος ἢ πλείονος ἐξωνηθ(ῇ). (13) Καὶ εἰ ὁ κοινὸ(ς) δοῦλ(ος) εἰς τὰ τοῦ ἑνὸς δεσπότ(ου) δαπανήσει, πῶς μόνος αὐτὸς ἐνάγεται. (14) Εἰ καὶ ἡ περὶ τοῦ πεκουλίου ἀγωγὴ κινεῖσθαι δύναται καλῶς καὶ ὁ ἄλλος δεσπότης ἐνάγεται. (15) Καὶ πότε ἀντιφωνήσας ὑπὲρ πατρὸς υἱὸς δαπάνημα ποιεῖν δοκεῖ. (16) Καὶ ὅτι ἀγρὸν δούλῳ μου μισθώσας ἐπέτρεψα αὐτῷ βοῦς πωλῆ(σαι) καὶ ἄλλας ἀγορά(σαι) χρησιμωτ(έ)ρ(ας) καὶ πωλήσας τὰς ἐμὰς πέντ(ε) νομίσμασι καὶ ἄλλας ἀγοράσας δέκα νομίσμασι καὶ μὴ καταβαλὼν τὸ τίμημα ἐφύρασε, πότε οὖν κινεῖται κατὰ τοῦ δεσπότ(ου) ἡ περὶ πεκουλ(ίου) καὶ πότε ἡ περὶ δαπ(ά)ν(ης), ἀνά(γνωθι). (17) Καὶ ὅτι τὸ παρὰ τοῦ δούλ(ου) ἢ φροντιστοῦ δανεισθὲν εἰς πρᾶγμα τοῦ δεσπότ(ου), ἐὰν χωρὶς ἀμελείας ἀπολεσθῇ, χώρα τῇ περὶ δαπάνης ἀγωγ(ῇ). καὶ περὶ τοῦ εἰ δανείσω τῷ δούλ(ῳ) τοῦ δούλ(ου), πότε δίδοται ἡ

25 ἐξωνήθη Ed.T. | 35 καὶ περὶ τοῦ ἐὰν Ed. T.

6 καὶ ἢ συλλογίσομαι | 10 ἔγγονον | 16 περὶ δαπάνη | 29 ἀγορᾶσαι | 30-1 ii καὶ... δέκα ii

περὶ πεκουλ(ίου) καὶ πότ(ε) ἢ περὶ δαπ(ά)ν(ης). (18) *Καὶ περὶ τοῦ εἰ ἐγγυήση ὑπὲρ τοῦ δούλ(ου) μου τὸ στραφὲν εἰς τὴν οὐσίαν μου.* (19) *Καὶ περὶ υἱοῦ ἀγοράσαντος ἐσθῆτα καὶ τοῦ πατρὸς νομίζοντος αὐτὴν ἰδίαν εἶναι συνθάψαντος τῷ υἱῷ τελευτ(ήσαντι), πῶς δίδοται ἡ περὶ πεκουλ(ίου).* (20) *Καὶ περὶ πατρὸς ὑπὲρ θυγατρ(ὸς) ὁμολογήσαντ(ος) προῖκα καὶ συμφωνήσαντ(ος) τὴν θυγατ(έ)ρ(α) τρέφειν καὶ μὴ χορηγοῦντος αὐτοῦ δανεισαμ(έ)ν(ου) παρὰ τοῦ ἀνδρὸς καὶ δαπανήσαντος, εἶτα τῆς κόρης ἀποθανούσης. καὶ περὶ δούλ(ου) ἀπόντος διὰ δημό(σιον) πρᾶγμα καὶ δανείσαντ(ος) δούλοις ἀνήβου.* (21) *Καὶ περὶ τοῦ ὁμολογήσαντος προῖκα ὑπὲρ τῆς αὐτοῦ θυγατρ(ὸς) καὶ συμφωνήσαντ(ος) ὥστε τὸν πατέρα ἢ αὐτὴν ἑαυτὴν τρέφειν. καὶ νομίζων ὁ ἀνὴρ χορηγήσοντα τὸν πατέρα, ἐδάνεισεν αὐτῇ. ἅτινα λαβοῦσα ἡ γυνὴ ἐδαπάνησεν εἰς ἀναγκαίας χρείας ἢ ἰδίας, καὶ οὓς εἶχε δούλ(ους) καὶ εἰς τὰ πιστευθ(έν)τ(α) αὐτῇ παρὰ τοῦ πατρὸς πράγματα καὶ τοῦ πατρὸς μὴ πληρώσαντος ἐτελεύτ(ησε), πό(τε) ἁρμό(ζει) κατὰ τοῦ πατρὸς τῷ ἀνδρὶ ἡ περὶ τῶν δαπανημάτων ἀγωγ(ή). ζήτ(ει) περὶ τῆς κινουμένης περὶ τοῦ πεκουλ(ίου) κατὰ τοῦ δεσπότ(ου) ἀγωγ(ῆς) καὶ τῶν δαπανημάτων βι. θ' τί. ς' κε. γ'* (=3,1) *οὗ ἡ ἀρχὴ Κἂν μετὰ δούλ(ου) τοῦ ἀνήβου συναλλάξῃ τις. καὶ βι. κγ' τί. α' κε. ια' οὗ ἡ ἀρχὴ Ὁ ἔχων δοῦλο(ς) ἐλευθ(έ)ρ(αν) πεκουλ(ίου) διοίκη(σιν) δανείζει. καὶ βι. κς' τί. ε' κε. ιη' οὗ ἡ ἀρχὴ Ἐάν τις ἐλευθερωθ(έν)τι τῷ δανείσαντ(ι) δούλ(ῳ) δεσποτικὰ καταβάλλῃ. καὶ τί. ς' κε. κβ' οὗ ἡ ἀρχὴ Ὁ δοῦλ(ος) οὔτε κελεύοντ(ος) τοῦ δεσπότ(ου) ποιεῖν ἀθώωσιν δύναται.*

ΤΙ(ΤΛΟΣ) η'.

Πε(ρὶ) ὧν κατὰ κέλευσιν τοῦ δεσπότ(ου) ἢ τοῦ πατρὸς συναλλάσσει τις πρό(ς) τοὺς ὑπεξουσίους.

(1) *Καὶ πότε δοκεῖ ὁ δεσπότ(ης) κελεύειν ἢ μή, κἂν ψιλοῖς ῥήμ(α)σ(ι) τοῦτο ποιή(σῃ). καὶ πότε εἰς ὁλόκληρον τῷ συναλλάξαντ(ι) τῷ δούλ(ῳ) ὁ δεσπότ(ης) ἐνέχεται, εἰ μὴ νόμος τις ἰδικὸς κωλύσει τὸ συνάλλαγμ(α), ὥσπερ τὸ δάνειον ἐπὶ τῶν ὑπεξουσίων ἢ τὸν γάμον ἐπὶ τῶν δούλων.* | *καὶ ὅτι ἔξεστι πρὸ τοῦ συναλλάγματ(ος) ἀνακαλεῖσθαι τὴν ἰδίαν κέλευσιν.* **74r**
καὶ πε(ρὶ) τοῦ [ὅτι] ἐὰν ἐντείλ(η)τ(αι) τῷ δούλ(ῳ), ἐνέχεται, οὐ μήν, ἐὰν ἐγγυήσητ(αι) τὸν δοῦλ(ον). καὶ ἐὰν δεκτὸν ἡγήσηται τὸ πραχθὲν παρὰ τοῦ μανδατ(α)ρ(ίου) ἢ υἱοῦ ἢ δούλ(ου), ἐνέχεται. καὶ ὁ τὴν χρῆ(σιν) ἔχων τῶν

---

1 *τοῦ δούλου* om. Ed.T. | *περὶ τοῦ ἐὰν* Ed. T. | 11 *χορηγήσαντα*; cf. Dig. 15, 3, 21: ministraturum | 20 *καταβάλῃ* Ed.

καρπῶν καὶ ὁ καλῇ πίστει νομεὺς κελεύοντες ἐνέχονται. ὁ δὲ ἄνηβος οὐκ ἐνέχεται. καὶ περὶ κουράτ(ω)ρ(ος) νέου ἢ μαινομένου ἢ ἀσώτ(ου) κελεύσαντος, πῶς ἐνέχεται ὁ τοῦ δούλ(ου) δεσπότ(ης). τὸ αὐτὸ καὶ περὶ ἀληθοῦς διοικητ(οῦ) ἢ φροντ(ι)στ(οῦ). ὁ γὰρ μὴ ἀληθὴς τῇ περὶ δόλ(ου) ὡς ὑποβαλὼν ἑαυτὸν ἐνέχεται. (2) *Καὶ περὶ τοῦ ἐὰν κελεύσει τοῦ ἐπιτρόπου ἐπὶ συμφέροντι τῷ ἀνήβῳ δανείσῃ δούλῳ αὐτοῦ, πῶς ἐνέχεται ὁ ἄνηβος. καὶ χώραν ἔχει καὶ ἐπὶ δούλης καὶ θυγατρὸς δανειζομένων κελεύσει τοῦ πατρὸς καὶ τοῦ δεσπότ(ου). καὶ ὅτι, εἰ κελεύσει μου συναλλάξεις δούλῳ ἀλλοτρ(ίῳ), οὔτε εἰ μετὰ ταῦτα ἐπικτήσομαι αὐτόν, ἐνέχομαι ὡς κελεύσας.* (3) *Ἐνέχεται ἐπιτρέπων ὁ δεσπότ(ης) ἐπὶ τοιοῖσδε τόκ(οις) συναλλάξαι τῷ δούλ(ῳ). τὸ δὲ παρὰ γνώμην αὐτοῦ παρὰ τοῦ δούλ(ου) ὑποτεθὲν οὐχ ὑπόκειται.* (4) *Καὶ ὁ διοικῶν τὰ τῆς πό(λεως) ἐπιτρέπων ἐνέχεται.* (5) *Καὶ πε(ρὶ) τοῦ ἐὰν πατὴρ ἢ δεσπότ(ης) μέλλων δανείζεσθαι, κελεύσῃ ἀπαριθμηθῆ(ναι) τῷ υἱῷ ἢ τῷ δούλ(ῳ), οὐχ ὡς ἐπιτρέψας πραγματεύσασθαι, ἀλλὰ τῷ δανειακῷ ἐνάγεται. καὶ περὶ δύο κοινὸν ἐχόντων δοῦλον, πῶς, εἰ ὁ εἷς κελεύσει συναλλάξαι τῷ δούλ(ῳ), αὐτὸς ἐνέχεται, εἰ δὲ δύο, ἀμφότ(ε)ρ(οι) εἰς ὁλόκληρον ἐνάγονται. πε(ρὶ) τοίνυν ὑπεξουσίου ζήτ(ει) βι. μβʹ τί. γʹ κε. ιηʹ θεʹ. εʹ οὗ ἡ ἀρχή Ὁ ὑπεξούσιος ἐν μέρει κληρονομῶν τοῦ πατρός. καὶ βι. μγʹ τί. αʹ κε. ϛαʹ* (=88) *θε. εʹ* (=4) *οὗ ἡ ἀρχή Ἐὰν ὁ ὑπεξούσιος κελεύσει τοῦ πατρὸς ὁμολογή(σῃ) δοῦλον. καὶ κε. ρλγʹ* (=130) *οὗ ἡ ἀρχή Ἐὰν ἐπερωτ(ήσω) μὴ γενέσθαι μοι βίαν ἀπὸ σοῦ ἢ τοῦ κληρονόμ(ου) σου. καὶ βι. νδʹ τί. δʹ κε. ιαʹ θέ. αʹ οὗ ἡ ἀρχή Ὁ ὑπεξούσιος ἰδιώτης καὶ ἄκοντος τοῦ πατρὸς αὐτοῦ.*

---

1 *ἐνέχεται* Ed. T. | 5-6 *ἐπὶ συμφέροντος* Ed. T. | 7 *δανειζομένης* Ed. T.
21 cap. 11 tit. 4 libri 54 desideratur in fragmentis Editionis

---

10 *συναλλᾶξαι*

ΒΙ(ΒΛΙΟΝ) ιθ'. ΤΙ(ΤΛΟΣ) α'.

Περὶ συναλλάγματος, πρά(σεως) καὶ ἀγορασίας καὶ περὶ συμφώνων τοῦ τε πράτ(ου) καὶ τοῦ ἀγοραστοῦ συντεθέντων καὶ ποῖα πράγματ(α) οὐ δύνανται πιπράσκεσθαι. καὶ περὶ εὐνούχων καὶ πατέρων τοὺς υἱοὺς ἐκποιουμένων.

(1) *Καὶ ὅτι ποτὲ καταλλαγὴ ἦν πραγμάτων ἀντιδιδομένων, σήμερ(ον) δὲ χωρὶς ἀργυρίων οὐ συνίσταται πρᾶ(σ)ις. συνίσταται καὶ συναινέ(σει) καὶ μεταξὺ ἀπόντων καὶ διὰ μέσου καὶ διὰ γραμμάτων.* (2) *Καὶ πότε μεταξὺ υἱοῦ καὶ πατρὸς συνίσταται πρᾶ(σ)ις. φη(σὶ) γὰρ ἐπὶ ἰδιοκτήτῳ πεκουλ(ίῳ), ἐπ' ἄλλῳ δὲ μὴ συνίστασθαι. καὶ ὅτι τὴν ἄγρα(φον) πρᾶ(σ)ιν οὐχ ἡ ἀπαρίθμησις, ἀλλὰ τὸ σύμφωνον ἀπαρτίζει.* (3) *Καὶ περὶ πρά(σεως) ὑπὸ αἵρε(σιν) ἀναλυομένης, ὥσπερ, εἰ εἴπω· εἰ ἀπαρέσει μοι.* (4-5) *Καὶ ἐπὶ ποίοις ἀγορασία οὐ συνίσταται, ἢ συνίσταται ἀγνοοῦντος τοῦ ἀγοράζοντος. καὶ περὶ τοῦ, ποῖον σύμφωνον διὰ μεταγενεστ(έ)ρ(ου) ἀμείβεται. καὶ ποῖον οὔ.* (6) *Καὶ περὶ τοῦ εἰπεῖν ἐν πρά(σει)· ἐὰν δῷ τοὺς λογισμοὺς ὁ δοῦλ(ος), ἔστω πεπραμένος, δοκιμα(σίᾳ) δὲ τοῦ πράτ(ου), πῶς οὐκ αὐτοῦ τοῦ πράτ(ου), ἀλλὰ τὴν ἀνδρὸς ἀγαθοῦ δοκιμα(σίαν) δεχόμεθα. καὶ αἱρ(ε)τική ἐστιν ἡ πρᾶ(σ)ις. καὶ ποίᾳ ἀγωγ(ῇ) ὑπόκειται ὁ δοκιμά(σας) ἢ μή. καὶ εἰ λά(βῃ) τοὺς λογισμοὺς ἢ μή. καὶ περὶ ἐρρωμένης πρά(σεως), ἐν ᾗ εἴπῃ τις· ὅσου ἠγόρα(σας) ἢ ὅσου ἐν τῇ κιβωτ(ῷ) | ἀπόκειται, ἢ· ὅσου δυνηθ(ῶ) πλείονος πωλῆ(σαι) τῶν ρ', ὧν ἠγόρασ(ας).* 74v (7) *Καὶ ὅτι χωρὶς τοῦ πιπρασκομένου πράγματ<ος> πρᾶ(σ)ις οὐ συνίσταται, καρποὶ μέντοι καὶ τοικετοὶ μέλλοντες πωλοῦνται. καὶ γεννηθ(έν)τ(ων) δοκεῖ γεγενῆσθαι ἡ πρᾶ(σ)ις, ἀφ' οὗ γέγονε τὸ συνάλλαγμα. εἰ δὲ παρὰ γνώμην τοῦ πράτ(ου) μὴ γένωντ(αι) οἱ καρποί, ἐνάγεται. καὶ κόττῳ πρᾶ(σ)ις γίνεται, ὡς τὸ ἀπὸ ἁλείας ἢ μελισσῶν ἢ ὑπατείας. καὶ ἐὰν ἐκνικηθ(ῇ), τί δεῖ γενέσθαι.* (8) *Καὶ ὅτι διχονοούντων τῶν πωλ(ούν)τ(ων) ἢ τῶν ἀγοραζόντων περὶ τὸ τίμημα ἢ τὸ πρᾶγμα ἢ τὴν ὕλην, οὐκ ἔρρωτ(αι). ἡ δὲ περὶ τὴν προσηγορίαν τοῦ πιπρασκομένου πλάνη*

---

17 *δοκιμασίᾳ τοῦ πρ.* Ed. T. | 28 *ἢ περὶ τὸ πρᾶγμα* Ed. T.

---

25 ***γένοντ(αι)*** | 26 ***κότῳ***] 27 ***διχονοούντων***

οὐ βλάπτει τὸ συνάλλαγμα. καὶ εἰ ὄξος ἀπὸ οἴνου, οὐ μὴν ἀντὶ οἴνου σκευαστὸν πραθ(ῇ), ἔρρωται ἡ πρᾶ(σ)ις. (9) *Καὶ ἐὰν ἧττον δόκιμο(ς) ᾖ ὁ πραθεὶς χρυσός, παρ' ὃ ὁ ἀγοραστὴς ἤλπισεν, ἔρρωται ἡ πρᾶ(σ)ις.* (10) *Καὶ περὶ τοῦ ἐὰν ἀντὶ παρθ(έ)ν(ου) γυναῖκα ἀγοράσ(σω), οὐ μήν, ἔνθα ἀντὶ ἀνδρὸς ἠγοράσθη γυνή.καὶ περὶ πλάνης περὶ τὴν φύ(σ)ιν γενομένης, πῶς ἀσύστατός ἐστιν ἡ πρᾶ(σ)ις. καὶ τίνες δοκοῦσι συναινεῖν, ὡς ὁ τυφλὸς καὶ ὁ μὴ ἀκριβῶς τὰς ὕλας εἰδώς.* (11) *Καὶ τί σκοπεῖται ἐπὶ τῶν τοιούτων, φη(σί) γάρ · τὸ πρόσωπον τὴν συναλλαττόντων σκοπεῖται, ὥσπερ, εἰ παρόντος μου ὁ υἱός μου ἢ δοῦλ(ός) μου ἀγοράσ(σῃ) τι ὀνόματ(ι) αὐτοῦ, ἡ αὐτοῦ γὰρ σκοπεῖται ὑπόνοια.* (12) *Εἰ δὲ τῷ δούλ(ῳ) μου πωλήσ(εις) δοῦλ(ον) φυγάδ(α) ἀγνοοῦντι, ἐμοῦ γινώσκοντος, οὐκ ἐνέχ(εται) τῇ ἐξέμπτο.* (13) *Καὶ περὶ πλάνης τοῦ τε πράτου καὶ ἀγοραστοῦ νομίζοντος χρυσοῦν εἶναι χαλκοῦν ὂν τὸ πιπρασκόμενον ἢ ἔχον χρυσὸν ἢ κεχρυσωμένον τυγχάνον.* (14) *Καὶ περὶ τοῦ, εἰ περὶ τὸ σῶμα συναινέσομεν, φθαρῇ δὲ πρὸ τῆς πρά(σεως), οὐ συνίσταται πρᾶ(σ)ις. καὶ ποία ἄγνοια οὐκ ὠφελεῖ τὸν πράτ(ην). καὶ περὶ τοῦ ἐὰν ἀγνοοῦντί μοι τὸ ἐμὸν πρᾶγμα πωλή(σῃς) ἢ δωρήσῃ μοι καὶ κατ' ἐπιτροπήν μου ἄλλῳ παραδώσῃς αὐτό, πῶς ἡ δεσποτ(εία) οὐ μεταφέρεται.* (15) *Καὶ πότε ἀνισχύρως ἀγοράζω τὸ ἐμόν, εἰ δὲ ἠγνόησα, ἀπαιτ(ῶ) καὶ τὸ τίμημα. καὶ εἰ χρῆ(σ)ιν εἶχον ἐν τῷ πραθ(έν)τ(ι) μοι, πῶς ἔρρωται ἡ πρᾶ(σ)ις,* (16) *τὸ δὲ τίμημα μειοῦται.* (17) *Καὶ πῶς, εἰ μερικὸς ἤμην δεσπότ(ης) ἐν μέρει ἰσχύει καὶ ἐν μέρει οὐκ ἰσχύει. καὶ περὶ τοῦ ἐὰν κελευσθεὶς ὁ δοῦλός μου τοὺς ὅρους ὑποδεῖξαι τοῦ πραθ(έν)τ(ος) ἀγροῦ πλέον ὑποδείξῃ κατὰ δόλ(ον) ἢ ἄγνοιαν.* (18) *Καὶ πῶς γίνεται τοῦ λαβόντ(ος), ὅπερ ἐπώλη(σα).* (19) *Καὶ πότε λέγεται πρᾶσις καὶ πότε μίσθωσις, ὥσπερ ἐὰν ἐπέταξα γενέσθαι μοι, ἐφ' ᾧ χρήμ(α)τ(α) δοῦναί με. ἀγορασία γάρ ἐστι.* (20) *Καὶ περὶ ἀσαφοῦς λέξεως τοῦ πράτ(ου).* (21-2) *Καὶ ὅτι τὸ εἰπεῖν τὸν πράτ(ην)· εἴ τι σάκρον, τουτέστιν ἱεροῦ ἢ μνημείου, ἐστὶ τοῦτο, οὐ συμπέπραται τῷ ἀγρῷ, εὑρεθ(ῇ) δὲ ὅλος ἱερὸς ἢ μνημεῖον ἢ δημό(σιος), πῶς οὐκ ἔρρωται ἡ πρᾶ(σ)ις καὶ τὸ δοθὲν ἀναλαμβά(νει) ὁ ἀγοραστής.* (23) *Ἐὰν πωλή(σω) τόδε ἢ τόδε, ἐγὼ τὴν ἐπιλογὴν ἔχω. καὶ ὅτι ὁ πράτ(ης) οὐκ ἀναγκάζεται τὸ πρᾶγμα ποιεῖν τοῦ ἀγοραστοῦ, ὥσπερ ὁ ἐπερωτηθ(είς).* (24) *Καὶ περὶ τοῦ ἐὰν εἰδὼς ἀγοράσ(σω) παρὰ τοῦ κωλυθ(έν)τ(ος) τὰ οἰκεῖα διοικεῖν ἢ τοῦ λαβόντ(ος) καιρὸν εἰς διάσκεψιν κλήρου, ἐφ ᾧ μὴ ἐκποιῆσαι, δεσπότης οὐ γίνομαι. δεσπόζω δὲ παρὰ χρεώστου εἰδὼς αὐτὸν περιγράφειν τὸν δανειστήν.* (25) *Καὶ ὅτι ὁ ἀγοράζων παρά τινος καλῇ πίστει ἀγοράζει, οὐ μὴν ὁ ἀγοράζων παρὰ*

---

2 *δόκιμός ἐστιν* Ed. T. | 9 *ὀνόματι αὐτοῦ* Ed. T. | 14 *συναινέσωμεν* Ed.T.

---

2 *ἧττονο(ς)* | 7-8 *τῶν πρόσωπον* | 14 *φθαρεῖ* | 15 *ποῖα* | 34 *παραγράφειν*

ἀνήβου χωρὶς αὐθ(εν)τ(είας) τοῦ ἐπιτρόπ(ου) ἢ ἐν εἰδή(σει) τοῦ πλαστοῦ ἐπι τρόπ(ου). (26) *Καὶ ὅτι τὸ ἀλλότρ(ιον) δυνατὸν πιπράσκειν. ἀφαιρεῖτ(αι) | δὲ* 75r *τοῦ ἀγοραστοῦ.* (27-28) *Καὶ ὅτι οὐχ ἕπεται τῷ πραθ(έν)τ(ι) δούλ(ῳ) τὸ πεκούλ(ιον) αὐτοῦ. καὶ πῶς ἀγωγὴ κινεῖται κλέψαντος τοῦ δούλ(ου) τι τοῦ πεκουλ(ίου) αὐτοῦ καὶ περιελθ(όν)τ(ος) εἰς τὸν ἀγοραστήν.* (29) *Καὶ τὰ προστεθ(έν)τ(α) μετὰ τὴν πρᾶ(σ)ιν τῷ πεκουλ(ίῳ) δίδοντ(αι) τῷ πράτ(ῃ), τυχὸν τοκετοὶ καὶ ὑπηρεσίαι τοῦ δούλ(ου) τοῦ δούλ(ου).* (30) *Καὶ ὅτι τὰ ἐν δημο(σίῳ) ἐδάφει ὄντα ἀργυροπρατικά, ἐργαστήρια καὶ ἕτερα τοῦ δημο(σίου) εἰσὶ καὶ ἡ χρῆ(σ)ις αὐτῶν ἰδιωτική. ὁ οὖν πιπράσκων αὐτὰ οὐ τὸ ἔδαφος, ἀλλὰ τὸ δίκαιον πιπράσκει.* (31) *Καὶ ὅτι ἐὰν ἐν τῇ πράσ(ει) λεχθῇ · οἱ σταλαγμ(οὶ) τῶν κεράμων, ὥς εἰσι νῦν, ἔστωσαν, καὶ μὴ δηλοῦται, περὶ ποίων συνέδοξεν, ὁ πράτ(ης) βλάπτεται. ἀσαφὴς γάρ ἐστιν ἡ ἀπόφασις.* (32) *Καὶ περὶ τοῦ ἐὰν ἔδοξε προστεθῆ(ναι) τῷ πραθέντ(ι) ἀγρῷ Παῦλον καὶ περὶ μὲν ἄλλου ὁ πράτης ἐνεθυμήθ(η), περὶ δὲ ἄλλου ὁ ἀγοραστής, περὶ οὗ ὁ πράτ(ης) ἐνεθυμήθη, δίδοται. δυνατὸν δὲ τὴν προσθήκην μείζονα εἶναι τοῦ πρωτοτύπου. καὶ ὅτι οὐδεὶς τὸν ἐλεύθερον ἀγοράσ(αι) δύναται, κἂν προστεθ(ῇ) · ὅτε δοῦλ(ος) γένηται. καὶ περὶ τοῦ ἐὰν τὸ πιπρασκόμενον γινώσκωσιν ὁ πράτης καὶ ὁ ἀγοραστ(ὴς) κλοπιμαῖον, ἢ μόνος ὁ ἀγοραστὴς οἶδεν ἢ μόνος ὁ πράτ(ης), τί γίνεται. καὶ ὅτι τοῦ πράγματός μου τὴν νομὴν ἰσχυρῶς ἀγοράζω παρὰ τοῦ δυναμένου με παραγράφεσθαι. καὶ ὅτι ὁ ὑπὸ γεῦσιν ἀγοράζων δύναται ἀποδοκιμάζειν, ὁ δὲ ὑπὸ μέτρον οὔτε προστιθέναι οὔτε ἀφαιρεῖν δύναται. καὶ περὶ τοῦ ἐὰν εἴπω · Πέτρος ἢ Παῦλος ἔστω μοι ἠγορασμένος, ὃν θέλει ὁ πράτ(ης), δίδω(σιν), ὡς ἐπὶ τῆς ἐπερωτ(ήσεως). εἰ δὲ τελευτ(ήσῃ) ὁ εἷς, ὁ ἄλλος δίδοται. καὶ εἰ ὁ πρῶτος τελευτ(ήσῃ), τῷ πράτ(ῃ), εἰ δὲ ὁ δεύτ(ε)ρ(ος), τῷ ἀγοραστῇ ἐγκινδυνεύεται. καὶ εἰ δύο τελευτ(ήσωσιν) ἅμα καὶ εἰ συνέδοξε, λαβεῖν τὸν ἀγοραστήν, ὃν θέλει. οὐ μήν, ἐὰν εἶπεν · ἐὰν θέλω, ἠγόρασται. καὶ ὅτι ὁ ἐπίτροπ(ος) οὐ δύναται ἀγοράζειν τὰ τοῦ ἀνήβου πράγματα. τὸ αὐτὸ καὶ ἐπὶ κουράτ(ω)ρ(ος) καὶ διοικητ(οῦ) καὶ τοῦ παρὰ γνώμην τοῦ δεσπότ(ου) τὰ ἀλλότ(ρια) διοι(κοῦ)ντ(ος).* (33) *Καὶ χωρὶς ἀρραβῶνος συνίσταται πρᾶ(σ)ις. ὁ δὲ ἀρραβὼν ἀπόδειξίς ἐστι τοῦ συμφωνηθῆναι τὸ τίμημα. καὶ ὅτι οὐκ ἔρρωται τὸ εἰπεῖν · ὅσου θέλεις, πέπραταί σοι, ὅσου θέλεις, ὅσου δοκιμά(ζεις), ὅσου δίκαιον κρίνεις. καὶ περὶ τοῦ, ποῖα φάρμακα πιπράσκονται. καὶ ὅτι οὔτε προτροπ(ὴ) οὔτε κοινωνία συνίσταται ἐπὶ αἰσχρῷ πράγμ(α)τ(ι). καὶ ὅτι οὐχ ὑπόκειμαι τῷ τῶν ἀνδραποδιστῶν νόμῳ, ἐὰν ἐντείλωμαί σοι ζητῆσαι τὸν φυγάδα μου καὶ διαπωλῆ(σαι) εὑρισκόμενον, καὶ τοῦτο πράξῃς. οὔτε σύ. καὶ ὅτι ὁ ἀγοραστής, οἵαν ἐν τοῖς ἰδίοις,*

9 *εἰσίν, εἰ καὶ ἡ χρ.* Ed. T.

6 *ἠδιωτική* | 10-11 **τοὺς σταλαγμὸν** ; cf. Dig. 18, 1, 33

ἀπαιτεῖται φυλακ(ήν). καὶ ὅτι τὰ σταθμώμενα, μετρούμενα, ἀριθμούμενα, εἰ μὲν ἐν ὁμάδ(ι) διαπραθ(ῇ), τυχόν· ὅσον ἐστὶν ἅμα τῷ δόξαι τὸ τίμημα, τελεία ἐστὶν ἡ πρᾶ(σ)ις. ε[ἰ] δὲ δόξει τόσους μοδίους ἢ τόσους μετρητὰς τοῦ νομίσματ(ος) ἢ ἐκ τοῦδε τοῦ πίθ(ου) ρ′ μετρητ(άς), εἴτε ἑνὶ τιμήματι τοὺς ρ′, εἴτε ὑπὲρ ἑκάστου τόδε ἢ ὑπὲρ ἑκάστης λίτρ(ας) ἀργύρου τόσα νομίσματα, οὐ συνίσταται, ἕως ἂν μετρηθῇ ἢ ἀριθμηθ(ῇ) ἢ σταθμηθ(ῇ) καὶ ἐν τῷ μεταξὺ τῷ πράτ(η) ἐγκινδυνεύεται. εἰ δὲ καὶ ἀγέλην πωλήσω, εἰ μὲν ἐν ὁμάδι, τὸ σύμφωνον ἀπαρτίζει τὴν πρᾶ(σ)ιν· εἰ δὲ κατὰ τόσας κεφαλάς, περιμένομεν τὴν ἀρίθμησιν. καὶ περὶ πράτ(ου) κρύπτοντος τὸν ἀγρογείτ(ο)ν(α), ὃν εἰ ἐγίνωσκεν ὁ ἀγοραστής, οὐκ ἂν ἠγόρασ(εν), ὅπως ἐνέχεται.

(34) *Καὶ περὶ τοῦ κατὰ δωρεὰν μὴ μέλλοντος ἀπαιτεῖν | ὅπερ ὥρ<ισ>ε τί-* **75v** *μημα, πῶς οὐ δοκεῖ πιπράσκειν.* (35) *Καὶ ὅτι, ἐὰν εἴπω· ἔστω σοι ὁ ἀγρὸς πεπραμένος, ὅσον ὁ κληροδοτήσας μοι αὐτὸν ἠγόρα(σε), καὶ εὑρεθ(ῇ) μὴ πραθ(είς), ἀλλὰ δωρηθεὶς αὐτῷ, οὐ συνέστη ἡ πρᾶσις.* (36) *Καὶ εἰ εἰς τὸ παντελ(ὲς) γένητ(αι) πρᾶ(σ)ις, δωρεᾶς αἰτ(ίᾳ), πῶς οὐκ ἔρρωται. ἢ ἥττονος πραθ(ῇ), πῶς ἰσχύει, κἂν ἐπὶ γυναικὸς καὶ ἀνδρὸς τοῦτο οὐκ ἰσχύει, ἀλλ' ἄκυρος ὑπάρχει ἡ πρᾶ(σ)ις.* (37) *Καὶ περὶ τοῦ ἐὰν ὁ χρεώστης ἀγοράσ(ῃ) τὸ ἴδιον ἐνέχυρον παρὰ τοῦ δανειστοῦ, ἀνίσχυρος ἡ πρᾶ(σ)ις. ἀνά(γνωθι) περὶ τούτ(ου) καὶ τί. ζ′ τοῦ κε′ βι. κε. μ′* (=42) *οὗ ἡ ἀρχή Τοῦ δανειστοῦ πωλήσαντ(ος) τὸ ἐνέχυρον. καὶ κε. νη′* (=59) *οὗ ἡ ἀρχή Ἐάν τις ἐνέχυρον λάβῃ καὶ συμφωνή(σῃ) τι περὶ αὐτοῦ. ὁ δὲ δανειστὴς δύναται, ὡς βι. κε′ τί. ζ′ κε. κδ′ οὗ ἡ ἀρχή Ὁ δανειστὴς τὸ ὑποκείμενον αὐτῷ πρᾶγμα πωλήσας. καὶ κε. λδ′* (=35) *οὗ ἡ ἀρχή Ἐάν τις ἀπὸ δανειστοῦ ἀγορά(σῃ). καὶ κε. λς′* (=37) *οὗ ἡ ἀρχή Ἐὰν τὰ ὑποκείμενα ἀνδράποδα πωλή(σῃ) ὁ δανειστής. καὶ κε. λη′* (=39) *οὗ ἡ ἀρχή Ἐὰν δανειστὴς τὸ ὑποκείμενον ἄλλῳ πρᾶγμα πωλήσῃ. τὸ δὲ δεσπότ(ην) γίνεσθαι τὸν δανειστὴν τοῦ ἐνεχύρου, εἰ μὴ καταβληθ(ῇ) αὐτῷ τὸ χρέος, ὡς ἐστι λίαν παράνομον. ζήτ(ει) τοῦ αὐτοῦ κε′ βι. τί. ζ′ κε. ξα′* (=62). *οὗ ἡ ἀρχή Ἐὰν εἴπῃ ὁ δανειστής, ὅτι εἰ μὴ καταβληθείη μοι τὸ χρέος. καὶ ὅτι τοῦ καρποῦ ἠρτημ(έ)ν(ου) πέπρακά σοι ἔλαιον ἢ ἐπηρωτήθ(ην) δέκα μέτρα καὶ συνέβη μόνα πέντ(ε) γενέσθαι, οὐκ ἀπαιτηθήσομαι πλέον τῶν πέντ(ε).* (38) *Καὶ ὅτι ἐπώλησά σοι ἀγρὸν καὶ συνεφώνη(σα), ἵνα εἴσω τῶν προσεχῶν τριά(κον)τ(α) ἡμερῶν μετρήσῃς αὐτὸν καὶ ἀπαγγείλῃς μοι, καὶ ἐὰν μὴ τοῦτο πράξῃς αὐτὸν καὶ ἀπαγγείλῃς μοι, καὶ ἐὰν μὴ τοῦτο πράξῃς, μὴ ἐνέχεσθαί με. καὶ ἐὰν εἴπῃς εἴσω τῆς προθεσμίας ἐλλείπειν τῷ ἀγρῷ πέντ(ε) ζευγῶν ἐργασίαν καὶ τὸ διαφέρον*

2 *ὡς ἐστιν* Ed. T. | 5 *ἀργύρου* desideratur in Ed. T. | 17 *ἀγοράζῃ* Ed. T. | 25 *ἐὰν ὁ δαν.* Ed. ; etiam in Synopsi deest : *ὁ*

5-6 *τόσα ii* | 34 *εἶπας*

αὐτῶν δέδωκά σοι, μετὰ δὲ τὴν προθεσμίαν εὗρες καὶ ἄλλο μέτρον ἐλλείπειν, οὐκ ἐνέχομαί σοι. καὶ εἰ ἐντὸς τῶν λ′ ἡμερῶν ἀπαγγείλ(ῃς) μοι ἢ συνέδοξεν, ὥστε σε ἐν ταῖς πλησιαζούσαις ἡμέραις μετρῆσαι καὶ ἀπαγγεῖλαί μοι, δύνασαι καὶ μετ(ὰ) πολλὰ ἔτη ἀπαιτεῖν, ὅσον ἐλλείπει. καὶ ἐὰν πωλή(σας) ἀγρὸν παρεχώρη(σα) ὕδωρ, καὶ ὁδὸν χρεωστῶ. καὶ περὶ τοῦ πωλήσαντος ιη′ ζευγῶν ἀγρόν, εὑρεθ(έν)τ(α) δὲ κ′. καὶ περὶ τοῦ ἐὰν πωλῶν ἀγρὸν ὑπεξέλω ἐμαυτῷ τὰ σπαρέντα, ποῖα περιέχεσθαι δοκεῖ. καὶ ἐὰν ὑπεξέλω πάντα καρπόν, ποῖα τούτῳ περιέχονται. καὶ περὶ τοῦ ἐὰν συνεφώνησα τῷ παρ' ἐμοῦ πραθ(έν)τ(ι) ἀγρῷ προστεθῆ(ναι), οὓς εἶχον ἐν αὐτῷ πίθ(ους), τίνες σὺν τούτοις καὶ ἕτεροι περιέχονται πίθοι. καὶ τίνα δοκοῦσιν εἶναι τοῦ οἴκου. (39) *Καὶ ἐὰν ἀγρὸν ὑποθέμενος πέπρακά σοι αὐτὸν ὑπὸ αἷρε(σιν) τὴν· ἐὰν αὐτὸν ἀναρρύσωμαι πρὸ τῶν καλανδῶν, πότε δύναμαί σοι ἐνάγειν. ἢ πέπρακά σοι ὥστε με πρὸ τῶν καλανδῶν αὐτὸν ἀναρρύσασθαι, καλῶς μοι κινεῖς. καὶ ἐὰν πωλήσ(ῃς) μοι τράπεζαν ἀργύρῳ ἠμφιεσμένην ὡς ὁλοάργυρον ἀγνοῶν ἀγνοοῦντι.* (40) *Καὶ ὅτι δοῦλοι, κἂν μεγάλῳ ἐγκλήματι ὑπόκεινται, οὐ δύνανται πωλεῖσθαι ἐπὶ τῷ θηριομαχῆσαι.* (41) *Καὶ περὶ τῶν εἰς ἔπαινον τοῦ πιπρασκομ(έ)ν(ου) λεγομένων, ποῖα ἐνοχοποιοῦσι τὸν πράτ(ην) καὶ ποῖα οὔ. καὶ ὅτι ὁ περὶ τῆς ὑγείας ἐπερωτώμενος τοῦ τυφλοῦ οὐ περὶ τῶν ὀφθαλμῶν, ἀλλὰ τῶν λοιπῶν ἐπερωτᾶσθαι δοκεῖ. καὶ πότε δοκεῖ, οἷς λέ(γει), δόλον ποιεῖν ὁ πράτ(ης).* (42) *Καὶ περὶ δύο ἅμα δούλων πιπρασκομένων ἐν ἑνὶ τιμήμ(α)τ(ι) ἢ καὶ ἀγορασθέ(ν)των καὶ ἑνὸς τελευτή(σαντος) πρὸ τῆς πρά(σεως), πῶς οὐδὲ ἐπὶ τῷ ἑνὶ συνίσταται πρᾶ(σ)ις.* (43) *Καὶ περὶ | τοῦ ἐὰν ἀγνοίᾳ τις ἐσθῆτα παλαιὰν ἀντὶ νέας ἀγορά(σῃ) τοῦ πράτ(ου) γινώσκοντος ἢ ἀγνοοῦντος. καὶ ἐὰν πωλή(σῃ) χαλκὸν ἀντὶ χρυ(σίου) ἀγνοῶν.* (44) *Καὶ περὶ τοῦ ἀγοράζοντος ἐκ τοῦ παρ' αὐτοῦ χειριζομένου ὀφφικ(ίου). ζήτ(ει) περὶ τούτου καὶ βι. ι′ τί. β′ κε. λγ′* (=34) *οὗ ἡ ἀρχή Παλαιῶν νόμων κωλυόντων τοὺς ἄρχοντας ἀγοράζειν. πότε δὲ δύνατ(αι) ἀγορά(ζ)ειν, ζήτ(ει) τούτ(ου) τοῦ βι. κε. ξβ′* (=60) *οὗ ἡ ἀρχή Ὁ πρά[τ]των ἐν ἐπαρχ(ίᾳ) ὀφφίκιον.* (45, 46, 47) *Καὶ ὅτι τῷ πραθέντι ἀκινήτ(ῳ) ἕπεται τὸ κεχρεωστημ(έ)νον αὐτῷ ὑδραγώγ(ιον) καὶ οἱ σωλ(ῆ)ν(ες) σιωπηρῶς καὶ ἕτερά τινα. καὶ ἀνά(γνωθι).* (48) *Καὶ εἰ πωλή(σω) σοι βιβλιοθή(κην). εἰ παράσχωσί σοι τόπ(ον) οἱ Καμπανοὶ καὶ αὐτὸς ἐνεπόδισας δοθῆ(ναί) σοι τὸν τόπον, ποίᾳ ἀγωγῇ ὑπόκεισαί μοι.* (49) *Καὶ ποῖα οὐ λογίζονται εἰς τὸ μέτρον τοῦ πραθ(έν)τ(ος) ἀγροῦ, ὡς οἱ συνημμένοι αἰγιαλοὶ καὶ ἡ ὁδὸς ἡ δημο(σία), τὰ ἱερά, τὰ μνημεῖα, εἰ μὴ ῥητῶς ἔδοξε.* (50) *Καὶ περὶ τοῦ,* **76r**

---

23 *ἀγνοίᾳ τὴν ἐσθῆτα... ἀγοράζω* Ed. T. | 24 *πωλήσω* Ed. T. | 27 *πότε... ὀφφίκιον* in margine cum signo ad *ἀγοράζειν* spectante

---

7 *ποία*

ὅτι οὐκ ἐφεῖται ἴδιον ἢ ἀλλότρ(ιον) οἶκον ἢ ἐποίκιον καταλῦσαι ἐπὶ τῷ πλέον κερδᾶναι ἢ ἐπὶ τῷ πραγματεύεσθαι. καὶ ὅτι διπλοῦν ὁ πράτ(ης) τῷ δημο(σίῳ) δίδω(σι) τὸ τίμημα. καὶ αὐτὸς ἀναλαμβά(νει) τὸ τίμημ(α) παρὰ τοῦ πράτ(ου) καὶ ἡ πρᾶ(σι)ς οὐ συνίσταται. ζήτ(ει) περὶ τούτ(ου) καὶ βι. νη' τί. ια' κε. β' οὗ ἡ ἀρχὴ Πραγματείας χάριν οὐκ ὤφελον τὰ οἰκήματ(α) καταστρέφεσθαι. καὶ κε. ς' οὗ ἡ ἀρχὴ Μηδεὶς ἀποκοσμείτω οἶκον ἐν πό(λει). (51) *Καὶ πότε δοκεῖ ὁ ἀγοραστ(ής), κἂν μὴ καταβάλῃ τὸ τίμημα, δεσπόζειν τοῦ πραθ(έν)τ(ος) καταβαλὼν τυχὸν ἱκανοδοσίαν.* (52) *Καὶ ὅτι διὰ μικρὰν αἰτίαν ἡ γενομένη καλῇ πίστει πρᾶ(σ)ις οὐκ ἀνατρέπεται.* (53) *Καὶ ὅτι ἡ εἰκονικὴ πρᾶ(σ)ις, ἡ ἄνευ τιμήματος δηλαδή, ὡς δοθ(έν)τ(ος) δὲ τοῦ τιμήμ(α)τ(ος), ἀνίσχυρός ἐστι.* (54) *Καὶ περὶ τοῦ ἐὰν πωλή(σω) δούλην ἐπὶ τῷ μὴ προστῆναι καὶ ὥστε ἐξεῖναί μοι αὐτὴν ἀφαιρεῖσθαι, πῶς, κἂν εἰς πολλοὺς περιέλθῃ δεσπότ(ας), φυλάττεταί μοι τὸ σύμφωνον.* (55) *Καὶ περὶ οἴκου καυθ(έν)τ(ος) ἤδη ὅλου, πραθ(έν)τ(ος) δέ, ὡς συνεστή(σα)τ(ο), ἀγνοοῦντος τοῦ πράτ(ου), ἢ τὸ πλέον ἐκαύθ(η) αὐτοῦ μέρος ἢ τὸ ἥμισυ ἢ τὸ ἧττον, τί γίνεται. καὶ εἰ οἶδεν ὁ ἀγοραστής.* (56) *Καὶ εἰ ἀγρὸς πραθ(ῇ) τῶν δένδρων αὐτοῦ καυθέντων ἢ πεσόντων, δι' ἃ ὁ ἀγρὸς ἠγοράσθη. καὶ εἰ ὁ ἀγοραστὴς ᾔδει ἢ ἠγνόει, ἢ ἑκάτερος.* (57) *Καὶ ὅτι τὰ ῥήματα τῆς πρά(σεως) δηλοῦσιν, εἰ ἐλεύθ(ε)ρ(ον) δεῖ δοθῆναι ἢ οἷός ἐστι, τὸν ἀγρὸν ἢ τὸν οἶκον.* (58) *Καὶ περὶ τοῦ εἰ πιπράσκων ἀγρὸν εἴπω προστιθέναι πίθ(ους) ξ' ἔχων ρ', οἵους θέλω, δίδωμι.* (59) *Καὶ ὅτι τὸ ἐμὸν ὑπὸ αἵρε(σιν) ἰσχυρῶς ἀγοράζω, εἰκὸς γὰρ ἐλπίζεται παύεσθαι εἶναι ἐμόν.* (60) *Καὶ ὅτι ὁ πράττων ἐν ἐπαρχ(ίᾳ) ἢ στρατευόμενος οὐ δύναται ἀγοράζειν ἀκίνητ(ον) ἐν αὐτῇ, εἰ μὴ πατρῷον παρὰ τοῦ δημο(σίου). καὶ ἐὰν ἀγνοῶν ἀγορά(σω) ἱερὸν ἢ μνημεῖον ἢ δημό(σιον) τόπ(ον) ὡς ἰδιωτικ(όν). καὶ ἐὰν κόττῳ ἀγορασθῇ τὸ πρᾶγμα, πότε τῷ ἀγοραστῇ ἐγκινδυνεύεται.* (61) *Καὶ ἐὰν ἐλευθέρῳ ἢ δούλῳ μου ἐπιτρέψω πωλῆ(σαί) σοι, ὁ δὲ πωλή(σῃ) ἑτέρῳ, οὐκ ἔρρωτ(αι). καὶ πότε ἐστὶ περιττόν, δεικνυομένου δηλαδὴ τοῦ ἀγροῦ, λέγειν τοὺς ὁμόρους.* (62) *Καὶ εἰ εἴπω· ὁ ἀγρὸς ἐμοὶ καὶ Πέτρῳ ἐστιν ἠγορασμένος, ἡ πᾶ(σα) πρᾶ(σ)ις εἰς ἐμὲ φέρεται καὶ ἡ Πέτρου μνήμ(η) περιττή ἐστιν.* (63) *Καὶ περὶ τοῦ, εἰ συμφωνή(σω) τόσους κεράμ(ους) ποιῆσαί μοι τῷ νομίσματι, πότ(ε) λέγεται πρᾶ(σ)ις καὶ πότε μίσθω(σις).*(64) *Καὶ τίνα σιωπηρῶς ἕπεται τῇ πρά(σει), ὡς ἡ περὶ ἐκνική(σεως) τοῦ πράγματ(ος) καὶ τῆς χρή(σεως) αὐτοῦ ἀσφάλ(εια). δουλ(εῖαι) δὲ μὴ συμφωνηθεῖσαι οὐ κεχρεώστηνται*

---

6 cap. 6 tit. 11 libri 58 desideratur in fragmentis Editionis et Suppl. | 10 **ὡς δοθ. ἤδη** Ed. T. | 14 **ὅλου, πρᾶσιν** Ed. T. | 14 **συνεστήσαντο** | 19 **ἢ ἐλεύθερον δεῖν δοθ.** Ed. T. | 31-32 **ποιῆσαι τόσοις νομίσμασι** Ed. T.

---

7 **καταβάλλῃ** | 22 **πράτων** | 31-32 **τῷ** *ii* | 34 **δουλ'**

ἀγρῷ ἢ οἴκῳ. καὶ περὶ δουλειῶν ἐποφειλομένων τῷ πραθ(έν)τ(ι), μὴ ὑπομνησθ(εισῶν) δὲ τῷ ἀγοραστῇ καὶ ἀπολεσθ(εισῶν) τῇ ἀχρησίᾳ, πῶς ἐνέχεται ὁ πράτ(ης). καὶ ὅτι τὰ ἀποσπώμενα καὶ τὰ τιμηθ(έν)τ(α) οὔκ εἰσι τοῦ ἀγροῦ ἢ τοῦ οἴκου. (65) *Καὶ ὅτι πᾶ(σα) δεσποτ(εία) μετὰ ἰδίας αἰτίας γίνεται καὶ οὕτω μετέρχεται πρὸ(ς) τὸν ἀγοραστήν, εἰ μὴ ἕτερόν τι συνέδο(ξε).* | (66) *Καὶ ὅτι <ἐ>ὰν ἐξ αἰτίας τοῦ πράτ(ου) μὴ νεμηθ(ῇ) ὁ ἀγοραστής, δόλον* 76v *ποιεῖ καὶ καταδικάζετ(αι), οὐκ ἐπὶ τῷ παραδοῦναι, ἀλλ' ἐφ' οἷς δόλ(ον) ἥμαρτ(εν).* (67) *Καὶ περὶ τοῦ συμφωνήσαντος ἀγορά(σαι) λίμν(ην) καὶ περὶ αὐτὴν δέκα πόδ(ας), τῆς δὲ λίμνης αὐξηθείσης καὶ τῶν δέκα ποδῶν ἐπικλυσθέ(ν)τ(ων), τί δεῖ γενέσθαι.* (68) *Καὶ πότε ἐπὶ ἐλευθ(έ)ρ(ῳ), ἀγνοοῦντος δηλαδὴ τοῦ ἀγοραστοῦ ἢ καὶ ἀμφοτ(έ)ρων, συνίσταται πᾶ(σ)ις.* (69) *Καὶ ὅτι οἱ οἰνέμποροι οὐ δύνανται αἰτιᾶσθαι τοὺς πεπρα(κό)τ(ας) αὐτοῖς τὸν οἶνον ἐπὶ τιμήμ(α)τ(ι) τυχὸν μεγάλῳ ἢ μικροῖς μέτροις.* (70) *Καὶ περὶ συμφώνου ἐπὶ πρά(σεως) ἡνωμένου τῷ συναλλάγματ(ι), οἷον· ἵνα μὴ ἐπερωτηθ(ῶ) ἐπὶ διπλασιασμ(ῷ). τὰ δὲ ἐπὶ προσθήκῃ οὐχ ἥνωνται τῷ συναλλάγματι, οἷον· ἵνα μὴ ἐγγυητ(ὴς) ἐπὶ τῷ διπλασιασμ(ῷ) δοθ(ῇ). καὶ ἔνθα μὴ τίκτει τῷ ἀγοραστῇ ἀγωγήν, συμβάλλεται αὐτῷ εἰς παραγραφήν. εἰ δὲ πάντων ἀκεραίων ὄντων δόξει αὐξηθῆ(ναι) ἢ μειωθῆναι τὸ τίμημα, δοκοῦσι λύειν τὴν προτ(έ)ρ(αν) καὶ νέαν ποιεῖσθαι. ζήτ(ει) περὶ τούτ(ου) βι. ια' τί. α' κε. ς'* (7, p. 564, 5) *οὗ ἡ ἀρχή Τὸ ψιλὸν σύμφωνον ἀγωγὴν οὐ τίκτει, ἀλλὰ παραγρα(φήν). καὶ περὶ τοῦ ἐὰν εἴπω, ὡς· ἐὰν εὑρεθ(ῇ) τι ἱερὸν ἢ μνημεῖον ἢ δημό(σιον) ἐν τῷ πραθ(έν)τ(ι), οὐδὲν αὐτοῦ πέπραται, πότε, ἐὰν εὑρεθ(ῇ) ἐν τῇ περιουσίᾳ τοῦ δημοσίου, ἡ πρᾶ(σ)ις αὐτοῦ συνίσταται.* (71) *Καὶ ὅτι πεσόντος τοῦ ἱεροῦ ὁ τόπος οὐ γίνεται βέβηλος οὔτε πωλεῖται.* (72) *Καὶ περὶ τοῦ ἐὰν πωλήσας σοι φορτ(ία), παραδώσω σοι τὰς κλεῖς τῆς ἀποθήκης πλησίον αὐτῆς.* (73) *Καὶ περὶ τοῦ ἐὰν πωλή(σω) σοι, ἵνα μοι μισθώσῃς αὐτὸ ἤ, ἐὰν πιπράσκῃς, μὴ ἑτέρῳ, ἀλλ' ἐμοὶ πωλή(σῃς).* (74) *Καὶ τίνα σιωπηρῶς ἕπονται τῷ πραθ(έν)τ(ι) ὡρείῳ. καὶ ὅτι ὁ ἀγοραστὴς τοῖς δικ(αί)οις τοῦ πράτ(ου) κέχρηται καὶ τῇ νομῇ αὐτοῦ πρὸ(ς) τὴν τοῦ μακροῦ χρό(νου) παραγραφήν.* (75) *Καὶ ἐὰν πιπράσκων ἀγρὸν ὑπεξεῖλον τὰ λατόμια, ποῖα δοκῶ ὑπεξαιρεῖν.* (76) *Καὶ ἐὰν ἔδοξε τοὺς σωλῆνας λαβεῖν τὸν ἀγοραστήν, πῶς σιωπηρῶς ἕπεται καὶ ὁ κάστελλος. ζήτ(ει) τούτ(ου) τοῦ τί. κε. μζ'* (=45) *οὗ ἡ ἀρχή Τῷ πραθέντι ἀκινήτῳ. καὶ κε. μη'* (=46) *καὶ μθ'* (=47). *καὶ ὅτι ὁ ἀγοραστὴς συμφωνήσας ὥστε τοῦ τιμήματ(ος) διδομένου παραδοθῆναι αὐτῷ τὸν ἀγρόν εἰ ἐτελεύτ(ησεν), ἐπὶ δυσὶ κληρονόμοις καὶ ὁ εἷς*

6 *ὅτι κᾶν* Ed. T. | 26 *ἵνα μὴ μισθώσῃς* Ed. T.

1 *ἐπωφειλομένον* | 1-2 *ὑπομνησθ'τ* | 2 *ἀπολεσθ'τ* | 8 *ἀγορᾶσαι* | 31 *σωλήνας*

διδοὺς τὸ πᾶν λαμβάν(η) τὸ μέρ(ος) διὰ τῆς διαιρού(σης) τὴν φαμιλ(ίαν) ἀγωγ(ῆς). τὴν γὰρ ἐξέμπτο οὐ δύναται κινεῖν ἤγ(ουν) τὴν τὸ πραθ(ὲν) ἀπαιτοῦσαν, διδοὺς τὸ μέρ(ος) τοῦ τιμήματ(ος). καὶ περὶ τοῦ ὅτι ὁ συμφωνή(σας) ἐπὶ σίτου ἑστῶτος τὴν τοῦ χειμῶνος βλάβην ἐπιγινώσκειν, περὶ τοῦ ἀμέτρου δοκεῖ χειμῶνος λέ(γειν). (77) Καὶ ὅτι καλῶς πιπράσκω τὸ μέρος τοῦ ἀγροῦ μου ἐπὶ τῷ μισθώσασθαί σε τὸ λοιπὸν εἰς δῆλον χρό(νον) καὶ ἁρμό(ζει) τοῦ τιμήματος ἀπαίτ(ησις), εἰ διὰ τοῦτο ἥττονος ἐπώλη(σα). (78) Καὶ περὶ τοῦ, ὅτε τὰ χειρὶ σπειρόμενα ὑπεξαιρεῖ τις, οὐ περὶ τῶν διηνεκῶς, ἀλλὰ τῶν κατ' ἐνιαυτὸν ἐπὶ τῷ καρπίζεσθαι σπειρομένων λέ(γει). δύναμαι ἀγοράζειν δίκαιον τοῦ εἰσπέμπειν εἰς τὸν τοῖχον σού τι. καὶ περὶ τοῦ ἐὰν πωλή(σω) σοι καύσιμον ὕλην ἐπὶ πενταετίαν, πῶς ὁ πίπτων καρπὸς ἀπὸ τῶν ἑστώτων δένδρων τοῦ πράτ(ου) ἐστίν, ὁ δὲ ἐν τοῖς τεμνομένοις ὧν διαφέρει ἐν τῷ τέμνεσθαι τῷ ἀγοραστῇ. καὶ ὅτι οὐ δοκεῖ πιπράσκεσθαι, ὅπερ συνεφωνήθ(η) μὴ γενέσθαι τοῦ ἀγοραστοῦ, ἀλλ' ἢ μίσθω(σίς) ἐστιν ἢ ἀντίχρη(σ)ις. (79) Καὶ ὅτι ὑποθέμενος χωρίον ἐγγυητήν σε δέδωκ(αι) συμφωνήσας εἴσω προθεσμ(ίας) ἐλευθεροῦν σε ἢ τοῦτο μὴ ποιοῦντός μου καὶ σοῦ τῷ δανειστῇ κατα|βαλόντος, ἔχειν σε τὸ χωρίον ἠγορασμένον. ἐὰν 77r *οὐκ ἐλευθερω<θεὶς> παρ' ἐμοῦ καταβάλῃς τῷ δανειστῇ οὐχ ὡς διὰ τὸ ἐνέχεσθαί σε, ἀλλὰ διὰ τὴν ἀγορασίαν, συνίσταται ἡ ἐνοχή, ὡς ὑπὸ αἵρε(σιν) γενομένης τῆς πρά(σεως). καὶ περὶ τοῦ · ὁμολογήσας ἐκ τοῦ ἀγροῦ διδόναι τῷ ἀγρῷ σου σίτ(ου) μοδ(ίους) ρ' ἐτησίους, ἐπώλησα τὸν ἀγρόν μου ἐπὶ τῷ εἶναι αὐτὸν παρὰ τῷ ἀγοραστῇ, ὡς νῦν ἐστι παρ' ἐμοί, οὐκ ἐνέχεταί σοι ἐπὶ τῷ σίτ(ῳ) ὁ ἀγοραστής. (80) Καὶ ὅτι μηδεὶς βλαπτέτω ἢ πιπρασκέτω πορφύραν, ὁ δὲ πωλήσας δημεύεται καὶ κεφαλικῶς τιμωρεῖται. (81) Καὶ ὁ ἀγοράσας σῖτον ἐκ τοῦ δημο(σίου) κανόνος ἢ πωλήσας κεφαλικῶς τιμωρεῖται. (82) Καὶ οἱ ἀγοράσαντες σῖτον τῷ στρατοπέδῳ πεμφθέντ(α), σεμνοὶ μὲν ὄντες δημοσιευέσθωσαν, εὐτελεῖς δὲ κεφαλικῇ τιμωρείσθωσαν τιμωρίᾳ. (83) Καὶ ὅτι μηδεὶς εἰς τὸ βαρβαρικὸν οἶνον ἀπαγέτω ἢ ἔλαιον ἢ γάρον. (84) Μηδὲ ὅπλα πιπρασκέτω βαρβάροις εἰργασμένα ἢ ἀνέργαστα μηδὲ σίδηρον ὅλως. ὁ δὲ παρὰ ταῦτα ποιήσας τι δημευέσθω καὶ κεφαλικῇ ὑποκείσθω τιμωρίᾳ. (85) Καὶ ὅτι οὐ δεῖ τινα ῥωμαῖον εὐνουχίζεσθαι μηδὲ ἀγοράζειν τινὰ τὸν εὐνουχισθέντα ῥωμαῖον, ἀλλὰ τιμωρεῖσθαι καὶ τὸν εὐνουχίσαντα καὶ τὸν ἀγοράσαντα καὶ τὸν συμβολαιογράφον τὸν συγγράψαντα τὸ συμβόλαιον καὶ τὸν τελώνην κομισάμενον τέλος τι ὑπὲρ τούτ(ου) τιμωρεῖσθαι. (86) Καὶ ὅτι ὁ πατὴρ τὸν υἱὸν οὐδὲ πωλεῖν οὐδὲ δωρεῖσθαι οὐδὲ ὑποτίθεσθαι ἢ ἄλλῳ οἱῳδήτινι τρόπῳ ἐκποιεῖν, οὐδὲ προσχήμ(α)τ(ι) τῆς τοῦ λαμβάνοντος ἀγνοίας εἰς ἄλλον δύναται μεταφέρειν. (87) Καὶ περὶ τοῦ ἐὰν πωλή(σῃ) τις τὸν υἱὸν ἢ τὴν θυγατ(έ)ρ(α) διὰ τὴν πολλὴν πενίαν*

---

18 **καταβάλλης**

καὶ τὴν ἔνδειαν τῆς τροφῆς. (88) Καὶ ὅτι δύναται συμφωνεῖν ὁ πράτ(ης), ἵνα ἐντὸς τοῦδε τοῦ χρό(νου), εἰ μὴ καταβληθ(ῇ) τὸ τίμημα, καὶ ἐκπέσῃ τῶν ἀρραβώνων ὁ ἀγοραστής καὶ ἡ δεσποτ(εία) πρὸ(ς) αὐτὸν τὸν πράτ(ην) ὑποστρέψ(η). (89) Καὶ περὶ τοῦ ἐάν τις πωλή(σῃ) ἀγρὸν ἐφ᾽ ᾧ ἐξεῖναι αὐτῷ καὶ εἴσω ῥητοῦ καιροῦ ἢ καὶ ὁτεδήποτε παρέχειν τὸ τίμημα καὶ τὸν ἀγρὸν ἀναλαβεῖν καὶ αὐτὸς ἕτοιμος ᾖ παρασχεῖν, τί γίνεται. (90) Καὶ περὶ τοῦ ἐάν τις συμφωνή(σῃ) ὥστε, εἰ μὴ καταβληθ(ῇ) αὐτῷ τὸ ὑπόλοιπον τοῦ τιμήματ(ος), ἀναγόραστον γένηται τὸ πρᾶγμα, τί γίνεται, εἰ μὴ παραδέδωκ(εν) ἢ παραδέδωκ(ε) τὸ πρᾶγμα. (91) Καὶ περὶ τοῦ συμφωνήσαντ(ος) ἀναλύεσθαι τὴν πρᾶ(σ)ιν, εἰ μὴ ἐντὸς τοῦδε τοῦ χρό(νου) καταβληθ(ῇ) τὸ τίμημα, ἐὰν διαδραμούσης τῆς προθεσμίας καὶ τοῦ τιμήματ(ος) μὴ καταβληθέντος, μὴ ὡς ἀπὸ τοῦ τοιούτου συμφώ(νου) κινή(σῃ) τὴν περὶ τοῦ πράγματ(ος) ἀγωγ(ήν), ἀλλ᾽ ὡς ἐκ τῆς περὶ τοῦ τιμήματ(ος) ἀγωγ(ῆς) τόκ(ον) ἀπαιτήσῃ, οὐκέτι δύναται ἐκ μεταμελείας χρήσασθαι τῷ εἰρημένῳ συμφώνῳ. ζήτ(ει) περὶ τούτ(ου) καὶ τοῦ γ′ τί. κε. ε′ (=6) θέ. α′ οὗ ἡ ἀρχή Μετὰ τὴν προθεσμίαν δεχόμενος ὁ πράτ(ης) τὸ λοιπὸν τοῦ τιμήματ(ος). (92) Καὶ περὶ τοῦ ἐὰν ἐν ἀρχῇ τοῦ συναλλάγμ(α)τ(ος) συμφωνή(σῃ) ὁ πράτ(ης) λαβεῖν τόκους τοῦ μὴ ἐμπροθέσμως καταβαλλομένου τιμήματ(ος), πῶς δύναται τούτους ἀπαιτεῖν. ἐὰν δὲ μὴ συνεφώνη(σε), μόνον ἀπὸ ὑπερθέ(σεως) ἀπαιτ(εῖ) καὶ ἀπὸ τοῦ ἀγοραστοῦ καὶ τοῦ ἐγγυητοῦ αὐτοῦ. (93) Καὶ περὶ τοῦ πωλήσαντος ἥττονος ἐπί τινι ὅρῳ τὸ πρᾶγμα, πῶς δύναται παραβαινόμενος περὶ τὰ δόξαντα ἀναδιδόναι τὸ τίμημ(α) καὶ τὸ πεπραμένον πρᾶγμα ἐπαναλαβεῖν. (94) Καὶ ὅτι, ἐὰν πωλή(σῃ) τις, ὥστε | ἐξεῖναι αὐτῷ 77v
ὕστερον καταβαλεῖν τὸ τίμημα καὶ ἀναλαβεῖν τὸ πρᾶγμα, οὐκ ἀνατρέπεται τὸ τοιοῦτον σύμφωνον. ἐὰν δὲ ὁ δανειστὴς κρύπτῃ ἑαυτὸν, δύνατ(αι) ὁ πράτ(ης) μετὰ παραγγελίαν σφραγίσαι καὶ ἀποθέσθαι τὸ τίμημα καὶ οὕτως διεκδικῆ(σαι) τὸ πρᾶγμα. (95) Καὶ ὅτι τὰ γενόμενα σύμφωνα ἐν καιρῷ τοῦ συναλλάγματος, εἰ μὴ ὕστερον ἀνεκλήθ(η), οὐ δυνατὸν ἀνατραπῆναι. (96) Καὶ περὶ τοῦ ἐὰν πιπράσκων ἢ ἄλλως ἐκποιῶν πρᾶγμα συμφωνήσω, ἵνα μὴ ἐξῇ τῷ ἀγοραστῇ τάφον οἰκοδομεῖν ἐν τῷ τόπ(ῳ) ἢ ἄλλως ποιεῖν θείου δικ(αί)ου, τοῦτο τὸ σύμφωνον ἔρρωται. ἔξεστι γὰρ ἑκάστῳ παραιτεῖσθαι γείτονα, ὃν οὐ βούλεται ἔχειν, διὰ ἰδικοῦ συμφώνου. περὶ τοίνυν δύο ἀγορασάντων τὸν αὐτὸν ἀγρὸν ἐξ ὁλοκλήρ(ου) ζήτ(ει) βι. ιε′ τί. α′ κε. ϛε′ (=94) οὗ ἡ ἀρχή Ἐὰν δύο τινὲς τὸν αὐτὸν ἀγρὸν ἀγορά(σωσιν) ἐξ ὁλοκλήρου. καὶ βι. ξ′ τί. μα′ κε. κα′ οὗ ἡ ἀρχή Ὁ τὸ αὐτὸ, πρᾶγμα δύο τισὶν ἐξ

15 Tipuc., cuius verba sola extant, habet : καὶ περὶ πράτου μ. τ. πρ. δεχομένου τὸ τίμημα τὸ ἐπίλοιπον | 19 συμφωνήσῃ Ed. T.

4 ἐάν τι

ὁλοκλήρ(ου). περὶ δὲ κηδεμονευομένων καὶ διαπρά(σεως) τῶν τούτοις διαφερόντων ἀνά(γνωθι) τοῦ λζʹ βι. τί. ηʹ κε. εʹ οὗ ἡ ἀρχὴ Ἐὰν διὰ παρενθέτου προσώπ(ου) ἀγορά(σῃ) ὁ ἐπίτροπος. πῶς δὲ καὶ τὸ παρανόμως ἐξωνηθὲν σβέννυται, ζήτ(ει) βι. ληʹ τί θʹ κε. ιʹ οὗ ἡ ἀρχὴ Σβέννυται ἡ ἐπὶ τῷ πράγματ(ι) ἀγωγ(ὴ) τῷ κηδεμονευθ(έν)τ(ι). ὅτι δὲ οὐ κατὰ μίσθωσιν ἢ δωρεὰν ἢ καθ' οἱονδήποτε τρόπον δύναται τοῦ ἀνήβου τὰ πράγμ(α)τ(α ἢ ἀνήβου ἢ ἄλλως κηδεμονευομένου ὁ ἐπίτροπος ἢ κουράτ(ω)ρ λαμβάνειν, ζήτ(ει) βι. λζʹ τί. ιαʹ ὅλον, ἔνθα ἐστὶν ἡ οβʹ νε(α)ρ(ά). καὶ βι. ληʹ τί. θʹ κε. θʹ οὗ ἡ ἀρχὴ Ὁ ἐπίτροπος διὰ μέσου προσώπου. περὶ δὲ ἀγοραζόντων ἐκ τῆς ἐπαρχ(ίας) αὐτῶν, πότε εὐθύνονται ἢ μή, ζήτ(ει) βι. ιʹ τί. βʹ κε. λγʹ (=34), ὡς προπαραδέδοταί σοι, θέ. γʹ οὗ ἡ ἀρχὴ Ἐὰν ἄρχων ἐπαρχ(ίας) ἢ ἄλλως διοικῶν αὐτήν. ζήτ(ει) καὶ τοῦτ(ου) τοῦ βι. [καὶ τί.] κε. μςʹ (=44) οὗ ἡ ἀρχὴ Οὐδεὶς ἐκ τοῦ παρ' αὐτοῦ χειριζομένου ὀφφικ(ίου) ἀγοράζειν τι δύναται. καὶ κε. ξβʹ (=60), ὅπερ κρατεῖ καὶ ἐπὶ κουράτ(ω)ρ(ος) βα(σιλικοῦ) οὗ ἡ ἀρχὴ Ὁ πράττων ὀφφίκ(ιον) ἐν ἐπαρχ(ίᾳ) ἢ στρατευόμενος. περὶ δὲ τῶν πιπρασκομένων καὶ μὴ δυναμένων δοθῆναι ὡς μὴ ὄντων ἐν φύ(σει) ἢ ἐπερωτηθ(έν)των ζήτ(ει) βι. μγʹ τί. αʹ κε. ϟαʹ (=88) οὗ ἡ ἀρχὴ Ἐὰν μὴ γενομένης ὑπερθέ(σεως) ὁ δοῦλ(ος) ἀποθά(νῃ). καὶ θέ. αʹ τοῦ αὐτοῦ κε. καὶ βι. μδʹ τί. αʹ κε. λδʹ (=33) θέ. βʹ οὗ ἡ ἀρχὴ Ἐὰν ἀγορά(σει) τὸ ληγατευθέν μοι πρᾶγμα. καὶ κε. λθʹ (=38) θέ. βʹ οὗ ἡ ἀρχὴ (p. 334, 20) Ἐὰν τὸ πρᾶγμ(α) φθαρῇ, δίδοται ἡ διατίμησις. καὶ θέ. γʹ οὗ ἡ ἀρχὴ Ἐὰν ἀγορά(σῃς) παρ' ἐμοῦ πρᾶγμα καὶ πρὸ παραδόσεως. καὶ βι. νβʹ τί, αʹ κε. αʹ θέ. βʹ οὗ ἡ ἀρχὴ Ἀχρήστως μεταξὺ ἀγνοούντων γίνεται ἐπερώτ(ησις) περὶ ἐλευθ(έ)ρ(ου) ἀνθρώπου ἢ τοῦ ἤδη ἀποθαν(όν)τ(ος) ἢ καυθ(έν)τ(ος) οἴκου. καὶ θέ. γʹ. καὶ βί. ιβʹ τί. αʹ κε. νγʹ (=50) οὗ ἡ ἀρχὴ Ἐὰν ᾔτησά σε ἀγρὸν ἀγορά(σαι), ἐφ' ᾧ μέρος ἐκχωρῆ(σαι) μοι. καὶ βι. νςʹ τί. αʹ κε. ιγʹ οὗ ἡ ἀρχὴ Οἰκέτης διοικῶν τὴν ἐμπορίαν τοῦ δεσπότου. ἀνά(γνωθι) καὶ τί. εʹ τοῦ παρ(όν)τ(ος) ιθʹ βι. μετὰ τῶν παραπομπῶν αὐτ(οῦ). περὶ δὲ τοῦ γρά(φον)τ(ος) ἐν διαθήκ(ῃ) μὴ ἐκποιηθῆναι τὸν ἀγρόν, ἀλλὰ φυλάσσειν ἐν τῇ φαμ(ι)λ(ίᾳ) εὑρή(σ)εις ἐν ταῖς παραπομπαῖς τοῦ μδʹ βι. τί. αʹ. περὶ δὲ εὐνούχων ζήτ(ει) καὶ βι. λγʹ τί. αʹ κε. νδʹ (=51) οὗ ἡ ἀρχὴ Ὁ εὐνοῦχος ὄνομά ἐστι γενικόν, τέμνεται δὲ εἰς τρία. περὶ δὲ εὐνουχιζόντων ζήτ(ει) βι. ξʹ τί. ναʹ κε. ξςʹ (=64) οὗ ἡ ἀρχὴ Θεσπίζομεν τοὺς ἐν οἱῳδήπ(ο)τ(ε) τόπῳ. καὶ τί. γʹ κε. κςʹ καὶ βι. λγʹ τί. αʹ κε. ναʹ. περὶ δὲ εἰκονικῆς πρά(σεως) καὶ συναλλαγμάτων

---

10 initium citatum cap. 33 tit. 2 libri 10 desideratur in textu Basil., sed sententia congruit cum sententia cap. 34 Editionis | 26 initium citatum cap. 13 tit. 1 libri 56 in fragmentis Ed. et Suppl. desideratur | 32-34 *περὶ δὲ εὐνουχιζόντων — ναʹ* in margine cum signo ad *τρία* lineae 32 spectante

---

25-26 *ἀγορᾶ(σαι)*

ζήτ(ει) βι. β' τί. γ' κε. ις' οὗ ἡ ἀρχή Οὐκ ἔστιν εἰκονικὴ πρᾶ(σις). καὶ βι. κη' τί. ζ' κε. ιη' (=17) οὗ ἡ ἀρχή Προῖκά τις ὑπὲρ γυναικὸς ἐπιδέδωκ(ε) καὶ τὸν ἀπὸ τελευτ(ῆς) κάσσον ἐπηρώτησε. καὶ βι. μδ' τί. ις' κε. λγ' (=32) οὗ ἡ ἀρχή Τὸ νόμιμ(ον) τῆς δ(ια)τ(άξεως) φα|νερόν ἐστιν, ὅτι ἡ πλαστὴ ἀρίθ- 78r μησις. καὶ κε. λς' (=35) οὗ ἡ ἀρχή Ἡ δ(ιά)τ(αξις) ὅμοιον τῇ πρ<ο>τ<έρᾳ> [λέγει], ὅτι, εἰ μὲν ἁπλούστερον ὁ ἀνήρ. Περὶ δὲ πρά(σεως) καὶ ἀγορασ(ίας) οἴνου ζήτ(ει) τοῦ νγ' βι. τί. ζ' ὅλον. καὶ βι. θ' τί. ζ' κε. ις' οὗ ἡ ἀρχή Διὰ πρά(σεως) γενομένης τοῦ μὲν ἐξωτικοῦ ὁ δανειστὴς ἢ συγγενὴς προτιμᾶται εἰς τὸ ἀγορά(σαι). καὶ κε. λη' (=36) οὗ ἡ ἀρχή Οὐ συμπιπράσκονται τοῖς τοῦ χρεωστοῦ πράγμασι παλλακ(ή). περὶ τοίνυν ἐκποιήσεως τῶν τοῦ ἀνήβου πραγμάτων καὶ πότε ἐκποιοῦνται ἢ μή, ζήτ(ει) βι. λε' τί. ιγ' κε. ζ' οὗ ἡ ἀρχή Ἐὰν ὀνόματ(ι) ἀνήβου διάσκε(ψις) αἰτῆται. καὶ θέ. α'. καὶ βι. λζ' τί. ζ' κε. ξγ' (=62) οὗ ἡ ἀρχή Ἐὰν ὁ ἐπίτροπος τὰ ἐν ἀποθή(κῃ) ὀφείλ(ον)τ(α) κεῖσθαι πράγματα καὶ πραθῆναι. καὶ τί. η'. καὶ βι. ν' τί. δ' περὶ ἀνταγοραστοῦ διαλεγόμενον. καὶ τί. ιγ' περὶ ἀγορα(σίας) διεξιόντα τῆς ἀπὸ τοῦ δημο(σίου). καὶ βι. να' τί. γ' κε. ς' οὗ ἡ ἀρχή Ἐὰν δυσὶ τὸ αὐτὸ πρᾶγμα πωλήσω ἐν διαφόροις χρόνοις, ἡ νομίμου. καὶ βι. ιε' τί. α' κε. ρζ' (=106) οὗ ἡ ἀρχή Ὁ ἀγοράσας δοῦλ(ον) οὐ δύναται πρὸ παραδόσεως ἐκδικεῖν. ἀνά(γνωθι) τὰς ἐν αὐτῷ τῷ κε. παραπομπάς, εὑρήσεις γὰρ περὶ πρά(σεως) καὶ ἀγορασίας διάφορα κεφάλαια καὶ διαστίξεις. καὶ βι. μγ' τί. α' κε. λδ' (=33) θέ. α' οὗ ἡ ἀρχή Ἐπὶ τῆς πρά(σεως) καὶ τῆς μισθώ(σεως), εἰ καὶ μὴ προσφόρως ὁμολογήσει. καὶ βι. μζ' τί. α' κε. ς' (=5) οὗ ἡ ἀρχή Ἐάν τις δωρούμενός μοι κελεύσῃ τεμεῖν ἐκ τοῦ ἀγροῦ αὐτοῦ λίθον. περὶ δὲ τῶν κατ' ἐντολὴν πιπρασκομένων ζήτ(ει) τὸν α' τί. τοῦ ιδ' βι. καὶ μάλιστα τὸ πα' κε. οὗ ἡ ἀρχή Ὁ κατ' ἐντολήν τινος πωλή(σας) πρᾶγμα. περὶ δὲ τοῦ ἀγοράσαντος ἀλλοτρ(ίαν) δίκην ζήτ(ει) τοῦ αὐτ(οῦ) ιδ' βί. καὶ τί. τὸ πβ' κε. καὶ πδ' οὗ ἡ ἀρχή Διὰ πολλῶν ὀχλήσεων πρὸς ἡμᾶς γενομένων. καὶ κε. πε', πς'. περὶ δὲ δούλ(ου) ἐντειλαμένου τινὶ ἀγορά(σαι) αὐτὸν παρὰ τοῦ δεσπότ(ου) καὶ ἐλευθερῶσαι ζήτ(ει) τὸ τέλος τοῦ ιδ' βι. ζήτ(ει) καὶ τὸν γ' τί. [τοῦ] να' βι. εὑρήσεις γὰρ περὶ πρά(σεως) διάφορα κε(φάλαια) καὶ εὔχρηστα ὁμοίως. καὶ τὸν δ' τί.

1 initium cit. cap. 16 tit. 3 libri 2 desideratur in fragm. Editionis et Suppl. | 8 γενομένης Ed. | 16 ἐὰν δυσί τισι Ed. | 17 νομή μου Ed.

9 ἀγορᾶ(σαι) | 10 παλακ(ή) | 27 ὀχλήσεως | 28 ἀγορᾶσαι

ΤΙ(ΤΛΟΣ) β'.

Περὶ ὅρου. Πότε ἐπὶ πρά(σεως) καὶ ἀγορα(σίας) ὑπερθεματισμοῦ γινομ(έ)νου ἐπὶ τῷ πραθέντι πράγματι ἔχει ἐξουσίαν ὁ πράτης ἑτέρῳ τὸ πρᾶγμα πιπράσκειν.

(1) *Καὶ πῶς γίνεται ἡ ὑπὸ ἡμέρ(αν) πρᾶσις.* (2) *Καὶ πῶς ἡ ὑπὸ αἵρε(σιν). καὶ πῶς ἡ χωρὶς αἱρέ(σεως), ὑπὸ αἵρεσιν δὲ ἀναλυομένη. καὶ τί γίνεται ἐπὶ ταύτῃ. καὶ τίς ἐκ τῆς χρή(σεως) δεσπόζει. λέ(γει) δὲ τὸν ἀγοραστὴν καὶ τοὺς καρποὺς κερδαίνειν καὶ κινδυνεύειν ἀπολλυμένων τῶ(ν) πραγμ(ά)τ(ων).* (3) *Ἐπὶ δὲ τῆς αἱρετικῆς πρά(σεως) οὐδαμῶς κερδαίνει τοὺς καρποὺς ἢ δεσπόζει. καὶ πότε οὐ γίνεται ὑπερθεματισμός. καὶ εἰ πωλή(σω) ἐπὶ ὅρῳ τοιούτῳ ἢ ἡμέρ(ᾳ) ὡρισμένῃ δύο δούλ(ους) κ' νομίσμασι καὶ τοῦ ἑνὸς τελευτ(ήσαντος) δίδω(σί) τις εἰς τὸν ζῶντα πλέον τῶν κ' νομισμάτων τούτου διδομένου, ἀνά(γνωθι), πῶς λύεται ἡ πρώτη πρᾶ(σ)ις καὶ τὸ ὑποτεθὲν ἐν αὐτῷ ὑπὲρ τοῦ τιμήματος ἐνέχυρον. καὶ περὶ τοῦ τίς ἔχει παραγγελίαν, ἕως οὗ γένηται ὑπερθεματισμός. καὶ τίνι διαφέρ(ουσιν) οἱ καρποὶ καὶ κέρδος καὶ ζημία. καὶ ποῖος δοκεῖ ποιεῖν κρείττονα τὴν αἵρε(σιν) τοῦ πράτ(ου), εἴτε ὁ πρῶτος ἀγοραστὴς εἴτε ὁ δεύτ(ε)ρ(ος). καὶ ἐν τίσι κρείττων ἡ αἵρε(σις) γίνεται καὶ πῶς.* (5) *Καὶ ὅτι, ἐὰν μὴ γένηται ὑπερθεματισμός, ὁ πρῶτος ἀγοραστὴς κερδαίνει τοὺς καρπούς. εἰ δὲ γένηται, ἀποδίδοτ(αι)* | *τῷ πράτ(ῃ), κἂν ὑπερθεματ(ίσῃ) κατὰ τοῦ δευτ(έ)ρ(ου) καὶ μείνῃ ἔχων* 78v *τὸ πρᾶγμα.* (7) *Καὶ ὅτι ἀναγκάζεται ὁ πράτ(ης) δηλῶσαι τῷ πρώτῳ ἀγοραστῇ, ἵνα, ἐάν τις ὑπερθεματίζῃ, ἐξῇ καὶ αὐτῷ ὑπέρθεματίσαι.* (8) *Καὶ ὅτι εἰ καὶ ὁ πράτ(ης) τὸν ἀγοραστὴν τὸν δεύτ(ε)ρ(ον) οὐ προσίεται, ὅμως ἔξεστι τῷ προτ(έ)ρ(ῳ) τῆς πρά(σεως) ἀναχωρεῖν. ὑπὲρ αὐτοῦ γάρ ἐστι τὸ σύμφωνον.* (9) *Εἰ δὲ δανειστὴς ὑπὸ ἔκβασιν ἡμέρ(ας) ὡρισμένης πωλή(σῃ) τὸ ἐνέχυρον, ἀναγκάζεται δέξασθαι τὸν ὑπερθεματίζοντα, εἰ μὴ ἄρα ἄπορός ἐστι.* (10) *Καὶ ὅτι ἐπὶ τοῦ ὑπερθεματίζοντος δυνατὸν συμφωνεῖν τὴν τῆς ἡμέρ(ας) ἔκβασιν ὡρισμένην, ὥστε καὶ ἑτέρου ὑπερθεματίζοντος ἀφαιρεθῆναι αὐτ(οῦ) τὸ πραθέν. καὶ τοῦτο ἐπὶ τρίτ(ου) ἀγοραστοῦ καὶ περαιτ(έ)ρ(ω). καὶ ἐὰν τριῶν πωλησάντων οἱ δύο μόνοι δέχωνται τὸν ὑπερθεματισμόν, μένει παρὰ τῷ πρώτῳ ἀγοραστῇ. εἰ δὲ διαφόροις ἐπώλ(ησαν) τιμήμασ(ιν),* (11) *κἂν ἀνίσοις* (12) *ἢ ἑνὶ τιμήμ(α)τ(ι),ἀνά(γνωθι), τί δεῖ γενέσθαι. καὶ ὅτι*

---

3 *γενομένου* Ed. T. | 12-13 *διδουμέ νου δέ* Ed. T. | 17 cap. 4 Editionis desideratur in Ipucito | 21 cap. 6 item. | 32 *ἀνίσως* Ed. T.

---

4 *ἔχειν* | 11 *κ' ii* | 12 *κ' ii* | 13 **ὑπερτεθὲν**

ὁ εἷς τῶν πωλησάντων δύναται ὑπερθεματίζειν. (13) Καὶ περὶ ὑπερθεματισμοῦ μὴ γενομ(έ)ν(ου) σὺν ἀληθ(είᾳ). καὶ εἰ ὁ ἀγοραστὴς ὑποβάλλ(ει) ἄπορον ὑπερθεματίζοντα, πῶς ἐνέχεται καὶ τί γίνεται. καὶ ὅτι οὐ γίνεται κρείττων ἡ αἵρε(σις) τοῦ πράτ(ου), ὅτι ὁ δεύτ(ε)ρ(ος) ἀγοραστὴς τὸ πρᾶγμα μόνον λαμβάν(ει) καὶ τοὺς καρποὺς ὁ πράτ(ης). (14) Καὶ περὶ πράτου εἴσω τῆς προθεσμίας ἀποθανόντος καὶ μὴ σχόντος διάδοχον ἢ σχόντος μέν, μετὰ τὴν προθεσμ(ίαν) δὲ ὑπεισελθόντος τῇ κληρονομ(ίᾳ), πῶς ἀργεῖ ὁ ὑπερθεμαστισμός. εἰ γὰρ εἴσω τῆς προθεσμίας εἰσέλθ(ῃ), χώραν ἔχει. καὶ περὶ προσθήκης ἐν τῷ ἀγρῷ προστεθείσης ἀξίας οὔσης τῆς τοῦ ὑπερθεματίζοντος προσθήκ(ης), πῶς ἡ πρώτ(η) πρᾶ(σ)ις οὐ λύεται. ὥσπερ καὶ εἰ ἐξ ὑπερθέσεως τόκ(ος) τοσοῦτο(ς) ἠδύνατο ληφθῆναι, ὅσον ἐστὶν ἡ γενομένη προσθήκη. (15) Καὶ εἰ ἐδαπάνη(σε) κατὰ τὸ ἀναγκαῖον ὁ πρῶτος ἀγοραστής, πῶς δίδω(σι) τοὺς καρποὺς καὶ λαμβά(νει) τὰ δαπανήματα. (16) Καὶ ἐὰν ὑπὸ ὡρισμένης ἡμέρ(ας) ἔκβασιν δύο δούλους δύο τισὶ κεχωρισμένως εἴκο(σι) νομίσμασι πωλή(σῃ) καὶ εὑρεθ(ῇ) ὁ διδοὺς ὑπὲρ τὰ λʹ, πῶς δεῖ θεματίζειν καὶ διαστίζειν τῶν ιʹ νομισμάτων τὴν αὔξησιν. καὶ πότε μένει βεβαία ἡ πρᾶ(σ)ις ἢ μή. (17) Καὶ περὶ τοῦ ἐὰν δύο κοινῶν ἀγορασάντων ὁ εἷς ὑπερθεματίσῃ. (18) Καὶ ὅτι, εἰ καὶ μὴ μόνον τὸ πραθὲν πρότ(ε)ρ(ον) ἀλλὰ καὶ ἕτερον πρᾶγμα καλῇ πίστει προσκυρώ(σῃ) τῷ ὑπερθεματίσαντ(ι), λύεται ἡ πρώτ(η) πρᾶ(σ)ις. καὶ περὶ τοῦ, ὅτι ὑπερθεματισμοῦ γενομένου οὐκ ἔχει ὁ ἀγοραστὴς ὁ πρῶτ(ος) κατὰ τοῦ ὑπερθεμαιίσαντος, περὶ ὧν ἔδωκε τιμῶν, εἰ μὴ τὰ δοθέντα εἰς τόπον τοῦ πράτ(ου) αὐτὸν ἐπηρώτ(ησεν). περὶ δὲ τοῦ ὑπὸ ὅρον πωλήσαντος καὶ τοῦ ὅρου ἐπιστάντος ἐκ τοῦ μὴ καταβληθῆναι τὸ τίμημα ἑτέρῳ πωλήσαντ(ι), ἤδη παραδέδοταί σοι. περὶ δὲ τοῦ ἐκ τοῦ διαμαρτύρασθαι νέαν δοκοῦντος συναίνε(σιν) ποιεῖν ζήτ(ει) βι. ιʹ τί. δʹ κε. ληʹ οὗ ἡ ἀρχή Ἀγοράσας τις ὑπὸ ἐμπρόθεσμον ὅρον ἐνδαψιλευομένου τοῦ χρό(νου). ζήτ(ει) καὶ βι. ιβʹ τί. βʹ κε. λδʹ θέ. βʹ οὗ ἡ ἀρχή Καὶ εἰ μὴ δύναται διαιρεθῆναι τὰ πράγματ(α) καθ' ὑπερθεματισμόν. καὶ βι. νεʹ τί. αʹ κε. βʹ οὗ ἡ ἀρχή Ὁ πιπράσκων ἢ δωρούμενος χωρίον. καὶ βι. νςʹ τί. βʹ κε. μζʹ οὗ ἡ ἀρχή Ἐὰν τὰ ὑποκείμενα τῷ δημο(σίῳ) πράγματα ἐκ προφανοῦς ἀπάτ(ης). καὶ τί. ςʹ κε. δʹ οὗ ἡ ἀρχή Ἐὰν οἱ προωρισμ(έ)ν(οι) ταῖς| δημοσίαις πράσεσι χρό(νοι). καὶ κε. εʹ οὗ ἡ ἀρχή Ὅταν τὰ πράγμ(α)- 79r
τ(α) τοῦ χρεωστήσαντ(ος) πωλή(σῃ) ὁ δημό(σιος). καὶ κε. βʹ οὗ ἡ ἀρχή

6 ἔχοντος διάδ. Ed. T. | ἔχοντος μὲν Ed. T. | 7 τὴν κληρονομίαν Ed. T. | 9 οὔσης τοῦ Ed. T. | 22 εἰ μὴ δοθέντα Ed. T. | 26 ἀγοράσας ὑπὸ Ed. | 28 cap. 2 tit. 1 libri 55 desideratur in fragm. Editionis, extat in Suppl.| 33 τοῦ τελευτήσαντος Ed.

14-15 εἴκοσι ii | 15 τὰ ιʹ ii | 16-17 βεβαῖα

Αὕτη ἡ δ(ιά)τ(αξις) κατά τι ἔοικε τῇ πρὸ αὐτῆς λέγουσα. περὶ τοίνυν διπλασιασμοῦ καὶ ἡμί(σεως) μέρους οὗ ἀξιοῦται τὸ πραθὲν καταβληθέντος καὶ ἀνατρεπομένης ἐκ τούτ(ου) πρά(σεως) ἢ μὴ ζήτ(ει) τοῦ παρ(όν)τ(ος) βι. τί. ι' κε. οη' (=70) οὗ ἡ ἀρχή Ἐὰν ὁ υἱὸς κατὰ γνώμην πατρὸς πρᾶγμα πωλή(σῃ). καὶ κε. οδ' (=66) καὶ ὅλον τὸν τί(τλον). περὶ ὑπερθεματισμοῦ ζήτ(ει) τοῦ ιε' βι. τί. α' κε. μ' οὗ ἡ ἀρχή Ὁ λαβὼν ὑπὸ ὡρισμένην ἡμέραν ὑπερθεματισμόν.

ΤΙ(ΤΛΟΣ) γ'.

Περὶ νόμου καταπιστευτέου, ὅστις κινεῖται μεταξὺ πράτ(ου) καὶ ἀγοραστοῦ, ἡνίκα πρᾶγμα ἐπὶ συμφώνῳ πραθ(ῇ) τοῦ ἐντὸς τῆς προθεσμίας τῆς ὡρισμένης καταβληθῆναι τὸ τίμημα.

(1) *Καὶ ποία πρᾶ(σ)ις ὑπὸ αἵρε(σιν) ἀναλύεται, ἢ ὑπὸ αἵρε(σιν) συνίσταται.* (2-3) *Καὶ ὅτι τὸ εἰπεῖν· ἐὰν εἴσω τῇσδε τῆς προθεσμίας μὴ καταβάλῃς τὸ τίμημα, ἀναγόραστός ἐστιν ὁ ἀγρός, ὑπὲρ τοῦ πράτ(ου) ἐστίν. καὶ δύναται αὐτῷ μὴ χρήσασθαι μήτε τὴν πρᾶ(σ)ιν ἀναλύειν. καὶ τῷ πράτ(ῃ) κινδυνεύεται ἐν τῷ μεταξὺ τὸ πραθ(έν).* (4) *Καὶ ὅτι χώραν λαμβάνοντος προτεθέντ(ος) ὅρου κινεῖ τὴν ἀγωγὴν ὁ πράτης εἰς ἀνάληψιν τοῦ πραθ(έν)τ(ος) καὶ τῶν καρπῶν καὶ εἰς ὃ γέγονε χεῖρον. καὶ ὅτι χώραν λαμβάνοντος τοῦ συμφώνου ὁ πράτ(ης) ὀφείλ(ει) παραχρῆμα ὁρίζειν. καὶ ὅτι ὁρίσας εἴτε τῷ ὅρῳ χρήσασθαι θέλει εἴτε τὸ τίμημα μεθοδεῦσαι, οὐ δύναται μεταμέλεσθαι. καὶ ὅτι καὶ χωρὶς ὀχλήσεως ὀφείλ(ει) καταβαλεῖν ἐμπροθέσμως ὁ ἀγοραστής. εἰ δὲ μὴ ἔσχε τινὶ καταβαλεῖν, οὐ βλάπτεται.*(5) *Ἐν τῷ μεταξὺ δὲ οἱ καρποὶ τοῦ ἀγοραστοῦ γίνονται, δίδω(σι) δὲ αὐτοὺς τῷ πράτ(ῃ).* (6) *Καὶ τὰ δοθέντα λό(γῳ) ἀρραβῶνος παρακρατεῖ ὁ πράτ(ης). Καὶ περὶ πράτ(ου) μετὰ τὴν προθεσμίαν δεχομένου τὸ τίμημα τὸ ἐπίλοιπον. ζήτ(ει) περὶ τούτ(ου) κε. ϛα' (=91) τοῦ α' τί. τούτου τοῦ βι. οὗ ἡ ἀρχή Ὁ συμφωνήσας ἀναλύεσθαι τὴν πρᾶ(σιν).* (7) *Καὶ περὶ τοῦ ἐὰν μὴ παρόντος τοῦ πράτ(ου) διαμαρτύρηται ὁ ἀγοραστὴς ἑτοίμως ἔχειν τὸ τίμημα καταβαλεῖν καὶ σφραγίσῃ αὐτὸ μεθ' ἑτέρων, εἶτα παρὰ τοῦ δημο(σίου) διαμαρτ(υ)ρ(ίαν) δέξηται μὴ καταβαλεῖν πρὸ(ς) τὸν πράτ(ην), ἕως ἂν ποιήσῃ τὸ ἱκανὸν τῷ δημο-*

7 *ὑπερθεματισμοῦ* Ed. T. | 17-18 *προστεθέντος* Ed. T.

13 *ποῖα* | 14 *καταβάλλῃς* | 17-18 *προθέντος* | 20 *παρὰ χρῆμα* | 21 *μεταμέλλεσθαι*

(σίῳ), οὐχ ὑποπίπτει τῷ προτεθ(έν)τ(ι) ὅρῳ, οὔτε δύναται τὸ πραθὲν διεκδικεῖν ὁ πράτ(ης). ζήτ(ει) ἐναντ(ίον) κε. εἰς τὸ τέλος τοῦ ιγ' βι., πλὴν δέξαι τοῦτ(ο) ἰδικὸν ἐπὶ δημο(σίῳ). ζήτ(ει) περὶ καταπιστευτέου πρά(σεως) βι. νβ' τί. α' κε. κε' (=26) θέ. α' οὗ ἡ ἀρχή Αἱ μὴ κατ' οἰκείαν φύ(σιν) συνιστάμεναι ἐνοχ(αὶ) οὔτε διὰ δικαστοῦ. ζήτ(ει) καὶ τὰς παραπομπὰς τοῦ β' τί. περὶ δὲ τοῦ, τίνες χωρὶς ὀχλή(σεως) ὀφείλ(ουσι) καταβάλλειν, ζήτ(ει) καὶ βι. μγ' τί. ε' κε. ιβ' οὗ ἡ ἀρχή Ἐάν τις ἐν ῥητῷ χρό(νῳ). μάλιστα δὲ τὸν δ' τί. καὶ τὰς ἐν αὐτῷ παραπομπὰς τοῦ θ' βι.

ΤΙ(ΤΛΟΣ) δ'.

Περὶ κληρονομίας ἢ ἀγωγ(ῆς) πραθείσης.

(1) Καὶ ποία ἀνισχύρως πωλεῖται. (2) Καὶ ὅτι ὁ πράτης κληρονομίας οὐκ ἀσφαλίζεται περὶ ἐκνική(σεως), εἰ μὴ ἐπὶ τῷ ἰδίῳ ἀποτελέσματ(ι). ζήτ(ει) τί. ια' τοῦ παρ(όν)τ(ος) βι. κε. δ' θέ. α' οὗ ἡ ἀρχή Ἐὰν τοῦ ἐπιτρόπ(ου) πωλήσαντ(ος). καὶ ποῖα δοκεῖ πωλεῖν πράγμ(α)τ(α), τὰ ἐν τῷ καιρῷ τῆς πρά(σεως) εὑρισκόμενα ἢ ὅσα ἦν ἐν τῷ τελευτᾶν τὸν διαθέμενον. καὶ ὅτι οὐ δοκεῖ διαπιπράσκειν τὴν ἁρμόζουσαν αὐτῷ δι' ἀνηβότ(η)τ(α) ὑποκατάστασιν, εἰ μὴ ῥητῶς καὶ περὶ αὐτῆς συνέδοξε. καὶ δίδω(σιν),| ὅσα σωματικῶς 79v ἐξ αὐτῆς ἔσχεν ὁ πράτ(ης) καὶ τὴν τιμὴν τῶν πραγμ(ά)τ(ων), ὅσα πρὸ τῆς πρά(σεως) τῆς κληρονομίας διεπώλη(σεν) ἢ ἐδωρήσα<το>. καὶ τίνα δοκεῖ περιελθεῖν εἰς αὐτόν. καὶ τίνα δίδοται τῷ ἀγοραστῇ. καὶ πότε δοκεῖ δόλ(ον) ποιεῖν, οἷον εἴτε ἐξεποίησέ τινα εἴτε ἀμοιβῇ τινι ἠλευθέρωσέ τινα. καὶ πότε ἀπὸ μεγάλης ῥαθυμίας ἐνέχεται, οὐ μὴν περὶ τῶν χωρὶς δόλ(ου) ἢ ῥαθυμίας αὐτοῦ φθαρέντων ἢ μειωθέντων. δίδω(σι) καὶ εἴ τι δοῦλ(ος) ἢ υἱὸς αὐτοῦ ὑπεξού(σιος) ἐχρεώστει τῷ διαθεμένῳ, πρὸς τὸ ποσὸν μέντοι τοῦ πεκουλ(ίου) καὶ τοῦ γενομένου δαπανήματ(ος). καὶ περὶ τοῦ ἐὰν ἀπήτη(σεν) ἀχρεώστητον ὁ πράτ(ης) καὶ ποίας κληρονομ(ίας) ἀποκαθίστη(σι). καὶ ὅτι καὶ τὸ κέρδος καὶ ἡ ζημ(ία) τῆς κληρονομ(ίας) τὸν ἀγοραστὴν ὁρᾷ. καὶ πότε ἐκνικωμ(έ)ν(ου) τοῦ πράγμ(α)τ(ος) ἐνέχεται ὁ πράτ(ης) ἀπό τινος φάκτ(ου) καὶ οὐκ ἔχει κατὰ τοῦ ἀγοραστοῦ, καὶ πότε ἔχει, ἀνά(γνωθι). καὶ γὰρ γρῖφός ἐστι. ἔχει δὲ τὴν ἀπαίτ(ησιν) τοῦ τιμήματ(ος), εἰ ὑπὲρ τῆς κλη-

1 προστεθέντι Ed. T. | 17 σωματικῶν Ed. T. | 25-26 ἀπαιτήση Ed. T!

1 πραθέντι ὅρῳ | 2-3 ζήτ(ει) — δημο(σίῳ) in margine cum signo ad διαμαρτυρίαν lineae 8 spectante | 3 καταπιστευτέας | 11 ποῖα | 12-13 ζήτει — πωλήσαντος in margine cum signo ad ἀποτελέσματι spectante | 30 γρίφον

ρονομ(ίας) αὐτὸς ἢ ὁ διοικητὴς τῶν πραγμάτων αὐτοῦ δέδωκέ τι. καὶ ἐὰν δοῦλ(ος) ὑπεξεῖλε χωρὶς τοῦ πεκουλ(ίου) καὶ καταδικασθ(ῇ) ὀνόματ(ι) αὐτοῦ, τί λαμβά(νει) ἐκ τοῦ ἀγοραστοῦ, ἀπὸ γὰρ τῶν λοιπῶν αἰτιῶν ἰδίῳ ὀνόματ(ι) καταδικάζεται, εἰ δὲ μηδὲν ῥητῶς συνέδοξεν, ἀλλ' ἁπλῶς ὑπεξεῖλε τὸ πεκούλ(ιον), ἀνά(γνωθι) διαστίξεις, τί γίνεται. καὶ περὶ τοῦ πωλή(σαν)τ(ος) κληρονομίαν καὶ ὑπεξελόντος οἶκον, ἐφ' ᾧ ἐπηρωτήθ(η) τὴν δάμνη ἰμφέ(κ)τ(η). καὶ μηδεν(ὸς) περὶ αὐτῆς συμφωνηθ(έν)τος, τίς ἐπιγινώσκει τὴν ἐκ τῆς τοιαύτης ἐναγωγ(ῆς) ζημίαν, αὐτὸς ἢ ὁ ἀγοραστής. καί φη(σι) τὴν πρὸ τῆς πρά(σεως) τὸν πράτην, ὥσπερ καὶ τὴν μετὰ ταῦτα τὸν ἀγοραστήν. καὶ περὶ τοῦ ἐὰν πωλή(σω) σοι τὴν Πέτρου κληρονομίαν καὶ γενόμενός σου κληρονόμ(ος) πωλή(σω) αὐτὴν Παύλῳ, τί δύναμαι ἀπαιτεῖν Παῦλον ἢ ἐπερωτήσας σε περὶ δούλ(ου) τὸν διπλιασιασμὸν γένωμαί σου κληρονόμος, καὶ πωλή(σω) τὴν κληρονομ(ίαν) σου, εἶτα ὁ δοῦλ(ος) ἐκνικηθ(ῇ), πῶς ὑφίσταμαι τὸ ἀζήμιον παρὰ τοῦ ἀγοραστοῦ. καὶ ποῖα καταβληθ(έν)τ(α) παρὰ τοῦ πράτ(ου) ἐπιγινώσκει ὁ ἀγοραστής, ὥσπερ τὸ ἐμφύτευμα, τὴν τῆς ταφῆς δαπάνην, τὸ χρεωστούμενον παρὰ τοῦ διαθεμ(έ)ν(ου) τῷ πράτ(ῃ), κἂν ὑπὸ αἵρε(σιν) ἢ ἡμέρ(αν) ἦν, μόνον μέντοι, εἰ αἱ ἀγωγ(αὶ) κατὰ κληρονόμων ἥρμοζον. καὶ ποίας ὁ ἀγοραστὴς ἀνανεοῦν δύναται δουλείας. καὶ ὅτι ὁ πράτ(ης) ἔνοχος διὰ τὴν κληρονομ(ίαν) γενόμενος ἐνάγει τῷ ἀγοραστῇ καὶ μήπω καταβαλών. (3) *Καὶ ἐφ' οἷς ὁ πράτ(ης) ἀπολέ(σ)ας οὐκ ἐνέχεται, ἀνά(γνωθι).* (4) *Καὶ ὅτι ὁ χρέος ἐκποιῶν οὐ χρεωστεῖ παρασχεῖν εὔπορον τὸν χρεώστην, ἀλλὰ μόνον χρεώστην. ζήτ(ει) καὶ βι. κς′ τί. δ′ κε. λε′* (=36) *οὗ ἡ ἀρχὴ Ἐὰν μετάθε(σις) γένηται τοῦ χρέους, ἀφανίζεται τελείως ἡ προτ(έ)ρ(α) ἐνοχ(ή).* (5) *Καὶ περὶ τοῦ εἰ εἴπῃ τὸ ποσὸν τοῦ χρέους ἢ ἄδηλον πωλή(σῃ), εἰς τί ἐνέχεται.* (6) *Καὶ ποίας ἀγωγ(ὰς) ἔχει ὁ ἀγοραστὴς τῆς κληρονομίας.* (7) *Καὶ περὶ τοῦ μὴ τὴν οὖσαν κληρονομίαν πιπράσκεσθαι.* (8) *Καὶ ἐὰν μὴ ἀνήκ(ῃ) τῷ πράτ(ῃ) καὶ πωληθ(ῇ) ἢ καθόλου μή ἐστι, τί γίνεται.* (9-10-11) *Καὶ εἰ συνέδοξεν, ὅπερ ἔχει δίκαιον ὁ πράτ(ης), τοῦτο μόνον πραθῆ(ναι). ἢ· εἴ τίς ἐστι κληρονομ(ία), ἔστω σοι πεπραμέν(η) καὶ εἰ ᾔδει ὁ πρ(ά)τ(ης) μὴ διαφέρ(ειν) αὐτῷ τὴν κληρονομ(ίαν), πῶς ἐνέχεται ἀπὸ δόλ(ου).* (12) *Καὶ περὶ τοῦ ἀναγκάζεσθαί τινα δεῖξαι κληρονόμον ἑαυτόν, ἔνθα συνεφωνήθ(η), ἵνα τὸ δίκ(αι)ον, ὅπερ ἔχει ὁ πράτης, εἴη αὐτῷ πεπραμένον. ἐκ τούτ(ου) τινές, | μάλιστα δὲ ὁ μαΐστωρ μου ὁ Γαριδ(ᾶς) ἔλεγε* 80r
καὶ τὸ τῆς προτιμήσεως δίκαιον μὴ ἐκχωρούμενον τῷ ἀγοραστῇ σβέννυσθαι. ἔλεγε γὰρ καὶ κληρονόμον τυγχάνειν προσωπικὸν ἀπὸ χρό(νου) τὴν ἐνέρ(γειαν) ἔχον. καὶ ἀνά(γνωθι) βι. νη′ τί. ι′ κε. <η′> (?) *θε′. ε′ οὗ ἡ ἀρχὴ*

36 initium citatum tit. 10 libri 58 desideratur in fragm. Editionis et Suppl.

35 *ἔλεγε καὶ γὰρ*

Ἐὰν ἀποθάν(ῃ) ὁ πωλή(σας) τὸν τόποι ἢ ὁ παραγγείλας. (13) Καὶ ὅτι ὁ πωλῶν χρέος ὑπεξουσ(ίου), καὶ τὰς κατὰ τοῦ πατρὸς ἀγωγ(ὰς) ἐκχωρεῖ. καὶ ὅτι ὁ πράτ(ης) τῆς κληρονομ(ίας) ἀναγκάζεται παραδοῦναι τὰ πράγματ(α) τῆς κληρονομ(ίας) καὶ ἀδιάφορον, πόσα ἐστίν, (14) εἰ μὴ διεβεβαιώσατ(ο) περὶ τῆς ὑποκαταστά(σεως) τῆς κληρονομ(ίας). (15) Καὶ περὶ τοῦ ἐὰν ὁ καθ' ὁμάδ(α) ληγατ(ά)ρ(ιος) πωλή(σῃ) τὴν κληρονομ(ίαν) ὡς κληρονόμος, πῶς ἐνέχεται εἰς τὸ διαφέρ(ον). (16) Καὶ ὅτι τὰ ὑπὸ ἡμέρ(αν) ὡρισμένην καὶ τὰ ὑπὸ αἵρε(σιν) χρέα πιπράσκονται. (17) Καὶ περὶ συγκληρονόμ(ου) καταβαλόντος χρέος κληρονομιαῖον ὑπὸ ποινὴν εἰς ὁλόκληρ(ον), πρὶν ἢ ὑπεισέλθ(ωσι) κἀκεῖνοι τὴν κληρονομ(ίαν), καὶ πωλήσαντ(ος) τὴν κληρονομ(ίαν) καὶ μὴ λαβόντος παρὰ τῶν συγκληρονόμων διὰ τὴν ἀπορίαν αὐτῶν, πῶς δύναται κινεῖν κατὰ τοῦ ἀγοραστοῦ τὴν ἐξ στιπουλ(ά)τ(ου) ἢ τὴν ἐξ βένδ(ι)τ(ο). καὶ ὅτι κατάγεται εἰς τὴν διαιροῦσαν τὴν φαμιλ(ίαν). (18) Καὶ ὅτι τὸ πούρως χρέος ὑπὸ αἵρε(σιν) πιπράσκεται. καὶ τὸ ὑπὸ αἵρε(σιν) πούρως. καὶ δύναται ἡ ἀπαίτ(ησις) τοῦ πράγμ(α)τ(ος) κινεῖσθαι καὶ τοῦ τιμήματος ἐπὶ τῷ παραχρῆμα ποιῆσαι ἀκεπ(τι)λατ(ίω)ν(α) τὸν πράτ(ην) τῷ χρεώστῃ. (19) Δίδω(σιν) ὁ πράτ(ης) καὶ ὅσα τῷ διαθεμένῳ ἐχρεώστη(σεν) οἰκείῳ ὀνόματ(ι) ἢ κληρονομήσας χρεώστου αὐτοῦ. (20) Καὶ ὅτι πωλή(σας) τις κληρονομ(ίαν) καὶ ἐπερωτηθ(εὶς) περὶ ταύτης ἐδράξατο κληρονομιαίου πράγματ(ος) καὶ διαπέπρακ(εν) αὐτὸ πρὸ(ς) ἕτερον, πότε οὖν ἐνέχ(ε)τ(αι) αὐτὸ τὸ πρᾶγμα διδόναι τῷ ἀγοραστῇ καὶ πότε τὴν διατίμη(σιν) αὐτοῦ, κἂν δοῦλ(ος) ἦν ὁ πραθ(εὶς) καὶ ἐτελεύτ(ησε). καὶ περὶ τοῦ ἐὰν δοῦλ(ον) ἐξ ἐπερωτ(ήσεως) χρεωστῶν πωλή(σω) αὐτὸν καὶ πρὸ ὑπερθέ(σεως) ἀποθά(νῃ), οὐδὲν δίδωμι. καὶ ἐὰν μὴ κληρονομίαν, ἀλλ' ἓν πρᾶγμα πωλή(σω) σοι καὶ πρὸ παραδό(σεως) ἑτέρῳ πωλή(σω) αὐτὸ καὶ λά(βω) τὸ τίμημα, κἂν φθαρῇ, οὐδέν σοι χρεωστῶ μὴ ποιήσας ὑπέρθε(σιν). καὶ εἰ νέμεται τὸ πρᾶγμα, ὃ πέπρακα, ἕτερος καὶ ἐναγαγὼν αὐτῷ λά(βω) τὴν ἀποτίμησιν, τὸ πρᾶγμα χρεωστῶ. καὶ εἰ ἐξέπεσον χωρὶς ἀμελείας, τὰς ἀγωγ(ὰς) ἐκχωρῶ ἢ τὰς τιμάς, ἃς ἔλαβον, δίδωμι. καὶ καυθ(έν)τ(ος) τοῦ οἴκου παραδίδω(μι) τὸ ἔδαφος, εἰ καὶ βίᾳ ἐξεβλήθ(ην). (21) Καὶ ὅτι ὁ πράτ(ης) τῆς κληρονομ(ίας) κατέχει πράγματ(α) εἰς ἐνέχυρον τῶν τιμῶν, τοῦτο δὲ νόησον, ἔνθα μὴ συμπεφώνηται μὴ ἄλλως παραδοθῆναι τὸ πρᾶγμα, εἰ μὴ πρότ(ε)ρ(ον) τὸ τίμημα καταβληθ(ῇ). καὶ τυχὸν τὸ μὲν κατέβα(λε), τὸ δὲ ὑστερεῖ τοῦ τιμήματ(ος). (22) Καὶ τί δοκεῖ πιπράσκειν ὁ πιπράσκων ἀγωγ(ήν). καὶ ὅτ(ι) ὁ πωλῶν. εἴ τι δ' ἂν σχῇ διὰ καταβολῆς ἢ ἀντελλόγου, δίδω(σι) τῷ ἀγοραστῇ.

---

2 *πωλήσας χρ.* Ed. T. | 26 *νέμηται* Ed. T. | 30 *ἐξεβλήθη* Ed. T. | 31-32 *ἔνθα μὲν συμπ.* Ed. T.

---

16 *ἀκεπολα*$^{\tau\nu'}$ | 26 *χρεωστεῖ* | 27 *πέπρακεν* (?)

(23) *Καὶ περὶ τοῦ ἐὰν πωλήσας σοι κληρονομ(ίαν) κληρονομή(σω) ληγατ(α)ρ(ίου) αὐτ(ῆς) ἢ δανειστοῦ, ἀπαιτῶ σε διὰ τῆς ἀγωγ(ῆς) τὸ ληγ(ά)τ(ον).* (24) *Καὶ περὶ τοῦ ἐὰν ἐν τῇ πρά(σει) τῆς κληρονομ(ίας) ἀγρὸν ὑπεξέλω καὶ μετὰ ταῦτ(α) σχῶ τι κατὰ πρόφα(σιν) αὐτ(οῦ), δίδωμι τῷ ἀγοραστῇ, ὅπερ ἔσχον, εἰ μὴ ἕτερόν τι συνεφωνήθ(η).* (25) *Καὶ ὅτι ὁ ἀγοράσας παρὰ δημο(σίου) κληρονομ(ίαν) αὐτὸς ὑπόκειται τοῖς κληρονομιαίοις δανεισταῖς ἀποκρίνασθαι, οὐχ ὁ δημό(σιος). τοῦτο δὲ μὴ δέξῃ ὡς ἰδικὸν προνόμ(ιον) τοῦ δημο(σίου), ἀλλ' ὅτι κληρονομιαῖοι δανεισταί εἰσι καὶ καλῶς ἐνάγεται ὁ τὴν κληρονομ(ίαν) ἀγοράσας.* (26) *Καὶ ἐὰν ὁ πωλή(σας) | κληρονομ(ίαν)* **80v** *ἐπερωτη<θ>(ῇ) ἀγοραστὴν διεκδικεῖν, τί γίνεται κινούντων δανειστῶν, ἢ μὴ ἐπε<ρ>ω<τηθ>(ῇ).* (27) *Καὶ ὅτι ἡ τοῦ γραμματ(είου) πρᾶ(σις) καὶ ἄκοντος καὶ μὴ βουλομ(έ)ν(ου) καὶ ἀγνοοῦντος ἐκείνου, καθ' οὗ ἐκχωροῦνται αἱ ἀγωγαί, δύναται συνίστασθαι.* (28) *Καὶ περὶ τοῦ ἐὰν ὁ πράτ(ης) δόλ(ον) παθὼν παρὰ τοῦ ἀγορα<στοῦ> εὐτελοῦς τινος πωλή(σῃ) τὴν κληρονομ(ίαν), πῶς οὐκ ἀναγκάζεται πληρῶ(σαι) τὸ συνάλλαγμα.* (29) *Καὶ ὅτι δεσπότ(ης) μένει, πρὶν ἢ παραδώσει ὁ τὴν κληρονομ(ίαν) πωλή(σας).* (30) *Καὶ ὅτι ὁ ἀγοραστὴς τοῦ γραμματ(είου) καὶ ὁ ὑποθή(κῃ) αὐτὸ λαβὼν δύναται, καὶ ὁ δανειστὴς καὶ ὁ ἀγοραστής, κινεῖν τὰς ὡρισμένας ἀγωγὰς κατὰ τοῦ χρεώστου.* (31) *Καὶ περὶ τοῦ γραμματεῖον ἀγοράσαντος, πῶς δεσπότ(ης) μὲν οὐ γίνεται τῶν ἐν τῷ γραμματείῳ ὑποτεθ(έν)τ(ων) πραγμάτων, ἀλλὰ δίδοται αὐτῷ ἀπαίτ(ησις) ὡς ἐν πράγματ(ι) ἰδίῳ φροντιστῇ.* (32) *Καὶ ὅτι, ὥσπερ τὰς προσωπικὰς ἀγωγ(ὰς) ἀγοράζει τις, οὕτω καὶ τὰς ἰνρὲμ ἤτοι τὰς πραγματικάς, καὶ κινεῖ αὐτὰς οὐτιλίως. ζήτ(ει) περὶ τούτ(ου) βι. κδ' τί. γ' κε. ια' οὗ ἡ ἀρχή Ὁ ἀγοράσας παρά τινος ἀγωγήν. καὶ βι. κζ' τί. α' μεθ' ὧν ἔχει παραπομπῶν. καὶ βι. κη' τί. ια' κε. ιη'* (=22) *οὗ ἡ ἀρχή Ὁ διδοὺς τὴν ἀποτίμησιν τῆς δίκης. ζήτ(ει) καὶ βι. λε' τί. ιδ' κε. ϥ'* (=82) *οὗ ἡ ἀρχή Ὁ ἀποστὰς τοῦ πατρῴου κλήρ(ου). καὶ κε. ριθ' οὗ ἡ ἀρχή Ὑποθέμενός τις δύο δανεισταῖς ἑαυτοῦ τὸν αὐτοῦ ἀγρόν, εἰ τελευτ(ήσῃ). ἀνά(γνωθι) καὶ τί. ζ' τοῦ κε' βι. διαλεγόμενον πε(ρὶ) διαπρά(σεως) ἐνεχύρων καὶ τῶν ὑποθηκῶν. καὶ τί. ε' τοῦ παρ(όν)τ(ος) ιθ' βι. καὶ βι. μβ' τί. α' κε. μ' οὗ ἡ ἀρχή Ἐὰν δοῦλοι ἢ θρέμμ(α)τ(α) μετὰ προκάταρξιν φθαρῶσι. καὶ βι. ν' τί. δ' κε. α' οὗ ἡ ἀρχή Ὁ διδοὺς τὴν τῆς δίκ(ης) διατίμησιν. καὶ βι. νς' τί. β' κε. ια' οὗ ἡ ἀρχή Ἡ μετὰ τὰ χρέα οὐσία. καὶ κε. λς' οὗ ἡ ἀρχή Ὁ κληρονομίαν ἀγοράζων ἀπὸ δημοσίου.*

---

1 *πωλήσω* Ed. T. | *κληρονομήσας* Ed. T. | 27 initium citatum cap. 119 tit. 14 libri 35 desideratur in fragmentis Editionis et Suppl.; cf. p. 110, 9 | 33 cap. 10-16 et 27-37 tit. 2 libri 56 item

---

12 *ἐκκεχωροῦνται*

ΤΙ(ΤΛΟΣ) ε′.

Περὶ ἀνατρεπομένης πρά(σεως) καὶ ἀγορα(σίας) καὶ πότ(ε) ἔξεστι τοῖς συναλλάσσουσιν ἀναχωρεῖν ἀπὸ τῆς ἀγορα(σίας).

(1) *Καὶ περὶ ὑπεξου(σίου) πωλήσαντος πεκουλ<ι>άριον. ζήτ(ει) βι. ιη′ τί. β′ κε. κα′ οὗ ἡ ἀρχή Ὁ οἰκέτ(ης) ἔχων ἐλευθ(έ)ρ(αν) πεκουλ(ίου) διοίκη(σιν) δύνατ(αι) πωλῆ(σαι) πρᾶγμ(α) πεκουλ(ίου). πε(ρὶ) τοίνυν συναλλαγμάτων ὑπεξου(σίων) ζήτ(ει) βι. ιη′ τὸν γ′ τί. καὶ τοὺς λοιπούς. καὶ τοῦ πατρὸς αὐτοῦ συμφωνήσαντος λυθῆναι τὸ συνάλλαγμα. καὶ ὅτι κἂν δίχ(α) τοῦ ὑπεξου(σίου) γένηται τοῦτο, λύεται τὸ συνάλλαγμα, εἰ καὶ μὴ μονομερ(ῶς) οὐδεὶς ὑπαναχωρεῖ οὐδὲ συνιστᾷ συνάλλαγμα. Καὶ περὶ ἐπιτρόπ(ου) συμφωνήσ(αν)τος ὑπαναχωρῆ(σαι).* (2) *Καὶ ὅτι ἐὰν τὸ πρᾶγμα, ὅπερ ἠγόρα(σα) παρὰ σοῦ, πάλιν ἀγοράσ(ῃς) ἥττονος ἢ πλείονος, νέα συνίσταται πρᾶ(σ)ις, ὅπερ οὐκ ἔστιν, εἰ τὸ πρῶτον ἐδεδώκ(ειν) τίμημα. τῇ γὰρ καταβολῇ τοῦ τιμ(ή)μ(α)τ(ος) πληροῦται ἡ πρᾶ(σ)ις. ζήτ(ει) καὶ κε. ις′* (=15) *τοῦ αὐτοῦ* (=19,5) *τί. οὗ ἡ ἀρχή Ἡ πρᾶ(σ)ις ἐκ τοῦ μὴ καταβληθῆναι τὸ τίμημα. καὶ κε. κδ′* (=22) *οὗ ἡ ἀρχή Ἀκεραίου μένοντος τοῦ πράγματ(ος). καὶ κε. κε′ οὗ ἡ ἀρχή Τὴν τελείαν πρᾶ(σ)ιν καὶ ἀγορα(σίαν).* (3) *Καὶ περὶ τοῦ πῶς συνίσταται ἡ πρᾶ(σ)ις καὶ πῶς λύεται, ἀνά(γνωθι). καὶ πότε καὶ ὁ ἐναγόμενος καὶ ὁ ἐγγυητ(ὴς) αὐτοῦ βοηθεῖται.* (4) *Καὶ περὶ τοῦ ἐὰν συμφωνή(σω) πραθῆναί μοι στολ(ὴν) ἢ δίσκον καὶ συμφωνήσωμεν ὑπαναχωρῆ(σαι) τῆς ἀγορασίας τοῦ ἑνός, ἐπ᾽ αὐτῷ | μόνῳ λύεται ἡ ἐνοχή.* (5) *Καὶ πε(ρὶ) τοῦ* 81 *ἐὰν ὁ πράτης ἐλευθερ(ίαν) δι᾽ ἀμοιβαίας ἐπερωτή(σεως) ποιή(σῃ) τῷ ἀγοραστῇ ἢ τοὐναντίον, πῶς δοκεῖ τὸ συνάλλαγμα ἑκατέρωθ(εν) λύεσθαι διά τι φάκτον. καὶ ὅτι ψιλῷ συμφώνῳ λύεται ἡ πρᾶ(σ)ις. ὁ δὲ τελευτ(ήσας) δοῦλ(ος) ἀντὶ παραδοθ(έν)τ(ος) ἐστὶ καὶ τῷ ἀγοραστῇ ἐγκινδυνεύεται.* (6) *Καὶ ἐὰν συνεφώνησα ἀποδοῦναι, ὅπερ ἠγόρα(σα), εἰ ἐντὸς χρό(νου) ἀπαρέ(σει) μοι, ποῖαι ἀγωγ(αὶ) ἁρμόζουσί μοι.* (7) *Καὶ ὅτι ἀνισχύρως ἀγοράζω ὑπὸ αἵρε(σιν), ὅπερ χωρὶς αἱρέ(σεως) προηγόρα(σα). καὶ περὶ τοῦ, ὅτι ἐὰν πωλή(σω) ἀνήβῳ χωρὶς τῆς αὐθ(εν)τ(είας) τοῦ ἐπιτρόπου, μόνος ἐνέχομαι,*

---

7 *πρᾶγμα τοῦ πεκουλ(ίου)* Ed. | 13 *πάλιν ἀγοράσω* Ed. T. | 18 initium citatum cap. 25 in fragmentis Editionis et Supplementi non invenitur | 28 *ποία ἀγωγὴ ἁρμόζει* Ed. T.

5-8 *ζήτει — λοιπούς* in margine cum signo ad *πεκουλ<ι>άριον* lineae 5 spectante | 28 *ποίαν* | *ἀγοράσας*

αὐτοῦ δὲ ἐνάγοντός μοι παρακατάσχεσιν ἔχω. καὶ εἰ τὸ αὐτὸ μετὰ ταῦτα πωλή(σω) αὐθεντοῦντος τοῦ ἐπιτρόπου. καὶ εἰ τὸ πρῶτον αὐθεντοῦντος τοῦ ἐπιτρόπ(ου) ἀγοράσω καὶ μετὰ ταῦτα μόνος. καὶ εἰ σὺν τῷ ἐπιτρόπῳ ἀγοράσας συμφωνή(σω) χωρὶς αὐτοῦ ἀναχωρῆ(σαι). ἀνά(γνωθι), πότε περὶ τούτων ἡ πρώτ(η) πρᾶ(σ)ις ἔρρωτ(αι) ἢ καὶ ἡ δευτ(έ)ρ(α). καὶ πότε ἡ πρώτ(η), ἡ δὲ δευτ(έ)ρ(α) οὐκ ἰσχύει. καὶ πότε ὁ εἷς ἐνέχεται ἢ καὶ οἱ δύο. (8) Καὶ περὶ διοικητ(οῦ) τῶν πραγμάτων μου γραφέντος παρ' ἐμοῦ κληρονόμ(ου) καὶ τοῦτο ἀγνοοῦντος, ὑπογράψαντ(ος) δὲ ὡς διοικητ(οῦ) τῶν πραγμάτων μου πριπρασκομένου δούλ(ου) κληρονομιαίου, πῶς αὐτὸς οὐκ ἐνέχεται μὴ πωλήσας, ἀλλ' ὀνόματ(ι) τοῦ δούλ(ου) τῇ περὶ πεκουλ(ίου) ἀγωγ(ῇ) ἐνέχεται. (9) Καὶ ὅτι προφάσει δημο(σίου) τέλους ἀγρός μου ἐπράθ(η) ἥττονος ἤπερ ἐχρεώστουν καὶ ὁμολογήσαντός μου δοῦναι τὸ πᾶν ἐπὶ τῷ ἀπολαβεῖν τὸν ἀγρὸν ὁ ἄρχων ἀνέτρεψε τὴν πρᾶ(σ)ιν ἀποκαταστῆναί μοι τὸν ἀγρὸν ψηφισάμεν(ος), οὔκ ἐστιν ἐν τῇ οὐσίᾳ μου, πρὶν ἂν καταβάλ(ω) τὸ τέλος. (10) Καὶ περὶ τοῦ, ὅτι ἠγόρα(σα) παρὰ σοῦ συμφωνήσας ἀναλυθῆναι τὴν πρᾶ(σ)ιν, εἰ μὴ τὸ τίμημα καταβάλ(ω) εἴσω τῆσδε τῆς προθεσμίας, καὶ μετὰ θάνατόν σου ἐπίτροπ(ος) γενόμενος τοῦ υἱοῦ σου σὺν ἑτέροις, οὔτε αὐτὸς κατέβαλ(ον) οὔτε τοῖς λογισμοῖς εἰσήγαγον, ἀναγόραστον γίνεται τὸ πρᾶγμα. καὶ περὶ τοῦ συμφωνήσαντος μὴ δοθῆναι τὸ τίμημα, ἕως οὗ δοθῇ ἐγγυητ(ὴς) τῷ ἀγοραστῇ. καὶ ὥστε μὴ καταβάλλοντος τοῦ ἀγοραστοῦ τὸ τίμημα, ἀναγόραστον εἶναι τὸ πρᾶγμα. (11) Καὶ ὅτι οὐκ ἀνατρέπεται ἡ πρᾶ(σ)ις προφάσει τοῦ ἐν ἄλλῳ τόπῳ γενέσθαι, ἐν ἄλλῳ δὲ εἶναι τὰ πεπραμ(έ)ν(α). (12) Καὶ ὅτι οἱ μαινόμενοι ἐν τοῖς διαλείμμασι δύνανται πρά(σ)εις ποιεῖν καὶ οἱονδήποτ(ε) συνάλλαγμα. (13) Καὶ ὅτι ἡ κατὰ δωρεὰν πρᾶ(σ)ις ἀνυπόστατός ἐστιν. εἰ δὲ πωλή(σας) τις ἀγρὸν συνεφώνη(σεν) ἀντὶ τοῦ τιμήματος, ἵνα ἀποτρέφητ(αι) ἀπὸ τοῦ λαβόντος τὸν ἀγρόν, καλῶς ἀναγκά(ζει) αὐτὸν πληρῶ(σαι) τὰ συμφωνηθ(έν)τ(α). ζήτ(ει) περὶ τῆς κατὰ δωρεὰν πρά(σεως) τούτ(ου) τοῦ τί. κε. ιβ' (=15) οὗ ἡ ἀρχή Ἡ τῆς ἀγορασίας πίστις. καὶ τοῦ α' τί. κε. λς' (=34) οὗ ἡ ἀρχή Ὁ τὸ τίμημα μὲν ὁρίσας. καὶ βι. κθ' τί. α' κε. ι' οὗ ἡ ἀρχή Εἰ μὲν ὑπέρθε(σιν) ἡ γυνὴ ποιήσει. καὶ τοῦ α' τί. τούτ(ου) τοῦ βι. κε. λη' (=36) οὗ ἡ ἀρχή Εἰ μὲν εἰς τὸ παντελὲς γένηται πρᾶ(σ)ις δωρεᾶς αἰτίᾳ. περὶ δὲ τοῦ, ἵνα ἀποτρέφηται, ζήτ(ει) βι. κ' τί. γ' κε. ι' οὗ ἡ ἀρχή Ὁ δεδωκώς τινι πράγματ(α) ἐφ' ᾧ λαμβάνειν παρ' αὐ-

---

3 ἀγοράσει Ed. T. | 4 συμφωνήσει Ed. T. | 7 διοικητοῦ πραγμ. Ed. T. | 22 τὸ πεπραμένον Ed. T.

---

3 ἀγοράσει | 17-18 κατέβαλλ(ον) | 19 περὶ τοῦ μὴ συμφων.; cf. Dig. 18, 5, 10 in fine: respondit, si convenisset, ut non prius pecunia solveretur, quam fideijussor... daretur...

τοῦ. (14) *Καὶ περὶ τοῦ, πῶς ὁ ἀγοράσας τὸ δωρηθὲν αὐτ(ῷ) παρὰ τῶν κληρονόμων τοῦ δωρησαμ(έ)ν(ου) οὐκ ἰσχυρῶς ἀγορά(ζει), ἀλλ' ὡς δωρεὰν αὐτὸ νέμεται.* (17) *Καὶ ὅτι κακῶς αἰτεῖ τις βα(σιλέα) | ἀγορ<ά>(σαι) <ἢ πω>λῆ(σαί) τι ἄκοντός τινος.* 81v (18) *Καὶ περὶ τοῦ ὅτι οὐ ποιεῖ τὴν πρᾶ(σ)ιν ἀνυπόστατον τὸ μὴ λαβεῖν τὸν ἀγοραστὴν ἐγγυητ(ὴν) περὶ ἐκδική(σεως) ἢ ἔγγρα(φ)ον ἐπὶ τῷ παραδοθῆναι αὐτῷ τὴν νομήν. ὅλως γάρ, εἰ ἐνεμήθ(η) συναινοῦντος τοῦ πράτ(ου), καλῶς νέμεται καὶ ἀπαιτεῖται δοῦναι τὸ τίμημ(α), εἰ μὴ ἄρα τὸ ἱκανὸν ἐποίησε.* (19) *Καὶ ὅτι οὐ συνίσταται πρᾶ(σις) ἢ ἀγορασία ἠρτημ(έ)ν(ης) γνώμ(ης) ἑνὸς τῶν συναλλαττόντων. καὶ ζήτ(ει) περὶ τούτ(ου) τοῦ α' τί. κε.ζ'* (=6) *οὗ ἡ ἀρχή Ἐὰν δοῦλ(ος) πραθ(ῇ) ὑπὸ αἵρε(σιν) τὴν · ἐὰν ἀποδῶ τοὺς λογισμούς. καὶ τοῦ παρ(όν)τ(ος) τί. κε. κγ'* (=21) *οὗ ἡ ἀρχή Ἐάν τινες οὕτως συμφωνήσωσιν · ἔστω σοι τὸ πρᾶγμ(α) πεπραμένον.* (20) *Καὶ ὅτι οὐδεὶς δύναται οὐδὲν παρὰ συγγενῶν, οὐδὲ παρὰ κοινωνῶν κωλύεσθαι, εἰ βούλεται τὸ ἴδιον μέρος ἐκποιῆσαί τινι. τοῦτο ἀνηρέθη παρὰ τῆς νε(α)ρ(ᾶς) τοῦ Κω(νσταντίνου) τῆς περὶ προτιμή(σεως) διαλεγομένης.* (21) *Καὶ περὶ τοῦ ἐάν τινες οὕτως συμφωνή(σωσιν) · ἔστω σοι τὸ πρᾶγμα πεπραμένον, ὅσον δ' ἂν δοκιμά(σῃ) Πέτρος, εἰ βουληθ(ῇ) τυχὸν Πέτρος δοκιμάσαι ἢ ὁρίσει τὸ τίμημα καλῶς ἢ κακῶς ἢ μὴ βουληθ(ῇ) ἢ μὴ δυνηθ(ῇ) ὁρίσαι ὁ Πέτρος. ἡ γὰρ ἔγγρα(φος) πρᾶ(σ)ις οὐκ ἐρρῶτ(αι), εἰ μὴ πληρωθ(ῇ) τὸ συμβόλαιον. ζήτ(ει) καὶ βι. κβ' τί. α' κε. ος' οὗ ἡ ἀρχή Ἡ δ(ιά)τ(αξις) κελεύει τὰς πρά(σ)εις καὶ ἐναλλαγὰς καὶ δωρεάς. καὶ βι. ια'* [*τί. α'*] *κε. μγ' οὗ ἡ ἀρχή Ἔξεστιν ἀπὸ συμφώνου μειοῦν. καὶ κε. μη'* (=46) *οὗ ἡ ἀρχή Ὁ ἀγοραστὴς ἐποίησε σύμφωνον.* (22) *Καὶ ὅτι ἀκεραίου μένοντος τοῦ πράγματ(ος) συναινέ(σει) τοῦ πράτ(ου) καὶ τοῦ ἀγοραστοῦ, εἰ μὴ τραδιτίων, ἤτοι παράδο(σις), γένηται. τότε γὰρ καὶ τὸ πραθ(ὲν) ὀφείλ(ει) ἀναδίδοσθαι. εἰ δὲ τραδιτίων παρηκολούθησε, λύεται ἡ πρᾶ(σ)ις συναινούντων τῶν μερῶν, εἰ καὶ ἀρραβὼν ἐδόθ(η). γίνωσκε δέ, ὅτι, εἰ τραδιτίων οὐ γέγο(νε), μέρος δὲ τοῦ τιμήματος κατεβλήθ(η), οὐκ ἀνατρέπεται ἡ πρᾶ(σ)ις, ὡς εὑρή(σεις) ἐν τῇ β' δ(ια)τ(άξει), καθὼς ὁ Θεόδ(ω)ρ(ός) φησιν. ἀνά(γνωθι) καὶ τὸ κε. κε' τούτ(ου) τοῦ τί. οὗ ἡ ἀρχή Τὴν τελείαν πρᾶ(σ)ιν καὶ ἀγορα(σίαν) καὶ ψιλῇ ἐγχειρίσει. περὶ δὲ τοῦ, ὅτε ὁ νόμος ἀνατρέπει τὴν γενομένην πρᾶ(σ)ιν ἐλευθεροῦσθαι καὶ τὸν ἐπ' αὐτῇ δοθέντ(α) ἐγγυη-*

1 *περὶ τοῦ ὅτι* Ed. T. | 3 capp. 15 et 16 Editionis desiderantur in Tipuc. | 9 *ἠρτημένη γνώμης* Ed. T. | 10 extat solum textus Tipuciti ad cap. 6 tit. 1 : *καὶ περὶ τοῦ εἰπεῖν ἐν πράσει · ἐὰν δῷ τοὺς λογισμοὺς ...* | 13 *οὐδὲ παρὰ συγγ.* Ed. T. | 23 initium cap. 46 tit. 1 libri 11 hoc est : *Ὁ ἀγοραστὴς ἐπηρωτήθη ὑπὲρ τιμήματος εἴκοσι νομισμάτων. ὁ πράτης ἐποίησεν αὐτῷ σύμφωνον...* | 30 cap. 23 Editionis deest in Tipuc. — cap. 25 deest in fragmentis Editionis ; cf. annotationem ad p. 107, 18

14 ἐκποιῆσαι τινά

τ(ήν), ζήτ(ει) βι. κς' τί. α' κε. μς' οὗ ἡ ἀρχή Ὅτε ὁ νόμος ἀνατρέπ(ει). ἀνά(γνωθι) καὶ τοῦ παρ(όν)τ(ος) βι. τί. α' καὶ βι. θ' τί. α' κε. οθ' (=87) οὗ ἡ ἀρχή Θεσπίζομεν ἐν πᾶσι τοῖς θέμα(σι), ἅτινα ῥητὴν ἔχουσι ποσότ(η)τ(α). καὶ τοῦ παρ(όν)τ(ος) ιθ' βι. τί. ζ' ὅλον, η', ιγ'. καὶ βι. κε' τί. ζ' κε. ζ' οὗ ἡ ἀρχή Ἐὰν ὁ δανειστὴς πωλῶν τὸ ἐνέχυρον. καὶ τί. η' κε. ι' οὗ ἡ ἀρχή Ἐὰν ἡ κατὰ γνώμην τοῦ δανειστοῦ πρᾶ(σ)ις. καὶ βι. λ' τί. α' κε. κγ' (=19,3) οὗ ἡ ἀρχή Ἐὰν δύο ἀνδράποδα ἄξια ἀπὸ πέντ(ε) νομισμάτων. καὶ βι. λε' τί. ιδ' κε. ζ' (=82) οὗ ἡ ἀρχή Ὁ ἀποστὰς τοῦ πατρῴου κλήρου. καὶ κε. ριθ' οὗ ἡ ἀρχή Ὑποθέμενός τις δύο δανεισταῖς. καὶ βι. λζ' τί. η' κε. ε' οὗ ἡ ἀρχή Ἐὰν χωρὶς αὐθ(εν)τ(είας) ἐπιτρόπ(ου) πωλή(σῃ). ζήτ(ει) καὶ βι. ν' τί. δ' κε. ια' καὶ ὅλον τὸν τίτλον διαλεγόμενον περὶ ἐξωνή(σεως) ἀφηλίκων αὐθεντούντων, ἐπιτρόπ(ων) καὶ κουρατ(ώ)ρων, πλὴν σπανίως οὗτος περὶ τούτων διαλέγεται. καὶ ἀνά(γνωθι) τὸν θ' τί. τοῦ λζ' βι. καὶ βι. μθ' τί. α' κε. [ις'] οὗ ἡ ἀρχή Ἐάν τις πολλὰ πράγματ(α) ἐκποιήσας ἅμα. καὶ βι. ν' τί. α' κε. με' οὗ ἡ ἀρχή Καὶ ὁ μὴ δεσπότ(ης) ποιεῖ δεσπότ(ην), ὡς δανειστὴς πωλῶν ἐνέχυρον. καὶ βι. νς' τί. β' κε. μα' θέ. β' οὗ ἡ ἀρχή Ἐὰν ἄρχων ἐπαρχ(ίας) ἢ ἄλλως διοικῶν αὐτὴν ἀγορά(σῃ) τι. καὶ τί. ς' κε. α' διαλεγόμενον περὶ τῶν ὑπὸ τοῦ δημο(σίου) λεγομένων πραθῆναι. καὶ κε. β' καὶ κε. ε' οὗ ἡ ἀρχή Ὅταν τὰ πράγματ(α) τοῦ χρεωστή|σαν<τος>. καὶ 82r κε. ι' οὗ ἡ ἀρχή Ἅπαξ πωλή(σας) ὁ δημό(σιος). περὶ δὲ τοῦ ἐντειλα<μένου> τινὶ πωλῆ(σαι) ἀνδράποδ(α) αὐτοῦ, τῇ τελευτ(ῇ) δὲ τοῦ ἐνταλθ(έν)τ(ος) τῆς ἐντολ(ῆς) σβεσθείσης καὶ τῶν κληρονόμων αὐτοῦ πωλησάντων ταῦτ(α), πότε διὰ χρή(σεως) ὁ ἀγοραστὴς κυριεύει αὐτῶν ἢ μή, ζήτ(ει) βι. ιδ' τί. α' κε. νζ' οὗ ἡ ἀρχή Τῇ τελευτῇ τοῦ ἐνταλθ(έντος) ἀνδράποδ(α) πωλῆ(σαι). περὶ δὲ τοῦ, πότ(ε) οὐ βεβαιοῦται ἡ πρᾶ(σ)ις οὔτε τις δεσποτ(είαν) κτᾶται διὰ χρονίας νομῆς ἐπὶ τῇ κατὰ δόλ(ον) γενομ(έ)ν(ῃ) πρά(σει) ζήτ(ει) βι. ν' τί. ια'. ἐν αὐτῷ εὑρή(σεις) καὶ περὶ τοῦ νεμομένου πρᾶγμα καὶ ἐνταλθέντ(ος) περὶ τούτ(ου). ζήτ(ει) καὶ βι. θ' τί. γ' κε. η' (=6,2) οὗ ἡ ἀρχή Ὁ κατὰ αὐθ(εν)τ(είαν) τὰ πράγματ(α) τοῦ κατακριθ(έν)τ(ος) πιπράσκων. καὶ κε. ις' (=15,2) οὗ ἡ ἀρχή Τῶν διὰ τὸν ἐκβιβασμὸν λαμβανομένων πρῶτα τὰ κινητὰ καὶ τὰ ἔμψυχα πιπράσκονται. ἐν τούτῳ γὰρ τῷ τί(τλῳ) εὑρή(σεις) τὰ διὰ τὸν ἐκβιβασμὸν πιπρασκόμενα, ὁποῖα καὶ εἶεν.

---

1 ὅτε νόμος Ed. | 9 ad hanc citationem cf. annot. ad p. 106,27 | 10 αὐθ. τοῦ ἐπιτρ. Ed. | 17 ἄλλος διοικῶν Ed. | 19 τὰ πράγματα τοῦ τελευτήσαντος Ed. | 30-31 λαμβανομένων ἐνεχύρων πρῶτα Ed.

---

7 πέντ(ε) ii | 16 βι. μς' τί. β.. | 29-30 καὶ κε. νς'

ΤΙ(ΤΛΟΣ) ς'.

Περὶ κινδ(ύ)ν(ου) καὶ ὠφελ(είας) τοῦ πραθ(έν)τ(ος) πράγματ(ος).

(1) *Καὶ ὅτι μετὰ τὴν πρᾶ(σ)ιν τὸ κέρδος καὶ ἡ ζημ(ία) τὸν ἀγοραστὴν ὁρᾷ. καὶ ὅτι χωρὶς συμφών(ου) ἡ δημο(σία) ὁδὸς καὶ οἱ ὅροι καὶ οἱ πλησιάζοντες τόποι οὐ λογίζονται εἰς τὸ μέτρον τοῦ πραθ(έν)τ(ος) ἀγροῦ.* (2) *Καὶ ὅτι ἐπὶ τῆς πεπληρωμένης τοῦ πραθ(έν)τ(ος) ἀγροῦ.* (2) *Καὶ ὅτι ἐπὶ τῆς πεπληρωμένης πρά(σεως) ὁ ἀγοραστὴς κινδυνεύει. τίς δέ ἐστιν ἡ πεπληρωμένη, ἀνά(γνωθι). καὶ περὶ αἱρετικῆς πρά(σεως) ἀτονούσης τῆς αἱρέ(σεως) ἢ ἐξιούσης, τίς ἐγκινδυνεύει. καὶ εἰ μεταξὺ τελευτ(ήσει) τις τῶν συναλλαξάντων. καὶ οἱ μέσοι καρποί τίνι διαφέρ(ουσι). καὶ εἰ φθαρῇ τὸ πρᾶγμα. καὶ ὅτι αἱ ἐπερωτ(ήσεις) καὶ τὰ αἱρετικὰ ληγά(τα) ἀκυροῦνται φθειρομένου τοῦ πράγματ(ος) ἠρτημένης τῆς αἱρέ(σεως). κἂν εἰ τὸ πρᾶγμα ὕπεστι, κἂν χεῖρον γένηται, πῶς ζημιοῦται ὁ ἀγοραστής. καὶ ὅτι ὁ πωλή(σας) δοῦλ(ον) οὕτως· εἴτε ἡ ναῦς ἔλθῃ εἴτε μή, πεπλήρωται παραχρῆμα καὶ καθαρῶς πωλεῖ. καὶ περὶ τοῦ ἐὰν χρῆ(σιν) καρπῶν πωλή(σῃς)· μοι εἴτε ἣν ἔχεις εἴτε τὴν ἐν τῷ σῷ πράγματι, πότε ὁ κληρονόμ(ος) σου χρεωστεῖ ἢ οὐ χρεωστεῖ. καὶ πότε ὁ ἐμὸς κληρονόμος κεχρεώστηται ἢ οὐ κεχρεώστηται.* (3) *Καὶ ὅτι μετὰ τὸ ἰδεῖν με τὸν ἀγρόν, πρὶν ἢ ἀγορά(σω), ἐὰν τὰ δέ(ν)δρ(α) ἐξ ἀνέμου ἀποπασθ(ῇ), οὐ λαμβά(νω) αὐτά, εἰ δὲ γινώσκων ὁ πράτ(ης) οὐκ εἰπέ μοι ἀγνοοῦντι, ἐνέχεταί μοι εἰς τὸ διαφέρ(ον).* (4) *Δυνατὸν καὶ ἐπὶ τῆς αἱρετικῆς συμφωνεῖν τὸν ἀγοραστὴν ἐγκινδυνεύειν ἐπὶ τῇ φυλακῇ τοῦ πράγματ(ος). καὶ ὅτι, εἰ τυχηρῶς ὁ ἀγορασθεὶς ἀγρὸς ἀπόλ(ηται), πρὶν ἢ μετρηθ(ῇ), οὐ δύναται ὁ ἀγοραστὴς κινεῖν.* (5) *Καὶ εἰ καυθ(ῇ) ὁ πραθ(εὶς) οἶκος κἂν ἀμελείᾳ τῶν τοῦ πράτ(ου) δούλων, οὐκ ἐνέχεται ὁ πράτ(ης).* (6-7-8) *Καὶ περὶ τοῦ ἐὰν πραθεῖσαν κλίνην ἐν τῇ ἀγορᾷ κειμένην κλάσῃ ὁ ἀγορανόμος πρὸ παραδό(σεως) ἢ μετὰ παράδοσιν ἢ τοῦ ἀγοραστοῦ μὴ θέλοντος πολλάκις παραλαβεῖν, τίνι ἐγκινδυνεύεται. καὶ περὶ ὕλης κλαπείσης πρὸ παραδό(σεως) ἢ μετὰ ταῦτα, τίνι ἐγκινδυνεύετ(αι). καὶ περὶ δοκῶν σφραγισθεισῶν.* (9) *Καὶ περὶ τοῦ ἐὰν ὁ πραθ(εὶς) οἶνος φυσικῶς ἀφανισθ(ῇ), πρὶν ἢ λάβῃ αὐτὸν ὁ ἀγοραστής, πότε ζημιοῦται ὁ ἀγοραστής· ἢ γεύσηται ἢ μὴ γεύσηται ἢ κακῶς γεύσηται. καὶ εἰ ὁ πράτ(ης) ἐγίνωσκε μὴ μένειν αὐτὸν ἕως τοῦ καιροῦ, καθ' ὃν ἔδοξεν αὐτὸν*

---

32 *ἢ μὴ γεύσηται* omisit Ed. T.

---

15 **παρὰ χρῆμα**

ἐπαρθῆναι. | (10) *Καὶ ὅτι ἐὰν ὁ ἀγοράσας δοῦλ(ον) μισθώσηται αὐτόν, ἕως* 82v *καταβάλ(ῃ) τὸ τίμημα, οὐ δοκεῖ παραδοθῆναι αὐτῷ καὶ αὐτῷ ἐγκινδυνεύεται.* (11) *Καὶ ὅτι, ἔνθα ὑπέρθε(σιν) ποιή(σῃ) ὁ ἀγοραστής, οὐκ ἀπὸ ἀμελείας, ἀλλ' ἀπό δόλ(ου) ὁ πράτ(ης) ἐνέχεται. καὶ εἰ οἱ δύο ὑπέρθε(σιν) ποιήσουσι, τῇ ὑστέρᾳ προσέχομεν.* (12) *Καὶ ὅτι πωλήσας σοι οἶκον συνεφώνησα δίδοσθαι τὰς ληγατευθείσας οἰκήσεις, θανάτῳ τῶν ληγατ(α)ρ(ίων) σβεννυμένων τῶν οἰκήσεων οὐδὲν ὑπὲρ αὐτῶν χρεωστεῖς μοι. καὶ περὶ τοῦ ἐὰν πρὸ τῆς τοῦ τιμήματ(ος) καταβολῆς ἡ δεσποτ(εία) τοῦ πραθ(έν)τ(ος) στασιασθῇ, οὐ δίδω(σιν) ὁ ἀγοραστὴς τὴν τιμήν, εἰ μὴ λά(βῃ) ἀξιοπίστους ἐγγύας.* (13) *Καὶ ὅτι ὁ ἀγοραστὴς ὑπέρθε(σιν) ποιήσας εἰς τὴν τοῦ τιμήματ(ος) καταβολὴν μόνους τόκους δίδω(σι) καὶ οὐχ, ὅσα ἠδύνατο ὁ πράτ(ης) ἐκ τῶν τιμῶν κερδᾶναι.* (14) *Καὶ περὶ τοῦ μετὰ τὸ γενέσθαι τὴν πρᾶ(σιν) τὸ κέρδος καὶ τὴν ζημ(ίαν) ἀφορᾶν τὸν ἀγοραστήν. καὶ πότε ἐγκινδυνεύει ἢ μὴ ὁ πράτ(ης) ἐκνικηθ(έν)τ(ος) τοῦ πράγματ(ος). καὶ πε(ρὶ) τῆς πρὸ(ς) αὐτὸν παραγγελίας.* (15) *Καὶ ὅτι ὁ δόλ(ος) τοῦ πράτ(ου) τὸν πίστει ἀγαθῇ ἀγοράσαντα οὐδέποτε βλάπτει.* (16) *Καὶ ὅτι ὁ ἀγοραστὴς κινδυνεύει, εἰ μὴ ὑπέρθε(σιν) ὁ πράτ(ης) ἐποίησεν ἐν τῇ παραδό(σει)* (17) *ἢ αἱρετικὴ ἦν ἡ πρᾶ(σ)ις.* (18) *Καὶ τὸν θάνατον τῆς πραθ(εί)σ(ης) θεραπ(αί)ν(ης) τὸν μετὰ τὴν πρᾶ(σ)ιν ὁ ἀγοραστὴς ἐπιγινώσκει, μόνον εἰ μὴ ἀπό τινος πάθ(ους) ἀρχαιοτ(έ)ρ(ου) τῆς πρά(σεως) ἐτελεύτ(ησε). ζήτ(ει) βι. κδ' τί. α' κε. ις' οὗ ἡ ἀρχή Ἐὰν παράσχω σοι νομίσματα ἐπὶ τῷ δοῦναί μοι Πέτρον. καὶ βι. κε' τί. α' κε. λδ'* (=33) *οὗ ἡ ἀρχή Ἐὰν ὁ χρεώστης πωλή(σῃ) τῷ δανειστῇ τὸ ἐνέχυρον, καὶ κε. λε' οὗ ἡ ἀρχή Ἡ τιμὴ τοῦ πραθ(έν)τ(ος) ἐνεχύρου. καὶ βι. νη' τί. κγ' κε. ια'* (=12) *θέ. ζ' οὗ ἡ ἀρχή Εἰ δὲ μετὰ τὴν πρᾶ(σ)ιν πρὸ παραδόσεως καινοτομηθ(ῇ) καὶ κινήσω. καὶ θέ. η' καὶ θέ. θ' καὶ θέ. ι' καὶ θέ. ια', ιβ'. καὶ βι. ξ' τί. ιβ' κε. ιδ' οὗ ἡ ἀρχή Πρὸ παραδό(σεως) ὁ πράτ(ης) ἔχει τὴν περὶ κλοπῆς ἀγωγ(ήν). καὶ κε. οε'* (=74) *οὗ ἡ ἀρχή Ἐὰν τὴν καλῇ πίστει ἀγορασθεῖσαν κλέψῃ τις. περὶ δὲ ψευδολογιῶν τοῦ πράτ(ου) καὶ τέλους μὴ ἐκφωνηθ(έν)τ(ος) καὶ δόλ(ου) ζήτ(ει) τί. ι' τοῦ παρ(όν)τ(ος) βι. περὶ δὲ τοῦ ἐπιθυμήσαντος ἀλλότρ(ιον) καὶ ἥττονος ἀγοράσαντος τοῦτ(ο) ζήτ(ει) βι. ν' τί. ιδ'.*

---

24 cap. 11 tit. 23 libri 58 desideratur in Editionis fragmentis et Suppl., sed sententia congruit cum textu Tipuciti in annotatione Editionis typis expresso

---

2 *καταβάλλ(ῃ)* | 12 *πρά(σιν)* | 13 *ἐκκινδυνεύει* | 21 *σοι ii*

ΤΙ(ΤΛΟΣ) ζ'.

Περὶ δούλων ἔξω πιπρασκομένων τῆς πό(λεως) ἢ ἐὰν ἀνδράπ(ο)δ(α) πραθ(ῇ) ἐπὶ τοῦ ἐλευθερωθῆναι ἢ μὴ ἐλευθερωθῆναι.

(1) *Καὶ ποῦ δύναται συγχωρεῖν καὶ ἐν τίνι τόπῳ ὁ πωλήσας δοῦλ(ον) ἐπὶ τῷ διάγειν ἔν τινι τόπῳ. λέ(γει) γάρ, ὅτι ἐν Ῥώμῃ δύναται συγχωρεῖν.* (2) *Καὶ ὅτι ὁ ἐπὶ κωλύσει πραθεὶς ἀπὸ Ἰταλίας δύναται διάγειν ἐν τῇ ἐπαρχίᾳ, εἰ μὴ ῥητῶς ἐκωλύθ(η).* (3) *Καὶ ὅτι, ἐὰν πωλή(σω) δοῦλ(ον) ἐπὶ τῷ εἴσω ῥητοῦ χρό(νου) ἐλευθερωθῆ(ναι) καὶ μὴ ἐλευθερωθ(ῇ), γίνεται ἐλεύθ(ε)ρ(ος), εἰ ἐπὶ τῆς αὐτῆς ἔμεινα γνώμης.* (4) *Καὶ ὅτι ὁ ἥττων τῶν κ' ἐτῶν ἀνισχύρως πωλεῖ ἐπὶ τῷ ἐλευθερωθῆ(ναι) δοῦλ(ον), κἂν ὑπερτεθῆ(ναι) τὴν ἐλευθερίαν συμφωνή(σῃ) ἄχρι τοῦ τελειῶσαι τοὺς κ' χρό(νους).* (5) *Καὶ ὅτι, ἐὰν ὁ πραθεὶς δοῦλ(ος) κωλυθῇ τοῦ προ(αστείου), καὶ τῆς πό(λεως) κωλύετ(αι).* (6) *Καὶ περὶ τοῦ ἐὰν πωλήσας σοι θεράπ(αι)ν(αν) ἐπὶ ὅρῳ τοῦ μὴ ἐλευθερῶ(σαι) αὐτὴν ἢ μὴ προστῆναι, εἶτα παραβάντος σου τὸ σύμφωνον | ἐκνικηθ(ῇ) ἢ ἐυλεθερωθ(ῇ) ἡ δούλ(η), καὶ κινῶ τὴν ἐξ στιπουλ(ά)-* 83r *τ(ου), τὴν ἐξ ἐπ<ερωτήσεως> ἀγωγ(ήν) δηλαδή, τί γίνεται. ἀνά(γνωθι) τὰς διαστίξεις.* (7) *Καὶ περὶ τοῦ ἐὰν χωρὶς ἐπερωτή(σεως) συμφωνή(σῃ) ποινὴν λαβεῖν ὁ πράτ(ης), εἴγε ἐν Ἰταλ(ίᾳ) ὁ πραθ(εὶς) εὑρεθ(ῇ), ἐπὶ πόσῳ ποσῷ ἔχει ἀπαίτ(ησιν). καὶ ὅτι καλῶς συμφων(εῖ) ὁ πράτ(ης) πραθῆ(ναι) ἐπὶ κωλύσει διαγωγ(ῆς) τινος τόπου. καὶ γίνεται διαθέ(σεως) λόγος διὰ τὸ καλοθελές.* (8) *Καὶ περὶ τοῦ ἐὰν πωλή(σας) σοι δοῦλ(ον) εἴπω εἴσω χρό(νου) ἐλευθερῶ(σαι) καὶ μεταμεληθῶ καὶ οὐδὲν ἧττον ἐλευθερώσ(η)ς, οὐκ ἔχω τὴν ἀπαίτ(ησιν) τῆς τιμῆς. ἔσβεσται γάρ.* (9) *Καὶ περὶ τοῦ ἐὰν πωλή(σω) σοι δοῦλον, ὥστε μὴ διάγειν ἐν Ῥώμῃ καὶ ἐμαυτῷ [φυλάξω] χειρὸς ἐπιβολήν, εἶτα πωλή(σῃς) αὐτὸν ὑπὸ τὸν αὐτὸν ὅρον καὶ εὑρεθ(ῇ) ἐν Ῥώμῃ, τί γίνεται, ἀνά(γνωθι). ἔστι καὶ γὰρ ὠφέλιμον, διέξεισι οὖν, πότε ἁρμό(ζει) μοι ἡ τῆς χειρὸς ἐπιβολὴ καὶ πότ(ε) οὔ. καὶ περὶ τοῦ ἐὰν πωλή(σας) σοι συμφανή(σω), ἵνα, εἰ προστῇ ἡ δούλ(η), ἐλευθερωθ(ῇ), σὺ δὲ πωλῶν χειρὸς ἐπιβολ(ὴν) ἐφύλαξας σεαυτῷ, εἰ προστῇ, ἢ τοὐναντίον, ἐγὼ μὲν χειρὸς ἐπιβολ(ήν), σὺ δὲ ἐλευθερ(ίαν) συνεφώνησας, ἡ ἐλευθερ(ία) ἁρμό(ζει) προϊσταμένης αὐτῆς.* (10) *Καὶ περὶ τοῦ ἐὰν πωλή(σω) δούλους, ὥστε μετὰ θάνατόν σου ἐλευθ(έ)ρ(ους) εἶναι καὶ αὐτὸς μὴ ἐλευθ(ε)ρ(ώσῃς), πῶς μετὰ θάνατόν σου ἐλεύθ(ε)ρ(οι) γίνονται.* (11) *Καὶ περὶ δούλων καταφυγόντων εἰς σεβασμίους οἴκους καὶ δίκαια αἰτούντων, πῶς οὐ χρὴ περιορᾶν αὐτούς,*

---

3 **ἀνδράποδον** Ed. T.

ἀλλὰ διεκδικεῖν. (12) *Καὶ περὶ τοῦ πωλ(οῦν)τ(ος) οἰκέτ(ην) ἐπὶ τῷ μηδέποτ(ε) αὐτὸν ἐπιβῆναι τῆς πό(λεως), εἰ δὲ ἐπιβῇ, ἐξεῖναι αὐτῷ χεῖρας ἐπιβάλλειν καὶ ἀφαιρεῖσθαι αὐτόν, πῶς δύναται ὁ ἀγοραστὴς μήπω τοῦ συμφών(ου) παραβαθ(έν)τ(ος) ἐλευθερῶ(σαι) τὸν οἰκέτην. εἰ δὲ ὁ οἰκέτης ὁ ἐλευθερωθ(εὶς) ἐπιβῇ τῶν ἀπηγορευμένων αὐτῷ τόπων, παρὰ τῷ δημο(σίῳ) διεκδικεῖται εἰς διηνεκῆ δουλείαν. εἰ δὲ μὴ ἐλευθερωθ(ῇ) καὶ ἐπιβῇ, ὁ πράτ(ης) ἕλκει αὐτὸν εἰς δουλείαν.* (13) *Καὶ περὶ τοῦ πράτ(ου) φυλάξαντο(ς) ἑαυτῷ χειρὸς ἐπιβολ(ὴν) ἢ μόνον συμφωνήσαντ(ος) καὶ πρόστιμον ἐπερωτ(ήσαντος), πῶς καὶ αὐτὸ τὸ πρόστιμον ἀπαιτεῖ. καὶ ὁ δημό(σιος) ἐκδικεῖ τὸ ἀνδράπ(ο)δ(ον), δεῖ δὲ σκοπ(εῖν), εἰ γνώμῃ τοῦ δεσπότ(ου) ἤτοι τοῦ ἀγοραστοῦ ἐπέβη ὁ οἰκέτ(ης) τοῖς κεκωλυμένοις τόποις.* (14) *Καὶ περὶ τοῦ πραθ(έν)τ(ος) παρὰ τῶν ἰδίων δούλων ἐπὶ τῷ μηδέπ(οτε) ἐπιβῆναι τῆς ἰδίας πατρίδος, μεταπωληθ(έν)τ(ος) δὲ παρὰ τοῦ ἀγοράσαντ(ος) αὐτὸν καὶ παρ' αὐτοῦ ἐλευθερωθ(έν)τ(ος), δεομένου δὲ βα(σιλέως) ἐπὶ τῷ ἐπιβῆναι τῆς πό(λεως) ἐκείνης.* (15) *Καὶ ὅτι ὁ πραθ(είς), ἐφ' ᾧ μὴ ἐπιβῆναι πό(λεως) καὶ τῆς Ῥώμης ἐπιβῆναι κεκώλυται. καὶ ὁ κωλυθ(εὶς) ἐπαρχ(ίας) ἐπιβῆναι οὐδὲ τῆς Ἰταλ(ίας) ἐπιβαίνει.* (16) *Καὶ ὅτι ὁ ἐπὶ ὅρῳ ἐλευθ(ε)ρ(ίας) πιπρασκόμενος οἰκέτης ἐνισταμ(έ)ν(ου) τοῦ χρό(νου) τῆς ἐλευθ(ε)ρ(ίας) αὐτομάτως ἐλευθεροῦται. καὶ ὅτι χώραν ἔχει καὶ ἐπὶ τῶν δωρηθ(έν)τ(ων) ἐπὶ ὅρῳ ἐλευθ(ε)ρ(ίας), εἰ μὴ ἀνεκαλέσατ(ο) τὴν τοιαύτην πίστιν ὁ δωρησάμενος ἢ καὶ ἐτελεύτ(ησεν), ὁ δὲ δωρησάμενος οἰκέτ(ην) τινὶ οὐ δύναται τὸν τοιοῦτον πωλεῖν.* (17) *Καὶ περὶ πραθ(έν)τ(ος) οἰκέτ(ου) ἐπὶ ὅρῳ ἐλευθ(ε)ρ(ίας).* (18) *Καὶ περὶ τοῦ λαβόντος χρήματα, ἵνα τὴν ἰδίαν θεράπ(αι)ν(αν) ἐλευθερώ(σῃ) εἴσω χρό(νου) ῥητ(οῦ) καὶ μὴ ἐλευθερώσαντ(ος).* (19) *Καὶ ὅτι ὁ πραθ(εὶς) ἐπὶ τῷ μὴ ἐλευθερωθῆ(ναι), κἂν ἐλευθερωθ(ῇ), οὐ γίνεται ἐλεύθ(ε)ρ(ος), οὐδὲ εἰ διὰ προσώπων πολλῶν παρῆλθ(εν) ἡ δεσποτ(εία) τοῦ οἰκέτου. καὶ οὐδὲ τὸ ὀνόματι τοῦ δημο(σίου) ἐπερωτηθὲν πρόστιμον ἰσχὺν ἔχει.* (20) *Καὶ περὶ τοῦ πωλήσαντ(ος) κόρην ἐπὶ τῷ ἐλευθε|ρωθῆ(ναι). εἰ δὲ μὴ ἐλευθερ(ω-* 83^v *θῇ), πρόστιμον διδόναι. πε(ρὶ) τῆς τοιαύτης τοίνυν τῶν δούλων πρά(σεως) ζήτ(ει) βι. ζ' τί. η' κε. ς'* (=10,2) *οὗ ἡ ἀρχή Ὁ πωλή(σας) θεράπ(αι)ν(αν) ἐπὶ ὅρῳ τοῦ · εἰ προστῇ, ἐλευθ(έ)ρ(αν) εἶναι. περὶ δὲ τοῦ ἐλευθερωθῆ(ναι) ἢ μὴ ζήτ(ει) βι. κδ' τί. α' κε. ε' θέ. α' οὗ ἡ ἀρχή Ἐὰν δώσω σοι δοῦλον ἐπὶ τῷ εἴσω προθεσμ(ίας) ἐλευθερῶ(σαι). καὶ βι. λδ' τί. α' κε. ια'* (=8,6) *οὗ ἡ ἀρχή Ὁ ἀγοράζων αἰχμάλ(ω)τ(ον) καὶ οἶδε τὴν αὐτοῦ κατάστασιν γίνεται αὐτοῦ δεσπότ(ης). καὶ βι. με' τί. α' κε. ιδ' οὗ ἡ ἀρχή Ἐὰν δούλῃ ὑπέρ-*

---

14 *τῆς πατρίδος ἐκείνης* Ed. T. | 19-20 *ἐλευθερίας, μόνον εἰ μὴ* Ed. T.

---

15 *πραθ⁀* | 17-18 *πιπράσκων οἰκέτην* | 36 *κε, κδ'* pro *ιδ'*

θε(σιν) περὶ τὴν φιδεϊκομισσαρ(ίαν) ἐλευθ(ε)ρ(ίαν) παθοῦ(σα) συλλά(βῃ) καὶ τέκῃ. καὶ τούτ(ου) τοῦ βι. τί. ζ'.

ΤΙ(ΤΛΟΣ) η'.

Περὶ ἀγωγ(ῆς) πρά(σεως) καὶ ἀγορασ(ίας) καὶ πραγμάτων ἀλλοτρ(ί)ων μὴ ἐκποιουμένων. καὶ περὶ τῆς κεκωλυμένης πραγμάτων ἐκποιήσεως ἢ ὑποθήκης. καὶ περὶ τῆς τῶν κοινῶν πραγμάτων ἐκποιήσεως.

(1) Καὶ ὅτι ὁ πράτ(ης) μὴ παραδιδοὺς τὸ πρᾶγμα ἐνάγεται εἰς τὸ διαφέρ(ον), κἂν ὑπερβαίνῃ τὸ τίμημα τὸ διαφέρον. καὶ περὶ τοῦ ἐὰν πωλή(σω) σοι ἀγρὸν ἢ οἶκον, οἳ βεβάρηνται δουλείᾳ, τοῦτο τὸ βάρος ἀποκρυψάμενος οὐκ ἐκφεύγω τὴν ἐξέμπτο ἀγωγήν, μόνον, εἰ σὺ τοῦτο ὁ ἀγοραστὴς ἠγνόησας. εἰ γὰρ ἠπίστασο, ἐδόκεις μετὰ τοῦ οἰκείου βάρους καταδέχεσθαι τὴν οἰκείαν πρᾶ(σ)ιν. (2) Καὶ εἰ μὴ παραδίδω(σι) τὸ μέτρον ὁ πράτ(ης), ὃ ὑπέσχετο. καὶ πότε οὐ δοκεῖ ὁ πράτης σχολαίαν νομὴν παραδιδόναι τῷ ἀγοραστῇ, τυχὸν εἰ ἐπέμφθησαν εἰς νομὴν ληγατάριοι ἢ δανεισταὶ ἢ γαστήρ,(3) οὔτε ἥν τις ἀφελέσθαι τοῦ ἀγοραστοῦ δύναται. καὶ ὅτι ὁ ἀγοραστὴς ἐπερωτῶν αὐτῷ παραδοθῆ(ναι) τὴν νομὴν τὴν ἐξ στιπουλ(ά)τ(ου) οὐ κινεῖ περὶ τῶν καρπῶν, ἀλλὰ τὴν ἐξέμπτο. καὶ ὅτι ὁ πωλῶν μοι δουλείαν κατὰ τοῦ ἀγροῦ αὐτοῦ, περιττόν ἐστι παραδιδόναι μοι σχολάζουσαν νομήν. μόνον γὰρ ὀφείλ(ει) ἀσφαλίσασθαί με τὸν ἀγοραστὴν μὴ ἐμποδίζειν αὐτῷ κεχρῆσθαι. καὶ περὶ πρ(ά)τ(ου) οἴνου ὑπέρθε(σιν) ποιοῦντος, κατὰ ποῖον τρόπον δίδω(σι) τὸ τίμημα. καὶ ἀγοραστοῦ ὑπερθεμένου λαβεῖν τὸν οἶνον. περὶ διαπράσεως οἴνου καὶ τῶν ἐν αὐτῷ συμφώνων ζήτ(ει) βι. νγ' τί. β'. καὶ πῶς θεματίζεται ἡ ὑπέρθε(σις). (4) Καὶ περὶ τοῦ ἐὰν εἰδὼς ὁ πράτ(ης) ἀγνοοῦντί μοι πωλή(σῃ) δοῦλ(ον) κλέπτην ἢ ἐνοχῇ ὑποκείμενον, πῶς κινῶ τὴν ἐξέμπτο. καὶ πότε δύναμαι κινεῖν τὴν ἐξ στιπουλ(ά)τ(ου). καὶ περὶ τοῦ ἐὰν τὸ μέτρον τοῦ πραθ(έν)τ(ος) ἀγροῦ πρὸ(ς) τὸ ποσὸν τῆς ἐργασίας τῶν ζευγῶν λείπ(ῃ). (5) Καὶ περὶ κληρονόμου ἀξιωθ(έν)τ(ος) πωλῆ(σαί) τι, ποίαις

15-16 ὁ ἀγοραστὴς σχολαίαν Ed. T. | 21-22 αὐτῇ κεχρῆσθαι Ed. T. | 23 καὶ περὶ ἀγορ. Ed. T. | 23-24 περὶ διαπράσεως — τί. β' in margine cum signo ad οἶνον spectante | 25 ἐὰν ὁ πράτης Ed. T.

15-16 ὁ ἀγοραστὴς σχολαίαν; cf. Dig. 19, 1, 2: vacua possessio emptori tradita non intellegitur...

ἀγωγαῖς ἐνέχεται. καὶ περὶ τοῦ πλαστῶς ὑπονοήσαντ(ος) ἀξιωθῆ(ναι) ἢ ἐξ ὑπονοίας καταδίκ(ησιν) ὁμολογήσαντος. (6) *Κἂν ἠγνόησεν ὁ πράτ(ης) εἶναι ἧττον τὸ μέτρον, ἐνέχεται. καὶ περὶ τοῦ ἐὰν πωλή(σω) σοι οἶκον, ἐφ' ᾧ πρὸς τῷ τιμήματι ἀνορθῶσαί σε ἕτερον οἶκόν μου, ἔχω τὴν ἀπαίτ(ησιν) τοῦ τιμήματ(ος) καὶ ἐπὶ τῇ ἀνορθώ(σει), εἰ δὲ μὴ ὡρίσθη τίμημα, πρᾶ(σ)ις οὐ συνέστη. εἰ δὲ καὶ ἔδαφος πωλή(σω) σοι ῥητῷ τιμήματ(ι) καὶ ὥστε κτίσαι καὶ δοῦναί μοι μέρος τοῦ οἴκου, ἔχω τὴν ἀπαίτ(ησιν) τοῦ τιμήματ(ος) εἰς τὸ κτίσαι σε καὶ παραδοῦναί μοι. καὶ περὶ τοῦ ἐὰν τόπον εἰς τάφον πωλή(σῃς) μοι καὶ πρὶν ἢ θάψω, κτίσῃς πλησίον αὐτοῦ. καὶ περὶ τοῦ ἐὰν ἐλλείπῃ τῷ μέτρῳ τῷ λεχθέντ(ι) ἢ τῷ σταθμῷ. καὶ εἰ τοῦ σκεύους ἀκεραίου μὴ ὄντος ἀπ<ο>λέ(σῃ) τι ὁ ἀγοραστής, εἰ μὴ τὸ ἐναντ(ίον) συνέδοξεν, ὅπερ γίνεται καὶ ἐπὶ πίθων μισθώσεων. καὶ ὅτι, ἐὰν πωλή(σω) σοι δουλείαν καὶ μὴ δεσπόζῃς τοῦ | γείτ(ο)ν(ος) ἀγροῦ, ἀλλὰ κωλυθῇς, οὐκ ἐνάγεις μοι. εἰ* 84r *δὲ παραχωρή(σω) <σοι> καὶ ὁδὸν εἰς τὸν πωληθ(έν)τ(α) ἀγρόν, ἐνέχομαι κωλυομένου σου. καὶ ὅτι ὁ ὑπεξούσιος πωλῶν ἐνέχεται ὡς αὐτεξούσιος. καὶ περὶ πράτ(ου) ποιήσαντ(ος) δόλ(ον) περὶ τὸ πραθ(έν). καὶ περὶ τοῦ, πῶς ἐνέχεται, εἰ ᾔδει ὁ πωλῶν ἀλλότρ(ιον) ἢ ὑποκείμενον, κἂν συμφων(ήσῃ) μηδὲν ἐκ τούτ(ου) παρασχεῖν.* (7) *Καὶ περὶ τοῦ πωλοῦντος ἀγρὸν καὶ ὑπεξελόντος χρῆ(σιν) καρπῶν, ἣν ὤφειλ(εν) ἔχειν, εἰπόντος αὐτὴν Πέτρου εἶναι οὖσαν Παύλου ἢ μηδενός, τί γίνεται.* (8) *Καὶ περὶ τοῦ ἐὰν ὀφείλων δουλεύοντα τὸν ἀγρὸν παραδοῦναί σοι, παραδώσω ἐλεύθ(ε)ρ(ον). καὶ εἰ ἀντὶ ἐλευθ(έ)ρ(ου) δουλεύοντα παραδώσω ἐλεύθερον. καὶ εἰ ἀντὶ ἐλευθ(έ)ρ(ου) δουλεύοντα παραδώσω.* (9) *Καὶ περὶ τοῦ, ποίᾳ ἀγωγ(ῇ) ἐνάγεται ὁ ἀγοράσας ἐκ τοῦ ἀγροῦ μου λίθους.* (10) *Καὶ ὅτι ἔσθ' ὅτε περὶ τοῦ αὐτοῦ πράγμ(α)τ(ος) κατὰ τοῦ αὐτ(οῦ) προσώπ(ου) δύο ἁρμόζουσιν ἀγωγαί, ὡς, ὅτε χωρὶς ἐμοὶ καὶ Πέτρῳ χωρὶς πωλή(σῃς) τὸ αὐτὸ καὶ κληρονομήσω Πέτρου καὶ εἰ ὑπεισέλθω τὴν κληρονομ(ίαν), πρὶν ἢ κινή(σω) τὴν ἀπαιτοῦσαν τὸ πρᾶγμα ἀγωγ(ήν), πῶς οὐ κινῶ δύο ἀγωγ(άς). καὶ εἰ ὁ πράτ(ης) κληρονομή(σει) τοῦ πράτ(ου), δύο χρεωστεῖ ἐκνική(σεις).* (11) *Καὶ περὶ πρ(ά)τ(ου) ὀφείλ(ον)τ(ος) φυλάττειν τὰ συμφωνηθ(έν)τ(α). εἰ δὲ μηδὲν συνεφωνήθ(η), τὰ φυσικῶς ἐνόντα τῇ ἀγωγ(ῇ) γίνεται, οἷον ἀναγκάζεσθαι τὸν πράτην παραδιδόναι τὸ πρᾶγμα. καὶ δεσπότ(ης) μὲν ὢν δεσπότ(ην) ποιεῖ τὸν ἀγοραστ(ήν), εἰ δὲ μὴ δεσπόζει, ἐνέχεται ἐπὶ τῇ ἐκνική(σει). καὶ τίνα περιέχονται τῇ τὸ πρᾶγμα ἀπαιτούσῃ ἀγωγῇ. καὶ πῶς ὁ ἀγοραστὴς δεσπότ(ην) ὀφείλ(ει) ποιεῖν τῶν ἀργυρίων τὸν πράτ(ην). καὶ περὶ τοῦ, τί ὀφεί-*

---

2 *ἐν ὑπονοίᾳ καταδίκης* Ed. T. | 11 *ἀπώλετό τι* Ed. T. | 19 *εἶπεν αὐτὴν* Ed. T.

---

12 *γίνεται ἐπὶ πίθων καὶ μισθώσεων* | 13 *κωλύεσθαι* | 19 *εἰπὼν*

λ(ει) ἐπερωτᾶσθαι ὁ πωλῶν, ἄλογ(α) ζῷα. καὶ περὶ τοῦ ἀνασχομ(έ)ν(ου) πωλῆ(σαί) μοι τὴν γεγαμημένην ὡς παρθ(έ)ν(ον). καὶ περὶ τοῦ, ποία ἀγωγ(ὴ) κινεῖται ἐπὶ τῇ ἀναλή(ψει) τοῦ ἀρραβῶνος ὑποχωρησάντων τῶν μερῶν ἐκ τῆς συμφωνηθείσης πρά(σεως) καλοθελῶς. καὶ ποῖαι ἀγωγαὶ ἁρμόζουσιν ἐπὶ τῷ δοθέντ(ι) ἀρραβῶνος χάριν δακτυλιδίῳ πρό(ς) ἀνάλη(ψιν) αὐτοῦ, τῶν τιμῶν καταβληθέντων. καὶ περὶ τοῦ, τι ὁ ἀλλότρ(ιον) πωλῶν δοῦλ(ον) ὁμολογεῖν ὀφείλ(ει) μὴ ὑποκεῖσθαι αὐτὸν κλοπῇ ἢ ἐνοχῇ καί, εἰ μὴ παραδώσει ἢ ἀσφαλίσητ(αι) εἰς τὸ ἐξεῖναι τὸν ἀγοραστὴν ἔχειν, τί ὑφίσταται. καὶ περὶ τοῦ, εἰ ὤφειλ(εν) ἧττονος αὐτὸν ἀγορά(σαι), εἰ δ' ἂν ἔγνω, ὅτι οὐκ ἐπερωτᾶται περὶ ἐκνική(σεως) ὁ πράτ(ης). καὶ ὅτι ἑνὸς ἐκ τῶν ἀντιφωνηθ(έν)των αἰτιῶν τοῦ δούλου εὑρεθ(έν)τ(ος) καταδικάζεται μὴ δυνάμενος ὑπεξελεῖν τυχὸν ιε' διά τὸ μὴ εἶναι κλέπτην αὐτόν, ὅτε ἦν ἄξιος λ' νομισμάτων. ταῦτα εἰς τὸ μέσον τοῦ κε(φαλαίου) κεῖται. καὶ ἀνά(γνωθι) μετ' ἐπιστασίας. καὶ ὅτι ὁ ἀγοραστὴς τῇ ἐνοχῇ τοῦ πραθ(έν)τ(ος) οἰκέτου καταδικασθεὶς οὐ λαμβά(νει) πλέον ἢ ὅσον παρέσχε. καὶ ὅτι ὁ πράτ(ης), εἰ μὴ ποιή(σῃ) τὸν ἀγοραστὴν ἐν τῷ περὶ τῆς νομῆς δικαστηρίῳἐπικρατέστερον, οὐ δοκεῖ παραδιδόναι. καὶ ὅτι ὁ πράτ(ης) διδοὺς τὸ διπλοῦν οὐδὲν ἀπαιτεῖται προφά(σει) τῶν ἄλλων τῶν ἐξ ἔθους τῇ πρά(σει) συμφωνουμένων. καὶ ζήτ(ει) τούτ(ου) τοῦ τί. κε. ιγ' οὗ ἡ ἀρχὴ Ἐὰν συνεφωνήθ(η) δοῦναι τὸν ἀγοραστὴν τὸ διπλοῦν. ἀνά(γνωθι) βι. κε' τί. ζ' κε. ξ' (=61) *οὗ ἡ ἀρχὴ Ὁ πωλῶν ἀγρὸν ἐὰν ὑπόθηται ἄλλον. καὶ τί. ι' τούτ(ου) τοῦ βι. κε. λα' οὗ ἡ ἀρχὴ Ὁ πράτ(ης) εἰ μὴ θέλει τὸν δοῦλ(ον) ἀναλαβεῖν. ζήτ(ει) καὶ θέ. θ' † τοῦ αὐτοῦ ι' τί. οὗ ἡ ἀρχὴ Κατὰ συνέχειαν ἐπερωτᾶται ἡ εἰς τὸ διπλοῦν ἀγωγή. καὶ εἰ πωλή(σῃς) μοι, ἐφ' ᾧ εἴσω λ' ἡμερῶν ἐπιζητῆσαι τὴν ἀσφάλ(ειαν) καὶ εὑρεθ(ῇ) ἀλλότρ(ιον) ἀγνοοῦντός σου ἢ γινώσκοντός σου, ποίαις ἀγωγαῖς ὑπό|κειται. καὶ περὶ δανειστοῦ μὴ ἐνεχομένου εἰς τὸ ἀποδοῦναι* **84ᵛ**
τὸ τίμημα ἐκνικηθ(έν)τ(ος) τοῦ πραθ(έν)τ(ος). καὶ πότε ὑπόκειται ἐνεχόμενος, ἀνά(γνωθι) εἰς τὸ μέσον τοῦ κε(φαλαίου). καὶ πότ(ε) περὶ δόλ(ου) ὀφείλ(ει) ὁμολογεῖν. εἰ δὲ μὴ ὁμολογή(σῃ), ἐνέχεται. καὶ ὅτι πάντα τὰ περὶ τοῦ πιπρασκομένου πράγματος εἰρημένα κρατεῖ καὶ ἐπὶ τῇ προσθή(κῃ), πλὴν τοῦ εἰς τὸ διπλοῦν ἐνέχεσθαι τὸν πράτ(ην) ἐκνικωμένης αὐτῆς. καὶ περὶ τοῦ, εἰ πωλή(σω) σοι, ἐφ' ᾧ μήτε ἐμὲ μήτε τὸν κληρονόμον μου ἢ τὰ

3 *ἐπὶ ἀναλήψει* Ed. T. | 6 *τῶν τιμημάτων καταβλ.* Ed. T. | 11 *αἰτίᾳ* Ed. T. | 19 initium citatum cap. 13 tit. 8 libri 19 in fragmentis Editionis et Suppl. desideratur | 22 initium citatum cap. 31 tit. 10 libri 19 desideratur in fragm. Editionis, extat in Suppl. | 22 commemoratio capituli desideratur ; initium citatum deest in tit. 10 libri 19, in quo saepius de duplo agitur | 27 *τοῦ πράγματος* Ed. T.

2 *ποῖα* | 9 *ἀγορᾶ(σαι)* | 12 *λ' ii* | 26 *ἀνεχομένου*

φερόμενα εἰς ἐμὲ πρόσωπα ἐμποδίσαι σοι ἔχειν, καὶ ἄλλος τὸ πραθὲν ἐκνική(σῃ), πῶς ἐνέχομαι εἰς μόνην τὴν ἀνάδοσιν τοῦ τιμήμ(α)τ(ος), εἰ μὴ ἄρα συνεφώνη(σα) μηδὲν παρασχεῖν ἐκνικωμένου τοῦ πράγμ(α)τ(ος) ἐν ἀγνοίᾳ τοῦ πιπράσκειν ἀλλότρ(ιον), ὁ γὰρ εἰδὼς καὶ τοῦ συμφών(ου) ὄντος ἐνέχεται. καὶ ὅτε ἐπὶ τῆς ἁλείας καὶ θήρας ποτὲ κερδαίν(ει) ὁ πράτ(ης) τὸ τίμημα. καὶ ὁ ἀγοραστὴς οὐ κτᾶται τὸ πρᾶγμα. (12) *Καὶ περὶ τοῦ ἐὰν βόλ(ον) ἁλείας ἀγοράσω) καὶ οὐ βούλεται ὁ ἁλιεὺς ἁλιεῦσαι ἢ ἁλιεύσας οὐ δίδωσί μοι τὸ ἁλιευθέν, τί γίνεται.* (13) *Καὶ πε(ρὶ) τοῦ ἐὰν πωλή(σω) σοι ἀσθενῆ θρέμματ(α) ἢ ξύλ(α) ἐπίσαθρ(α), εἴτε ἀγνοῶν εἴτε γινώσκων, ἐπὶ ποίοις ἐνέχομαι ἢ σύ. καὶ περὶ τοῦ πωλή(σαν)τ(ος) φυγάδα ἢ κλέπτην εἰδότος φυγάδα εἶναι ἢ ἀγνοοῦντος, ἐπὶ τίσιν εὐθύνεται. καὶ ποῖον λέγεται ἐπὶ τούτ(ου) τοῦ θέ(ματος) διαφέρον. καὶ περὶ τοῦ ψευδῶς εἰπόντος τὸν δοῦλ(ον) πεκούλ(ιον) ἔχειν ἢ τεχνίτην, τί δίδω(σι). καὶ περὶ τοῦ ἀφελομένου τινὰ τῆς κληρονομίας καὶ πείσαντος τὸν κληρονόμον πωλῆ(σαι) αὐτῷ τὴν κληρονομ(ίαν), εἰς τί εὐθύνεται. καὶ περὶ τοῦ ἐὰν ὁ πράτ(ης) εἰδὼς διαφόροις τέλεσιν ὑποκεῖσθαι τὸν ἀγρὸν ἐν τῇ ὠνῇ μόνον τὸ ἓν ἐκφωνή(σῃ) καὶ ἐπαγάγῃ, εἴ τί ἐστιν ὑποκείμενον τῷ ἀγρῷ δημό(σιον) ἢ ἐμφύτευμα ἢ τέλεσμα, τοῦτο διδόναι τὸν ἀγοραστήν, πῶς ἐνέχεται διὰ τὸν δόλ(ον) τοῦ μὴ ῥητῶς συμφωνηθῆναι. καὶ εἰ ἐπίτροπός ἐστιν ὁ τοῦτο ποιή(σας) ἐν ὀρφανικῇ πρά(σει), πότε ἐνέχεται ὁ ἐπίτροπ(ος) καὶ πότε ὁ ἄνηβος. καὶ περὶ κληρονόμ(ου) τοῦ ἀγοραστοῦ μὴ διδόντος ὁλόκληρον τὸ τίμημα ἢ καὶ αὐτοῦ τοῦ ἀγοραστοῦ ἢ μέρους δοθ(έν)τ(ος) παραδοθ(ῇ) αὐτῷ τὸ πρᾶγμα καὶ ἐκνικηθ(ῇ), πότε οὐ δύναται κινεῖν ὁ ἀγοραστὴς ἤτ(οι) πρὸ τῆς καταβολ(ῆς) τοῦ τιμήματ(ος), κατὰ τοῦ πράτου. καὶ πῶς ὅλον τὸ τίμημα οὐ δύναται ζητεῖν, ἀλλὰ τὸ μέρος, ὃ κατέβα(λε), τοῦ πράγματ(ος), ὡς εἴρηται, ἐκνικηθ(έν)τ(ος). καὶ ὅτι πεπείρων τῶν καρπῶν ὄντων εἰ ἀγρὸς πραθ(ῇ), τῷ ἀγοραστῇ ἁρμό(ζουσι), τῶν δὲ μισθωθ(έν)των ἀγρῶν καὶ οἴκων τὰ τέλη. ὁ μισθώσας λαμβά(νει) καὶ τὰ ἐνοίκια, εἰ μὴ τὸ ἐναντ(ίον) συνεφωνήθ(η). καὶ περὶ τοῦ ἐάν τις βλάβη μετὰ τὸ σύμφωνον προσγέγονε τῷ πιπρασκομένῳ πράγματ(ι), πῶς δίδω(σι) τῷ ἀγοραστῇ τὰς ἀγωγ(ὰς) ὁ πράτ(ης), οἷον τὴν περὶ μελλούσης ζημίας, τὸν ἀκουίλ(ιον) ἤτοι τὴν περὶ ζημίας, τὴν περὶ βίας ἢ λάθρ(α) ἀγωγ(ὴν) καὶ τὰς λοιπάς, τυχὸν ἐκ τῶν κτηνομίσθων, εἴτε ἔλαβε ναῦλον δουλειῶν τῶν δούλων. καὶ περὶ τοῦ ἐὰν ἀγρὸν ἐνενή-*

---

18 *τοῦτο δοῦναι* Ed.T. | 20-21 *καὶ περὶ τοῦ ἐὰν κληρον.* Ed.T. | 33 *ναῦλα δουλευόντων τ. δούλων* Ed. T. |

---

5 *βολὸν* | 21 *διδοῦντος* | 24 *κατὰ τοῦ ἀγοραστοῦ;* cf. Ed. T. | 28 *κατὰ τὰ ἐν οἴκῳ;* corr. Heimbach in Ed. T. ex Basil. 23, 3, 25 | 33 *ναύλων*

(κον)τ(α) ζευγῶν ἐργασίαν ὡς ρʹ ἔχοντ(α) πωλή(σω) καὶ πρὶν ἢ μετρηθ(ῇ), προστεθ(ῇ) διὰ προσχώσεως δέκα ζευγῶν, εἰδὼς ἢ ἀγνοῶν. καὶ περὶ τοῦ ἐὰν πωλή(σ)ῃς μοι ἀγρὸν ἀλλότρ(ιον) καὶ κτήσωμαι αὐτὸν ἐξ ἐπικερδοῦς αἰτίας. καὶ τί ἀπαιτεῖται ὁ πράτ(ης) ἐπὶ τοῖς δεδομένοις μετὰ τοῦ πραθ(έν)τ(ος). καὶ περὶ τοῦ ἐὰν ἔχων μετὰ Πέτρ(ου) | κοινὸν ἀγρὸν πωλή(σω) 85r *σοι τὸ μέρος μου. καὶ πρὸ παραδό(σεως) ἀναγκασθῶ τὸ πε(ρὶ) διαιρέ(σεως) τοῦ κοινοῦ δικαστήριον ὑποδέξασθαι καὶ προσκυρωθ(ῇ) τῷ Πέτρῳ ἢ ἐμοί, τί γίνεται. καὶ ποία ἀσφάλ(εια) γίνεται περὶ τῆς ἐκνική(σεως) τῆς ἐπὶ τῷ μέρει μου ἢ τῷ τοῦ Πέτρου. καὶ εἰ διῃρέθ(η) εἰς δῆλα κλίμ(α)τ(α). καὶ περὶ τοῦ ἐὰν δωρήσηταί τι τῷ δούλ(ῳ) πρὸ παραδό(σεως) ὁ πράτ(ης), πῶς δίδω(σιν) αὐτὸ τῷ ἀγοραστῇ καὶ τὰς προσπορισθείσας κληρονομ(ίας) καὶ τὰ ληγάτ(α), εἰ μὴ περὶ τούτων ἔδοξεν ὑπερθεῖναι τὴν παράδοσιν. καὶ ὅτι ἡ ἐξ βένδ(ι)τ(ο) ἀγωγ(ὴ) ἁρμό(ζει) τῷ πράτ(ῃ) κατὰ τοῦ ἀγοραστοῦ εἰς ἀπαίτ(ησιν) τῶν ὀφειλόντων αὐτῷ δοθῆναι, τυχὸν τιμήματος καὶ τῶν μετὰ τὴν παράδο(σ)ιν τόκων καὶ τῶν περὶ τὸ πρᾶγμα δαπανηθέντων, τυχὸν εἰς τὴν ἀνόρθω(σιν) τοῦ οἴκου ἢ δούλ(ου) νοσοῦντος ἐπιμέλειαν ἢ ἐπιστήμ(ην) καὶ τὰ λοιπά. καὶ εἰ συνεφωνήθ(η), ὥστε τοῦ ἀγοραστοῦ πλείονος τὸ πρᾶγμα πωλοῦντος παρασχεῖν τῷ πράτ(ῃ) τοῦ περιττοῦ μοῖραν. καὶ περὶ τοῦ ἐὰν κατὰ ἐντολ(ήν) μου πωλή(σῃς) πρᾶγμά μου καὶ ἀσφαλίσῃ. καὶ ὅτι, ἐὰν συνεφωνήθ(η) δοῦναι τὸν ἀγοραστὴν τὸ διπλοῦν, εἰ μὴ ἐντὸς προθεσμίας καταβάλ(ῃ) τὸ ὑπὲρ τὸν νόμιμον τόκον, οὐκ ἔρρωτ(αι). καὶ περὶ τοῦ ἐὰν συμπαίζοντος τοῦ προκουράτ(ω)ρ(ός) μου ἀγοράσῃς πρᾶγμά μου, ἐνάγεις μοι εἰς τὸ ἐμμεῖναι τῇ πρά(σει) ἢ ἀναχωρῆ(σαι) αὐτῆς. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ νέον περιγράφοντος. καὶ περὶ τοῦ, εἴ τις παρὰ ἀνήβου ἀγορά(σῃ) χωρὶς αὐθ(εν)τ(είας) τοῦ ἐπιτρόπ(ου), αὐτὸς μόνος, οὐ μὴν ὁ ἄνηβος ἐνέχεται. καὶ περὶ τοῦ ἐὰν ὁ πράτ(ης) ὑπεξέλ(ῃ) οἴκη(σιν), ἐφ' ᾧ νέμεσθαι πρό(ς) τινα χρό(νον) τὸν μισθωτὸν ἔνοικον. καὶ εἰ βλάψει τὸν οἶκον ὁ μισθωτός. καὶ ποῖά εἰσι τοῦ πραθ(έν)τ(ος) ἢ ληγατευθ(έν)τ(ος) οἴκου.* (14) *Καὶ τίνα οὐκ εἰσιν αὐτῷ ἡνωμένα.* (15-16) *Καὶ τίνα τῶν ζῴων εἰσὶ τοῦ ἀγροῦ.* (17) *Καὶ τίνα κατορωρυγμ(έν)α καὶ ὅμως οὐκ εἰσὶ τοῦ ἀγροῦ ἢ τοῦ ἐποικίου. καὶ περὶ ἀγροῦ πραθ(έν)τος ἢ ληγατευθ(έν)τ(ος), ποῖα δοκεῖ πωληθῆναι ἢ ληγατευθῆναι ἐν αὐτῷ ὄντα, ὡς ὁ φυλλὰς καὶ ἡ κόπρος, οὐ μὴν τὰ ξύλ(α). καὶ ποῖά εἰσι τοῦ οἴκου ἢ μή. τὰ δὲ ἀποσπασθέ(ν)τ(α), εἰ μὴ ῥητῶς ἐπράθ(η), ἔχει ὁ πράτ(ης) ἀγωγ(ὴν) εἰς τὸ λαμβάνειν ταῦτα, οἷον ψάμμον, κριτάριον ἤτ(οι) γύψον καὶ τὰ τμηθέντα δένδρα καὶ τὰ κάρβωνα. καὶ περὶ τῶν χάριν*

6 *ἀνάγκη ἦν* Ed. T. | 21 *καταβάλῃ τὸ τίμημα ὑπὲρ τὸν ν. τ.* Ed. T.

2 *προσχόσεως* | 13 *βενδτʹ* | 21 *καταβάλλ(ῃ)* | 24 *παραγράφοντος*

διηνεκοῦς αἰτίας ἐν τοῖς οἴκοις ὄντων καὶ οὐ προσκαίρως, πῶς εἰσι τοῦ οἴκου, ὡς οἱ σωλ(ῆ)ν(ες) οἱ διὰ τὸ διηνεκὲς εἶναι τεθέντ(ες) καὶ οἱ μόλιβδοι καὶ τὰ λοιπά, ἃ καὶ ἀνά(γνωθι). καὶ τὰ συνεχόμενα τῇ γῇ, εἰ κεκόλληνται. καὶ ποῖα οὔκ εἰσι τοῦ οἴκου. (18) *Καὶ περὶ σάρπων, πότε δοκοῦσιν εἶναι τοῦ οἴκου. φησὶ γάρ, ἐὰν οἱ πόδες αὐτῶν εἰσι κεχωσμένοι τῇ γῇ. εἰ δὲ ὑπὲρ γῆν εἰσιν, [ἐν] τοῖς ἀποσπασμένοις καὶ τεμνομένοις εἰσίν, ὥσπερ καὶ αἱ διὰ τὸν οἶκον εὐτρεπισθεῖσαι κέραμοι καὶ μήπω τεθεῖσαι, οὐ μὴν αἱ ἀφαιρεθεῖσαι πρὸ(ς) τὸ πάλιν ἀποτεθῆ(ναι).* (19-20) *Καὶ ὅτι τῇ ὀνομα(σίᾳ) τῆς πρά(σεως) καὶ τῆς ἀγορα(σίας) καὶ τῆς μισθώσεως καὶ ἐκμισθώσεως ἀναμὶξ κεχρήμεθ(α).* (21) *Καὶ περὶ τοῦ ἐὰν ἡ δούλ(η), ἧς ὁ τοκετὸς ἐπράθ(η), στεῖρα ἦν ἢ ὑπὲρ ν' ἔτη καὶ τοῦτο ἀγνοή(σῃ) ὁ ἀγοραστής. καὶ περὶ τοῦ ἐὰν εἰδὼς ὁ πράτ(ης) μὴ εἴπῃ περὶ τῶν δημο(σίων) ἢ ἠγνόησε. καὶ περὶ τοῦ ἐὰν περὶ τὸ πιπρασκόμενον σῶμα συναινῶμεν, περὶ δὲ τὴν ποιότ(η)τ(α) διχονοοῦμεν. καὶ τί δίδω(σιν) ὁ πράτ(ης) ἐμποδίσας τὴν παράδοσιν. φη(σὶ) γὰρ διδόναι αὐτὸν τὸ διαφέρον. καὶ πῶς | ἐντα<ῦθα> θεματίζει τὸ διαφέρον.* **85v** *καὶ περὶ τοῦ ἐὰν μὴ παραδοθ(έν)τ(ος) τοῦ σίτου οἱ δοῦλ(οι) τοῦ ἀγοραστοῦ λιμῷ διαφθαρῶ(σι), πῶς λαμβά(νει) τὴν τιμὴν τοῦ σίτ(ου) καὶ οὐ τῶν δούλων. καὶ ὅτι καλῶς πωλ(ῶ) ἀγρὸν ἐπὶ τῷ εἶναι ἐμοὶ μεμισθωμένον. λογίζεται γὰρ τοῦτο εἰς μέρος τοῦ τιμήματ(ος). εἰ δὲ συμφωνή(σῃ) ὁ πράτ(ης) αὐτῷ μόνῳ πωλῆ(σαι) τὸν ἀγοραστήν, ὅπερ ἠγόρα(σε), καὶ πραθ(ῇ) ἄλλῳ, χώρα τῇ κατὰ τοῦ ἀγοραστοῦ ἀγωγ(ῇ). καὶ ὅτι ἐὰν πωλῶν οἶκον ὑπεξεῖλον οἴκη(σιν) ἢ ἐτήσια ι' νομίσματα, ἄδειαν ἔχει ὁ ἀγοραστὴς ποτὲ τὰ νομίσματα, ποτὲ τὴν οἴκησιν διδόναι.* (22) *Καὶ εἰ μὴ περὶ τὴν ποιότ(η)τ(α), ἀλλὰ περὶ τὸ μέτρον ψεύσεται ὁ πράτ(ης).* (23) *Καὶ περὶ τοῦ ἐὰν πωλή(σας) δοῦλ(ον) μετὰ τοῦ πεκουλ(ίου) αὐτ(οῦ) ἐλευθερώ(σω) αὐτόν, εἰς τί ἐνέχομαι. ἀνά(γνωθι) διαστίξεις.* (24) *Καὶ περὶ τοῦ ἐὰν ἀγορά(σω) τὸν δοῦλ(όν) σου παρὰ κλέπτου καλῇ πίστει καὶ αὐτὸ(ς) ἀγορά(σῃ) δοῦλ(ον) ἀπὸ τοῦ ἁρμόζοντός σοι πεκουλ(ίου) καὶ παραδοθ(ῇ) μοι. καὶ πότε ἐνέχεται ὁ ἀγοραστὴς τοῦ πωλοῦντος δούλ(ου) καὶ ὁ δεσπότ(ης) αὐτοῦ ἄχρι τοῦ πεκουλ(ίου).* (25) *Καὶ περὶ τοῦ ἀγοράσαντος τὴν ἐν ἀμπέλοις σταφυλ(ὴν) καὶ κωλυομένου λαβεῖν ταύτην. καὶ εἰ μετὰ τὸ παραδοθῆναι κωλύεται πατῆσαι ἢ τὸν μοῦστον λαβεῖν, ποίας ἀγωγ(ὰς) ἔχει.* (26) *Καὶ περὶ τοῦ εἰπόντ(ος) ἐν τῇ πρά(σει) ἔχειν ρ' πίθους ἐν τῷ ἀγρῷ καὶ προστίθεσθαι αὐτοὺς ἐν τῇ πρά(σει), πῶς χρεωστεῖ αὐτούς, κἂν μηδὲν εἶχεν ἐκεῖ.* (27) *Καὶ πᾶσαν τὴν προσθήκην ὁλόκληρο‹ν› καὶ ὑγιᾶ παραδίδω(σιν) ὁ πράτ(ης) ἐπὶ πίθων.* (28) *Καὶ περὶ τοῦ ἐὰν ὁ ἀγοραστὴς*

---

1 *προσκαίρου* Ed. T. | 5 *κατορωρυγμένοι τῇ γῇ* Ed. T. | 5-6 *ὑπὲρ τὴν γῆν* Ed. T. | 35 *ἐπὶ τῶν πίθων* Ed. T.

---

1 *προσκαίρος* | 18 *πωλῶν* | 22 *ι' ii* | *τὰ ii*

συμφωνή(σῃ) τι ποιεῖν καὶ ὁμολογήσῃ ποινὴν ἐκ τοῦ μὴ ποιῆσαι καὶ ἐναχθεὶς περὶ τῆς ποινῆς δώσει, ὅσον ἐστὶν ἡ ποινή. μετὰ δὲ ταῦτα ἐναγόμενος περὶ τῶν συμφώνων ἀγωγῶν, πῶς ἔχει παραγραφήν. εἰ δὲ πρῶτον διὰ τῆς περὶ τῶν συμφώνων ἀγωγ(ῆς) ἡ πο νὴ ἀπαιτηθ(ῇ), ἀναιρεῖται τῷ αὐτῷ δικαίῳ ἡ περὶ αὐτῆς τῆς ποινῆς ἀγωγ(ή), εἰ μή τι πλέον τῷ πράτ(ῃ) διαφέρει. (29) Καὶ περὶ τοῦ ἐὰν ἐν ἀγνοίᾳ ἀγορά(σω) παρὰ τοῦ κληρονόμου τὸ ληγατευθέν μοι ὑπὸ αἵρεσ(ιν). (30) Καὶ περὶ τοῦ ἐὰν δοῦλον μετὰ τοῦ πεκουλ(ίου) πωλή(σω) σοι καὶ πρὸ παραδό(σεως) κλέψῃ τι παρ' ἐμοῦ. καὶ εἰ μετὰ τὸ παραδοθῆναι τὸν Παῦλον ἡ κλοπὴ γέγονε καὶ εἰ τὸ χρυ(σίον) ἀγνοῶν κλοπιμαῖον εἶναι λάβῃς αὐτὸ ὡς πεκουλιάρ(ιον) καὶ δαπανήσῃς, ἐνέχῃ μοι. καὶ περὶ τοῦ ἐν εἰδή(σει) πιπράσκοντ(ος) τῷ ἀγνοοῦντι ἀλλότρ(ιον), πῶς καὶ πρὸ ἐκνική(σεως) ἐνέχεται. καὶ ἐφ' οἷς οὐκ ἐνέχεται ὁ μὴ ἐν εἰδή(σει) πωλῶν τὸ ἀλλότρ(ιον). περὶ δὲ τοῦ ἐν εἰδή(σει) ἀγοράσαντ(ος) τὸ ἀλλότρ(ιον) ἢ ὑποκείμ(ε)ν(ον) ζήτ(ει) τοῦ ιθ' τί. τὸ κη' (=25) κε. οὗ ἡ ἀρχή Ὁ ἐν εἰδή(σει) ἀλλότρ(ιον) ἢ ὑποκείμενον. ζήτ(ει) καὶ τὸν α' τί. καὶ τοῦ να' βι. τί. δ' [κε. δ'] διαλεγόμ(ε)νον πε(ρὶ) τοῦ ἐν εἰδή(σει) ἀγοράσαντ(ος) φυγάδ(α). καὶ πότ(ε) κρατεῖ ἢ μὴ ἡ <πρᾶσ>ις ἢ ἀντιστρέφεται. (31) Καὶ περὶ τοῦ ἐὰν ἀπὸ τοῦ πράτ(ου) βιαίως ἀφαιρεθ(ῇ) ὁ πραθεὶς δοῦλος, πῶς μόνας ἐκχωρεῖ κινδύνῳ αὐτοῦ τὰς ἀγωγ(άς). καὶ περὶ τοῦ, ὅτι δύο ἀγορασάντων, εἴτε ἀπὸ ἑνὸς εἴτε ἀπὸ διαφόρων μὴ δεσποζόντων καλῇ πίστει ἀγοράσουσιν, ἐπικρατέστερός ἐστιν ὁ πρῶτος παραλαμβάνων. εἰ δὲ ὁ εἷς ἀπὸ δεσπότ(ου) ἀγορά(σῃ), προτιμᾶται. ζήτ(ει) περὶ τούτ(ου) καὶ τοῦ ξ' βι. τί. μα' κε. κα' οὗ ἡ ἀρχή Ὁ τὸ αὐτὸ πρᾶγμα δύο τισὶν ἐξ ὁλοκλήρ(ου). (32) Καὶ περὶ τοῦ ἐὰν ὁ πράτ(ης) περιγρά(φῃ) τὸν ἀγοραστὴν ἐν τῷ σταθμῷ ἢ ὁ ἀγοραστὴς τὸν πράτ(ην). (33) Καὶ περὶ τοῦ ἐὰν ἑνὶ τιμήματ(ι) πολλὰ πράγματα πραθ(ῇ) καὶ ἐκνικηθ(ῇ) πάντ(α) ἤ τινα ἢ τὰ τιμήματ(α) τῶν μὴ ἐκνικηθέ(ν)των ἀφαιρεθ(ῇ). (34) Καὶ ἐὰν ἐν τῇ ποιότ(η)τ(ι) τῆς γῆς γένηται περιγρα(φή). (35) Καὶ ὅτι ἀγρὸν ὡς ἐλεύθ(ε)ρ(ον) ἠγόρα(σα) καὶ ἐναχθεὶς τῇ περὶ παρόδου καὶ ἐλασίας ἀγωγῇ ἤτ(οι) παραγγελίας ἡττήθ(ην), ποία ἀγωγὴ χώραν ἔχει, ἐπὶ τοῖς συμφώνοις, ἀνάγνωθι. (36) Καὶ ὅτι ὁ πράτης πρὸ παρα- 86r δό(σεως) μὴ ἐπερωτῶν τὴν περὶ μελλούσης ζη<μίας> ἀγωγὴν ἐνέχεται τῇ περὶ τῆς πράσ(εως) ἀγωγῇ. χρεωστεῖ γὰρ φυλακὴν καὶ ἐπιμέλειαν. (37) Καὶ ὅτι δόλ(ος) ἑτέρου τὸν καλῇ πίστει ἀγοραστὴν οὐ βλάπτει. ὁ δὲ τοῦ πράτου δόλος οὐκ ὠφελεῖ αὐτόν. (38) Καὶ περὶ τοῦ, εἰ πωλῶν δοῦλ(ον) εἶπον ἔχειν αὐτὸν πεκούλιον δέκα νομισμάτ(ων) καὶ εὑρεθῇ πλέον ἔχων

13-17 περὶ — ἀντιστρέφεται in margine sine signo

---

12 προεκνικήσεως Ed. T. | 22-23 τοῦ ζ' βι. | 24 παραγρά(φῃ) | 27-28 παραγρα(φή) | 29 ποῖα | 35 δέκα ιͅ

ἢ ἧττον. Καὶ ὅτι ὁ ἀγοραστὴς ἐμποδίσας τῇ παραδό(σει) τοῦ δούλου ἐπιγινώσκει τὰς τροφὰς αὐτοῦ. ζήτει βι. να' τί. α'. καὶ ποῖά εἰσι μέρος τοῦ οἴκου, ὡς οἱ ἀπὸ καστέλλ(ου) τὸ ὕδωρ ὑπὸ γῆν εἰς τὸν οἶκον εἰσάγοντες σωλῆνες καὶ τὰ ὑφαμμένα καὶ ἐγκεκλεισμένα τοῖς τοίχ(οις). (39) Καὶ περὶ τοῦ ἐὰν πωλῶν ἀγρὸν οὕτως εἶπον· εἴ τι ἐντὸς τῶν ὅρων νέμομαι, τοῦτο πέπρατ(αι). ἢ οὕτως. ἐάν τισι δουλεῖαι κεχρεώστηνται, κεχρεωστήσθωσαν. ἐὰν εἰδώς τινας ἔχειν μέρη τοῦ ἀγροῦ ἢ δουλείας ἐπ' αὐτῷ γενικῶς ἐπὶ περιγραφῇ τοῦ ἀγοραστοῦ ὑπεξεῖλον,ἐνέχομαι τῇ περὶ τῆς πρά(σεως) ἀγωγῇ. (40) Καὶ εἰ ἀγοράσας πεφυτευμένα δένδρα, κόψει αὐτὰ ὁ πράτης καὶ πωλή(σει), ποίαν ἀγωγὴν ἔχω. (41) Καὶ περὶ πράτ(ου) μὴ φανεροῦντος τὸ τέλος τοῦ ὕδατος. (42) Καὶ περὶ τοῦ ἐὰν ἔχων ἀγροὺς δύο εἴπω αὐτοὺς ἀνὰ ἑκατὸν ζευγῶν γῆν ἔχειν καὶ πωλή(σω) αὐτοὺς ἑνὶ τιμήμ(α)τ(ι) καὶ εὑρεθῇ ὁ εἷς ἔχων ρ' δέκα καὶ ὁ ἄλλος ἐνενήκοντα ζευγῶν γῆν. ἢ ἕνα πωλῶν ἀγρὸν εἴπω τὸν ἀμπελῶνα πεντήκ(οντα) ζευγῶν καὶ τὸ σπόριμον πεντήκοντα καὶ εὑρεθῇ ὁ μὲν ἀμπελὼν ἑξήκοντα, τὸ δὲ σπόριμον τεσσαράκοντα. ἢ δύο ὑπὸ ὅρον ἐλευθ(ε)ρ(ίας) πωλῶν εἴπω ὀφείλειν αὐτοὺς δοῦναι ἀνὰ δέκα νομίσματα καὶ εὑρεθῇ ὁ μὲν κελευσθεὶς δοῦναι ι', ὁ δὲ πέντε. ἐπὶ τούτων πάντων ψηφίζεται ἡ ζημ(ία) τῷ κέρδ(ει) καὶ τὸ κατὰ ποσὸν ἢ ποιὸν ἐλλεῖπον δίδοται τῷ ἀγοραστῇ. (43) Καὶ ὅτι ἐληγατεύθησάν μοι τρεῖς δοῦλοι ἐπὶ τῷ ἐλευθερῶ(σαι) αὐτοὺς καὶ τὸ ληγάτον οὐκ ἠθέλησα καταδέξασθαι, οὐ μέντοι τῆς ἀπαιτ(ήσεως) ἠλευθέρω(σα) τὸν κληρονόμον. ὁ κληρονόμος ἐπώλησέ [σοι] τοὺς τρεῖς μὴ μνημονεύσας τῆς ἐλευθερ(ίας), τὸν ἕνα ἠλευθέρωσας καὶ οἱ δύο γνόντες τὰ περὶ αὐτῶν εἰρημένα τῷ διαθεμένῳ ἐνήγαγον τῷ κληρονόμῳ καὶ κατὰ ψῆφον ἠλευθερώ(θησαν) παρ' αὐτοῦ, καὶ ὁ ἐλευθερωθεὶς οὐ θέλει τὸν ἀγοραστὴν ἔχειν π(άτρ)ωνα, τοίνυν τὴν περὶ πρά(σεως) ἀγωγὴν ἔχεις, ἐπὶ τῷ παρὰ σοῦ ἐλευθερωθ(έν)τ(ι) μεθοδεύουσαν τὸ τίμημα καὶ τὴν δαπάνην τῆς διδασκαλ(ίας) καὶ πᾶν διαφέρον εἰ μὴ ἄμετρός ἐστιν ἡ δαπάνη. (44) Οὐ γὰρ ὀφείλ(ει) περαιτέρ(ω) τοῦ διπλοῦ ζημιοῦσθαι. (45) Καὶ πότε καὶ πῶς ἀπομειοῦται τὸ τίμημα, τυχόν, ἐὰν παρὰ τῷ ἀγοραστῇ χείρων ὁ ἐκνικηθεὶς ἐγένετ(ο). καὶ εἰ τοὺς πραθέντας διεκδικεῖ τις μὴ εἰς ἐλευθ(ε)ρ(ίαν), ἀλλ' εἰς δουλείαν, πῶς λαμβάνει ὁ ἀγοραστὴς διὰ παραγραφῆς ἀπὸ τοῦ ἐκνικῶντος τὰς δαπ(ά)νας καὶ τοὺς μισθούς, ὥσπερ ὅτε πωλήσω σοι ἔδαφος καὶ μετὰ τὸ κτίσαι σε ἐκνικᾶται καὶ πῶς. εἰ δὲ μὴ νέμεται ὁ ἀγοραστής, ἐνέχεται ὁ πράτ(ης), ὥσπερ ὅτε εἰδ(ὼς) ἀλλότρ(ιον) πωλή(σῃ). καὶ πῶς ἐπιλογὴν ἔχει ὁ παρὰ σοῦ ἐλευθερωθ(εὶς) ἢ σοῦ ἢ τοῦ

3 καστέλλου ὕδωρ Ed. T. | 9 ἀγοράσω Ed. T. | 22-23 ἠλευθέρωσεν Ed. T.

2 ζήτει - τί. α' in margine cum signo ad παραδό(σει) lin. 1 spectante | 7-8 παραγραφῇ | 16-17 δέκα ii | 23 γνῶντες | 33 κτίσαι με

κληρονόμον εἶναι ἀπελεύθ(ε)ρ(ος). καὶ εἰ τὸν κληρονόμον ἐπιλέξηται ἢ σέ, τί γίνεται. (46) *Καὶ περὶ τοῦ πωλήσαντος ἀλλότριον καὶ κληρονομήσαντος τοῦ δεσπότου.* (47) *Καὶ ὅτι λαβὼν ὁ πράτ(ης) τὰ χρήματα ὡμολόγη(σε) ποινήν, εἰ μὴ τὸ πραθὲν ἐμπροθέσμιος παράσχῃ καὶ δεδωκὼς μέρος ἐτελεύτ(ησε) τῆς ποινῆς βεβαιωθείσης καὶ οὔτε οἱ κληρονόμοι τὸ λοιπὸν δεδώκα(σι).* (48) *Καὶ ὅτι ἀγρὸν ἐπώλησά σοι ὡς εἶχεν αὐτὸν ὁ κληροδότ(ης) μου καὶ παραδέδωκά σοι αὐτὸν μὴ ὑποδείξας τοὺς ὅρους, τί γίνεται,* | 86v *ἀνά(γνωθι).* (49) *Καὶ ὅτι,* [ε] *εἰς περιγραφὴν τοῦ ἀγοραστοῦ ὁ πράτ(ης) ὑπέβαλέ τινα μισθούμ(ε)νον τὸ πραθέν, ὃν καὶ εἰς πενταετ(ίαν) ἐνηγγυήσατ(ο), ἐνέχεται τῇ περὶ πρά(σεως) ἀγωγῇ. καὶ ὅτι εἰ καὶ μετὰ ὑπέρθε(σιν) καταβληθ(ῇ) τὸ κε(φάλαιον), οὐκ ἀπαιτεῖται τόκος.* (50) *Καὶ περὶ ἀγοραστοῦ πρὸ παραδό(σεως) ἀπὸ φιλοτιμ(ίας) νόμ(ου) τῶν τιμῶν ἐλευθερωθ(έν)τ(ος), πῶς οὐκ ἀναγκάζεται παραδιδόναι. εἰ δὲ παραδώ(σῃ) καὶ τὸ τίμημα, οὐκ ἀπαιτεῖ καὶ τοῦ πράγματ(ος) ἐκπίπτει.* (51) *Καὶ περὶ τοῦ ἐὰν ὁ πράτ(ης) καὶ ἀγοραστὴς ὑπέρθεσιν ποιήσωσι περὶ τὴν παράδο(σιν) τοῦ οἴνου, μόνος ὁ ἀγοραστὴς ἐμποδίσαι δοκεῖ. καὶ πε(ρὶ) τοῦ ἐὰν δόξῃ τὸν ἀγοραστὴν καταβαλεῖν τῇ ἀρχῇ τοῦ μηνὸς καὶ ὁ πράτ(ης) ἐμποδίσῃ ἐμπροθέσμως λαβεῖν, τί γίνεται.* (52) *Καὶ ὅτι ἀγρὸν εἰς ἐνέχυρον ἔχων καὶ τὰς ἀποδείξεις τῶν δημοσίων αὐτοῦ, πέπρακάς μοι ἐπὶ τῷ καταβαλεῖν με τὰ ὑπὲρ αὐτοῦ κεχρεωστημένα δημό(σια). τοῦτον προφά(σει) τῶν ἤδη καταβληθέντων οἱ τὰ δημό(σια) μισθωσάμενοι πεπράκα(σι) καὶ ὠνησάμην αὐτόν. καὶ ἔχω κατὰ σοῦ τὴν περὶ τῆς πρά(σεως) ἀγωγ(ὴν) εἰς τὸ προκομίσαι τὰς ἀποχάς. καὶ περὶ τοῦ ἐὰν ὑποκείμενον πρᾶγμα ὑπὸ διατίμη(σιν) παράσχῃ τις ἐν προικὶ τῆς ἰδίας θυγατρ(ὸς) καὶ ἀποθά(νῃ), τί γίνεται. καὶ περὶ τοῦ ἐὰν πωλή(σω) σοι στρατείαν ἐπὶ τῷ λαβεῖν σε καὶ τὰ κεχρεωστημένα μοι ἐκ φιλοτιμίας, πῶς ἐκχωρῶ σοι, ἃς ἔχω περὶ τούτ(ου) ἀγωγ(άς). Καὶ ὅτι τὸν πρὸ τοῦ πυλῶνός μου παρ' ἐμοῦ γενόμενον μῶλον συμπεριλαμβά(νω) τῷ πραθ(έν)τ(ι) σοι οἴκ(ῳ).* (53) *Καὶ περὶ τοῦ ἐὰν ἔδοξε λαβεῖν τὸν ἀγοραστὴν τὸ μίσθωμα τῆς πραθείσ(ης) οἰκίας, ποῖον λαμβά(νει). καὶ ὅτι ὁ ἐν τῷ ἀγρῷ τάφος οὐ φυλάττεται χωρὶς συμφών(ου) τῷ πράτ(ῃ), εἰ μὴ ἄρα δημο(σία) ὁδὸς εἰς αὐτὸν ἄγει. καὶ περὶ τοῦ ἐὰν ὁ πράτ(ης) ὑπεξέλῃ τὰς οἰκήσεις τῶν οἰκούντων ἢ τὸν χρό(νον) τῆς ἑκάστου μισθώ(σεως), ποίας ὑπεξαιρεῖν δοκεῖ.* (54) *Καὶ περὶ τοῦ ἐὰν ὁ πράτη(ς) κελεύσῃ τῷ πραθέντ(ι) δούλῳ πρᾶξαί τι καὶ ἐκ τούτ(ου) κλασθ(ῇ), πότε ἐνέχεται ἢ μή. καὶ περὶ τοῦ εἰ εἴπῃ ὁ πράτ(ης) ὀγδοήκ(ον)τ(α) πίθους κεχωσμέν(ους) ἐν τῷ ἀγρῷ προστίθεσθαι*

---

15 *καὶ ὁ ἀγοραστὴς* Ed. T.

2-3 *κληρονομήσαντα* | *ἐνεγγυήσατο* | 19 *ἐπὶ τὸ καταβαλεῖν* | 23 *ὑποδιατίμησιν*

αὐτῷ καὶ εὑρεθ(ῶ)σ(ι) πλείους ἢ ὀγδοήκ(ον)τ(α) καὶ ἐξ αὐτῶν τινες τετρυπημένοι, τί γίνεται.(55) *Καὶ ὅτι καὶ τὸν παρὰ πολεμίοις ὄντα δοῦλον καλῶς τις πωλεῖ. καὶ ὅταν δυνηθ(ῇ), δίδω(σιν) αὐτόν.* (57) *Καὶ ὅτι ἐπώλη(σέ) τις ἀγρὸν ἔχων ἐν αὐτῷ καρποὺς ἀποκειμένους καὶ συνεφώνη(σε) τὸν ἀγρὸν πραθῆ(ναι) νομίσμασι ρ', νομίσας δὲ χρεωστεῖν ν' ἐξ ἑτέρου συναλλάγματος μόνα λαβὼν ν' λόγῳ τιμήματος καὶ καταλογισάμενος ἑαυτῷ τὰ ἕτ(ε)ρα ν' τὰ δῆθεν παρ' αὐτοῦ κεχρεωστημένα ἐποίη(σε) σύμφων(ον), ἐν ᾧ ἀπετάξατο τῇ περὶ τοῦ τιμήματ(ος) ἀγωγ(ῇ) καὶ ἀντιγρά(φει) πρὸς ταῦτα ἐκ δεήσεως αὐτοῦ ὁ βασιλ(εύς). καὶ ἀνά(γνωθι). λέγει γάρ, ὅτι δικαίως ἐπλανήθ(η) καὶ οὐ μὴ ἰσχύσει τὸ σύμφωνον. καὶ σκόπ(ει) τὴν δικαίαν πλάνην, ποταπή ἐστιν, ἣν ἐν τῷ [β' κε. τοῦ] α' τί. τοῦ ι' βι. διέξεισι.* (58) *Καὶ ὅτι ἐπὶ τοῦ περὶ τῶν ἀρραβώνων συμφών(ον) προσωπικὴ μόνον τίκτεται ἀγωγ(ὴ) τοῖς συναλλάσσουσι.* (59) *Καὶ ὅτι ὁ πράτ(ης) μὴ παραδιδοὺς τὸ πρᾶγμα ἐπὶ τῷ διαφέροντι ἐνέχεται.* (60) *Καὶ ὅτι ἀπὸ τοῦ καιροῦ τῆς παραδό(σεως) τοῦ πράγματ(ος) τόκον χρεωστεῖ τοῦ τιμήματος.* (61) *Καὶ ὅτι ἡ ἐπὶ τῇ πρά(σει) ἀγωγ(ὴ) οὐκ ἐπὶ τῷ ἀνατρέψαι τὸ συνάλ|λαγμα κινεῖται, ἀλλ' ἐπὶ τῷ βεβαιῶ-* 87r *σαι καὶ πληρῶ(σαι) διὰ τῆς τοῦ τιμήμ(α)τ(ος) ἀπαιτ(ήσεως).* (62) *Καὶ περὶ τοῦ πωλήσαντος δούλους καὶ λαβόντος τίμημα ἐκ τοῦ πεκουλ(ίου) αὐτῶν, τί γίνεται.* (63) *Καὶ περὶ ἀγοραστοῦ μηδέπω εἰσαχθέντος εἰς τ(ὴν) τοῦ πράγματος νομὴν τὰς ὑπὲρ αὐτοῦ συντελείας καταβαλόντος, ὡς δῆθεν παραδό(σεως) ἐπὶ αὐτὸν γενομένης, ὅτι οὐκ ἔστιν ἱκανὸν τοῦτο, δεσπότ(ην) αὐτὸν ποιῆσαι. εἰ δὲ κινεῖ κατὰ τοῦ πράτ(ου), οὐκ εἰσακουσθ(ή)τ(ω), εἰ μὴ τὸ τίμημα καταβάλλ(ει).* (64) *Καὶ περὶ τοῦ ἐὰν ὁ πράτ(ης) ἐλάττονα εἶπε τὴν τοῦ ἀγροῦ συντέλειαν εἴτε εἰδὼς εἴτε ἀγνοῶν, εἰς τί ἐνάγεται. καὶ εἰ ἠπίστατ(ο) τὸ μέτρον ὁ ἀγοραστής.* (65) *Καὶ περὶ πράτ(ου) μὴ παραδιδόντος κατὰ καιρὸν τὸ πρᾶγμα.* (66) *Καὶ ὅτι ὁ πράτ(ης) πρὸ τῆς παραδό(σεως) δύναται ἐλευθερῶσαι τὸ πραθὲν ἀνδράποδ(ον), μετὰ δὲ τὴν παράδο(σ)ιν οὐδαμῶς. ζήτ(ει) καὶ βι. ιε' τί. α' κε. ϟβ'* (=91) *οὗ ἡ ἀρχὴ Ὁ δούλ(ην) πωλή(σας) καὶ παραδούς. ἀνά(γνωθι) τοῦ β' τί. τοῦ ν' βι. κε. δ' ὡρ(αῖον) οὗ ἡ ἀρχὴ Εἰ ἐπερωτηθῶ σοι ἢ πωλή(σω) σοι δοῦλ(ον).* (67) *Καὶ ὅτι μετὰ τὸ συνάλλαγμα οἱ καρποὶ τῷ ἀγοραστῇ διαφέρουσι καὶ τὸ τῶν συντελειῶν βάρος αὐτῷ ἀνήκει. καὶ ὁ πράτ(ης) τὸ τίμημα μόνον καὶ τοὺς ἐξ ὑπερθέ-*

---

3 cap. 56 Editionis deest in Tipuc. | 5 *νομίσας χρεωστεῖν* Ed. T. | 9 *ἐπλανήθης* Ed. T. | 23 *εἰσακουσθήσεται* Ed. T.

1-2 *τετρημμένοι* ; cf Dig. 19, 1, 54 1, ubi de doliis integris et infossis tractatur | 2 *καλῶς τι* | 5 *ἰί ρ'* | 16 *ἐπὶ τὸ ἀνατρέψαι* | 28-30 *ζήτει — δοῦλον* in margine cum signo ad *οὐδαμῶς* l. 28 spectante | 28 *δοῦλ* | 32 *ἀνείκει*

(σεως) τόκ(ους) ὀφφικ(ίῳ) τοῦ δικαστοῦ δύναται ἀπαιτεῖν. (68) Καὶ τί ὀφείλ(ει) ἐπερωτᾶν ὁ ἀγοραστὴς τῶν οἰκετῶν περὶ τούτων, τυχὸν παραδοθῆναι αὐτῷ τοὺς τοιούτους, μὴ εἶναι φυγάδας, ὑγιεῖς εἶναι καὶ μὴ τυγχάνειν ῥέμβους. (69) Καὶ τί ἀπαιτεῖ μετὰ τὸ πληρωθῆναι τὴν πρᾶ(σ)ιν ὁ ἀγοραστής. λέγει δέ, ὅτι λαμβά(νει) τὰς γονὰς τῶν θρεμμάτων, ὁ δὲ πράτ(ης) ἀπαιτεῖ τὰ γενόμενα καλῇ πίστει δαπανήματα. (70) Καὶ ὅτι ὁ ἀγοραστὴς ἀδίκως ἀποσπασθέντος ἐξ αὐτοῦ τοῦ πραθ(έν)τ(ος) αὐτῷ πράγματος οὐδεμίαν ἀγωγ(ὴν) ἔχει κατὰ τοῦ πράτ(ου). (71) Καὶ πε(ρὶ) τοῦ ἐν εἰδή(σει) ἀγοράσαντος τὸ ἀλλότρ(ιον) ἢ ἐν ἀγνοίᾳ, πότε οὐ γίνεται δεσπότ(ης) τοῦ πράγματ(ος) καὶ πότε αὐτὸς μὲν διὰ χρή(σεως) κυριεύει, ὁ δὲ πράτ(ης) κατέχεται τῷ δεσπότῃ. καὶ περὶ τοῦ πωλήσαντ(ος) ἀλλότρ(ιον) καὶ γράψαντος ἐν τῷ τελευτᾶν κληρονόμον τὸν τοῦ πράγματος δεσπότ(ην). (72) Καὶ περὶ ἀνδρὸς πιπράσκοντος πρᾶγμα τὸ τῇ γυναικὶ διαφέρον καὶ ὑπογραψάσης καὶ τῆς γυναικός, πῶς οὐ προκριματίζεται ἡ γυνή. (73) Καὶ περὶ τοῦ ἐάν τις ὡς ὑπὲρ ἐμοῦ πράγματ(α) ἐμὰ εἰς καταβολ(ὴν) δώσει τῷ δανειστῇ μου, δύναμαι τὸ χρέος μου προσαγαγὼν τῷ δανειστῇ διεκδικῆ(σαι) τὰ ἐμὰ πράγματα. (74) Καὶ περὶ τοῦ ἐὰν ὁ πατὴρ τοῦ αὐτεξουσίου παιδὸς πωλή(σῃ) κἀκεῖνος μὴ κληρονομή(σῃ) τὸν πατέρα μηδὲ ὁ ἀγοραστὴς κυριεύσῃ, ἀνατρέπει τὴν πρᾶ(σ)ιν ὁ παῖς. περὶ τούτου τοίνυν ἀνά(γνωθι) τὰς παραδοθ(εί)σ(ας) σοι παραπομπὰς ἐν τῷ η′ τί. τοῦ θ′ βι. καὶ ἐν τῷ α′ τί. τοῦ ιε′ βι. (75) Καὶ περὶ τοῦ, ὅτι, ἔνθα νόμος τὴν ἐκποίησιν τοῦ πράγματ(ος) κωλύει εἴτε ὁ διαθέμενος εἴτε σύμφωνον τῶν συναλλαττόντων τοῦτο ποιή(σῃ), κωλύεσθαι τὴν ἐκποίησιν καὶ τὴν τῶν ἀνδραπόδων ἐλευθερίαν καὶ τῆς χρή(σεως) τὴν παραχώρη(σ)ιν ἢ τὴν ὑποθήκ(ην) καὶ τὴν ἐμφύτευσιν καὶ τὸ εἰς ἐνέχυρον δίδοσθαι. (76) Καὶ ὅτι ὁ κοινωνὸς οὐ καλῶς πωλεῖ τέλειον ὅλον τὸ πρᾶγμα. καὶ τί δύναται ὁ ἕτερος κοινωνὸς ποιεῖν. (77) Καὶ ὅτι ὁ δημό(σιος) τὸ ἐπίκοινον πρᾶγμα πωλή(σας) δεσπότ(ην) ἐξ ὁλοκλήρου ποιεῖ τὸν ἀγοραστήν. κἂν τὸ πάντη ἀλλότρ(ιον) πωλή(σῃ), δεσπότην ποιεῖ τὸν ἀγοραστήν. ἐνάγεται δὲ αὐτὸς παρὰ τοῦ λέγοντος ἔχειν δίκαιον δεσποτ(είας) ἢ ὑποθ(ήκης). τὸ δὲ περιελθεῖν εἰς τὸν δημό(σιον) τὸ τίμημα τοῦ πραθ(έν)τ(ος) ἀλλοτρ(ίου) πράγματος | βεβαιοῖ τὴν πρᾶ(σιν). τότε γὰρ ἔχει τὸ προ- 87v νόμ(ιον) ὁ δημό(σιος), ὅτε ἰδικῶς αὐτὸς τὸ πρᾶγμα πωλή(σῃ). ἀνά(γνωθι) περὶ δημοσιακῆς πρά(σεως) βι. ι′ τί. ιθ′ καὶ τὰς ἐν αὐτῷ παραπομπ(άς). (78) Καὶ ὅτι ἕκαστος τὸ ἐπιλαγχάνον ἑαυτῷ ἐξ ἀδιαιρέτ(ου) μέρος καὶ τῷ κοινωνῷ καὶ τῷ ἐξωτικῷ δύναται πωλῆ(σαι). (79) Καὶ ὅτι ὁ κοινωνὸς τέλειον τὸ πρᾶγμα οὐ δύναται ἐκποιεῖν, εἰ δὲ ἐκποιή(σῃ), ὁ ἕτερος κοινωνὸς τὸ ἴδιον μέρος μόνον ἐκδικεῖ, οὐ μὴν καὶ τοῦ κοινωνοῦ, κἂν στρατι(ώ)τ(ης)

---

28 κἂν γὰρ τὸ πάντη Ed. T. | 37 μέρος μὲν ἐκδ. Ed. T.

---

4 ῥεμβούς | 32 αὐτῷ τὸ πρᾶγμα

ἐστί. (80) *Καὶ ὅτι ὁ μείζων τῶν κε΄ ἐνιαυτῶν πωλή(σας) τὸ ἐπίκοινον πρᾶγμα ἐξ ὁλοκλήρου, ἐκδικουμένου τοῦ μέρους τῶν κοινωνῶν κατέχεται τῇ ἐπὶ τῇ πρά(σει) ἀγωγ(ῇ) εἰς τὸ διαφέρον. περὶ τοίνυν πρά(σεως) διαλεγόμενος ὁ νομοθ(έ)τ(ης) καὶ τοῦ διαφέροντος λόγον ἔθετο, λέγων συνεχῶς εὐθύνεσθαι, τοῦτο μὲν τὸν πράτ(ην) μὴ παραδιδοῦντ(α) τὸ διαφέρον, τοῦτο δὲ τὸν ἀγοραστήν. τὸ γοῦν διαφέρον τί δηλοῖ, ζήτ(ει) βι. β΄ τί. β΄ κε. ρπα΄* (=175) *οὗ ἡ ἀρχὴ Τὸ διαφέρον δηλοῖ. περὶ τοίνυν τοῦ διαφέροντος καὶ τῶν ἐν αὐτῷ λεπτομερῶν διαστίξεων ζήτ(ει) τὰς παραδοθείσας σοι ἐν τῷ α΄ τί. θ΄ βι. παραπομπάς. περὶ δὲ πρά(σεως) μεταξὺ ἀνδρὸς καὶ γυναικὸς ζήτ(ει) βι. λ΄ τί. α΄ [κε. ε΄] θέ. γ΄ οὗ ἡ ἀρχὴ Εἰ μὲν μὴ ἔχων πρόθ(εσιν) ὁ ἀνήρ. καὶ κε. ξη΄* (=88) *οὗ ἡ ἀρχὴ Ἐὰν μὴ ταῖς ἀληθ(είαις) πιπράσκων ὁ ἀνήρ. καὶ βι. ι΄ τί. δ΄ κε. λη΄ οὗ ἡ ἀρχὴ Ἀγοράσας τις ὑπὸ ἐμπρόθεσμον ὅρον. περὶ τοίνυν πρά(σεως) ἐκκλησιαστικῶν πραγμάτων ζήτ(ει) βι. ε΄ τί. β΄.*

ΤΙ(ΤΛΟΣ) θ΄.

Περὶ πράγμ(α)τ(ος) ὑπὸ διατίμησιν διδομένου τινὶ ἐν πρά(σει).

(1) *Καὶ ὅτι ἡ διατίμησις ποιεῖ τὸν κίνδυνον τοῦ λαμβάνοντος. καὶ εἰ μὴ δώσει τὸ πρᾶγμα, δίδω(σι) τὴν διατίμησιν.* (2) *Χώρα δὲ τῇ ἀγωγῇ, κἂν μισθὸς δοθ(ῇ).*

ΤΙ(ΤΛΟΣ) ι΄.

Περὶ ἀγορανόμου παραγγελίας. καὶ πε(ρὶ) ἀναδοτ(έου) πράγμ(α)τ(ος). καὶ περὶ ἀναλύ(σεως) πρά(σεως) καὶ ἥττονος τιμῆς διδομένης.

(1) *Καὶ ὅτι ὀφείλ(ει) ὁ πράτ(ης) προλέγειν τὰ πάθ(η) καὶ τὰ αἴτια. καὶ εἰ φυγὰς ἢ ῥέμβος ἐστὶν ἢ ἐνοχῇ ὑπόκειται ἢ κεφαλικόν τι ἥμαρτ(εν) ἢ πρὸ(ς) ἐπιβουλ(ὴν) αὐτοῦ πέμπραχ(εν) ὁ δοῦλος. ταῦτα δὲ μὴ λέγων ἢ περὶ τὰ λεγόμενα ψευδόμενος εἰς τὸ διαφέρον ὑπόκειται καὶ λαμβά(νει) τὸν δοῦλ(ον).*

---

12 *ἀγοράσας ὑπὸ* Ed. | 26 *αὐτοῦ* Ed. T.

---

13 *βι. δ΄ τί. β΄ ;* lib. 4 de monasteriis unum tantum titulum exhibet | 25 *ῥεμβὸς*

καὶ εἴ τι προσεπορίσθη αὐτῷ ἢ ἐκαρπώθη μετὰ τὴν παράδοσιν ἢ χείρων αὐτὸς ὁ δοῦλ(ος) γέγονεν ἐκ σπουδῆς τοῦ ἀγοραστοῦ καὶ τῆς φαμιλίας αὐτοῦ. καὶ εἰ ᾔδει ὁ πράτ(ης) τὰς αἰτ(ίας) ἢ μὴ ᾔδει, τί δεῖ γενέσθαι. καὶ ὅτι χώραν ἔχει τὸ παρὸν διάταγμα ἐπὶ πολιτικῶν καὶ ὀρφανικῶν πρά(σεων), οὐ μὴν καὶ δημοσίων. καὶ ὅτι τὰ προφανῆ πάθη καὶ τὰ αἴτια προλέγειν οὐκ ἔστιν ἀναγκαῖον. καὶ τί ἐστι πάθ(ος) καὶ ποῖα αἴτ(ια) εἰσάγουσι τὴν ἀντιστρέφουσαν, ὡς τὸ τῇ χρή(σει) ἢ τῇ ὑπουργίᾳ ἐμποδίζον πάθος, οὐ μὴν ὁ ἐλαφρὸς πυρετὸς ἢ ὁ παλαιὸς τεταρταῖος ἢ τὸ μικρὸν τραῦμα. ταῦτα γὰρ οὐ δεῖ προλέγειν. οὐκ ἔστιν ἐμπαθ(ὴς) ὁ ἱεροπλήκτης, ὁ κωφός, ὁ δεισιδαίμων, ὁ ὀργίλος ἢ καταφρονητής. καὶ ὅτι περὶ τῆς ὑγείας τοῦ σώματος, οὐ μὴν τῶν ψυχικῶν αἰτίων ὀφείλ(ει) | προλέγειν ὁ πράτ(ης), εἰ μὴ ἄρα τὸ 88r
ψυχικὸν ἀπὸ σωματικοῦ συνέβη πάθ(ος), ὡς τὸ φρενητικόν. ἀπὸ πυρετοῦ γὰρ γίνεται. καὶ τὰ αἴτια δὲ τῆς ψυχῆς, ἐὰν εἰδὼς ὁ π<ράτ>ης μὴ προείπῃ, ἐνέχεται τῇ κατὰ τῆς πρά(σεως) ἀγωγ(ῇ). καὶ εἰ γέγονεν ἐμπαθὴς ὁ δοῦλ(ος) ἢ ὑπαίτιος, νῦν δὲ οὐκ ἔστι τοιοῦτος, οὐ δεῖ προλέγειν. καὶ ὅτι τὰ σωματικὰ αἴτ(ια), οὐ μὴν τὰ ψυχικὰ τὴν ἀντιστρέφουσαν ἐπεισάγουσι. τὰ γὰρ ψυχικὰ μειοῦσι τὸ τίμημα, ὡς ὁ κατὰ βλακείαν θεοφορούμενος, ὁ ἄγαν δειλὸς ἢ ἐπιθυμητὴς ἢ ὀργίλος (2) ἢ μελαγχολικὸς (3) ἢ προπετὴς ἢ κυρτὸς ἢ κνησμονικὸς ἢ ψωραλ(έος) ἢ κωφὸς ἢ ἄλαλος. (4) Ταῦτ(α) γὰρ ψυχικά εἰσιν, ὥσπερ καὶ ὁ κοττιστὴς καὶ ὁ μέθυσος ἢ γουλάρης ἢ ἐπιθέτης ἢ ψεύστης ἢ φιλόδικος ἢ εὐήθης ἢ μωρὸς ἢ ὃς μηδεμίαν χρῆσιν ἔχειν ὑπαίτιός ἐστι. καὶ ὅτι ἐπὶ τῶν ψυχικῶν αἰτίων, εἰ μὴ ἐπαγγείλητ(αι) ὁ πράτ(ης), οὐκ ἐνέχεται ἐξηρημένου τοῦ φυγάδος καὶ τοῦ ῥέμβου. καὶ τὰ δειλὰ καὶ λακτικὰ ὑποζύ(για) οὐκ εἰσιν ἐμπαθῆ. ψυχικὰ γάρ εἰσι τὰ αἴτια. καὶ ἁρμό(ζει) μειωθῆναι τὸ τίμημα, εἰ μὴ προεῖπεν ὁ πράτ(ης) ἀπεῖναι αὐτά· καὶ ὅτι οὐκ ἐπιζητοῦμεν ὀλέθριον εἶναι τὸ πάθ(ος), ἀλλὰ τὸ οἱῳδήποτε πράγματ(ι) διηνεκῶς ἐμποδίζον πάθος. καὶ ὅτι οὐ πᾶσα νόσος ἐπεισάγει τὴν ἀντιστρέφουσαν τὸ πραθέν, τυχὸν μικρὰ ὀφθαλμία ἢ ὀλίγη νόσος ὀδόντων καὶ ὤτων, οὐδὲ πυρετός. (5) Καὶ ὁ λιχῆνας ἔχων οὐκ ἔστιν ἐμπαθής, ὑγιής ἐστιν ὁ σπάδων καὶ ὁ μονόρχης. (6) Εἰ δὲ τοῦ σπάδωνος ἀφῃρέθη μέρος τοῦ σώματος ἀναγκαῖον, οὐκ ἔστιν ὑγιής. (7) Ὁ γλωσσοκοπηθεὶς οὐκ ἔστιν ὑγιής. (8) Ὁ ἄλαλος ἐμπαθής ἐστιν, οὐ μὴν ὁ μογίλαλος, οὔτε ὁ ἀσήμως δια-

16 *εἰσάγουσι* Ed. T. | 21 *ὡς μηδεμίαν χρ. ἔχων* Ed. T. | 24 *λακτιστικὰ* Ed. T. | 30 *μόνορχις* Ed. T.

11 in margine inferiori fol. 87v alia manus verba ultimae lineae paginae *καὶ ὅτι — ὀφείλει* bis inscripsit | 18 *προπέτης* | 21 *ὡς μήτε μίαν χρ. ἔχειν* | 22 *αἰτιῶν* | 23 *ῥεμβοῦ* | 26 *ἐπιζητ. ἐλευθέριον* ; cf. Dig. XXI, 1, 4,5 : non de sontico morbo | 32 *μογγιλάλος*

λεγόμενος. (9) *Οὐκ ἔστιν ὑγιής, ἐὰν δάκτυλός τινος ἀποκοπεὶς ἢ μέλος παρασπασθ(έν), ἐντεῦθεν ἐμποδίζεται περὶ τὴν χρῆ(σιν), κἂν ὑγιάνῃ. οὐκ ἀναστρέφεται ὁ δοῦλος, εἰ μὴ ἐντεῦθεν ἐμποδίζεται, εἴτε ἥττονας εἴτε πλείονας ἔχει δακτύλους. νοσώδης ἐστὶ καὶ ὁ μύωψ καὶ ὁ νυκτάλωψ, τουτέστιν ὁ μὴ καθορῶν ἕωθεν ἢ ἐν ἑσπέρᾳ. καὶ ὁ ἐπίφυσιν ἔχων ὑγιής ἐστι καὶ ὁ ψελλὸς καὶ ὁ τραυλὸς καὶ ὁ μογγὸς καὶ ὁ βραδύλαλος. καὶ ὁ σκελλὸς ἤτοι ὁ διεστραμμένα τὰ σκέλη ἔχων, εἴτε εἴσω εἴτε ἔξω.* (10) *Καὶ ὅτι ἡ ἀνισότης τῶν ὀφθαλμῶν καὶ τῶν γνάθων καὶ τῶν καρπῶν, εἰ μὴ περὶ τὴν χρῆ(σιν) ἐμποδίζεται, οὐκ εἰσάγει ἀντιστραφῆναι. ἡ δὲ βραχύτ(ης) τοῦ πλευροῦ καὶ τοῦ σκέλους ἐμποδίζειν δύναται καὶ ἀναστρέφει. ὑγιής ἐστιν ὁ μέγα περὶ τὸν λαιμὸν ἔχων κάρυον καὶ τοὺς ὀφθαλμοὺς προκύπτοντας. καὶ ὁ ἀμφιδέξιος, εἰ μὴ διὰ τὴν ἀσθένειαν τῆς δεξιᾶς κέχρηται τῇ ἀριστερᾷ. οὔτε ὁ ὀζόστομος, εἰ μὴ ἀπὸ πάθους τοῦ πνεύμ(ο)ν(ος) ἢ τοῦ ἥπατος ἢ τοιούτου τινὸς ὀζοστομεῖ. οὔτε ὁ στραβὸς οὔτε ὁ δυσῶδες ἔχων σῶμα.* (11) *Καὶ ὁ κυλλόπους νοσώδης ἐστί.* (12) *Καὶ ἡ ἀεὶ νεκροτοκοῦσα. ἡ ἔγκυος καὶ ἡ λεχὼ ὑγιής ἐστι καὶ ἡ κατὰ φύσιν στεῖρα, οὐ μὴν ἀπὸ πάθους. καὶ ὁ ἐν τῇ κοίτῃ οὐρῶν ἐκ τοῦ ἐνυπνιάζεσθαι ἢ ὀκνεῖν ἀπὸ οἴνου. ὁ μέντοι τὴν κύστιν ἐμπ<α>θὴς ἀναστρέφεται. καὶ ὅτι ἐὰν ἡ σταφυλ(ή) τινος τμηθ(ῇ) καὶ ἐπιμείνῃ τὸ πάθος, ἀναστρέφεται, οὐ μήν, εἰ ὑγίαινεν. ὁ ἐκ γεννητ(οῦ) ἔχων τοὺς δακτύλους κεκολλημένους οὔκ ἐστιν ὑγιής,* | *ἐὰν ἐντεῦθ(εν) ἐμποδίζηται. ἡ τὰ* 88v *γυναικῶν μὴ ὑπομένουσα ἢ ἐστενωμ(έ)ν(η) γυνὴ οὔκ ἐστιν ὑγιής. λέγει δὲ τὴν διαπαρθενεύεσθαι μὴ δυναμ(έ)ν(ην). ἐμπαθής ἐστι καὶ ὁ ἔχων χοιράδ(ας) παλαιὰς ἀνιάτ(ους). Καὶ ὅτι ὁ πράτ(ης) εἰδὼς τὸ πάθος καὶ σιωπῶν αὐτὸ ἐκβάλλεται τῇ τοῦ δόλ(ου) παραγραφῇ. καὶ ὅτι περὶ προφανοῦς νόσου οὐκ ἐνέχεται ὁ πράτ(ης), οἷον ἐὰν τυφλὸς πραθ(ῇ) ἢ ἐπικίνδυνον οὐλὴν ἔχων ἐν φανερῷ κατὰ τῆς κεφαλῆς ἢ ἄλλου μέλους. τὸ γὰρ δόγμα περὶ τῶν παθῶν διαλέγεται ἐκείνων καὶ αἰτίων, ἅτινα ἠγνόησεν ἢ ἀγνοεῖν ἠδύνατο.* (13) *Ἡ δὶς καθαιρομένη τοῦ μηνὸς καὶ ἡ μὴ καθαιρομ(έ)ν(η) οὔκ ἐστιν ὑγιής, εἰ μὴ ἀπὸ τοῦ χρό(νου) συμβαίῃ.* (14) *Καὶ ὅτι ὁ ὑγιάνας, ὡς ἦν τὴν ἀρχήν, οὐ δοκεῖ νενοσηκέναι.* (15) *Καὶ ποῖος λέγεται ἢ ἔστι φυγάς. ἀνά(γνωθι), ξένον καὶ ὡραῖον. καὶ γάρ φησι· φυγάς ἐστιν ὁ ἐπὶ τῷ φυγεῖν ἔξωθεν τοῦ δεσπότ(ου) κρύψας ἑαυτὸν καὶ ὁ ἐπὶ τῷ ἀποφυγεῖν ἀπολιπὼν τὸν δεσπότ(ην). καὶ ποῖος οὐ λέγεται φυγάς, ὡς ὁ λῃστὰς ἢ πολεμίους ἢ ἔμπρησμον ἢ πτῶσιν φυγὼν ἢ ἀπὸ τοῦ διδασκάλου ἢ τοῦ λαβόντος αὐτὸν εἰς χρῆ(σιν)*

---

12 *οὔτε ὀζόστομος* Ed. T. | 15 *ἡ λοχὸς* Ed. T. | 20 *ὑγιαίνει* Ed. T. | 29 *ὑγιαντὸν ὡς ἦν* Ed. T. | 32 *ἀπολείπων* Ed. T. | 33 *λῃστὴν* Ed. T.

---

4 *νόσος ἐστι καὶ* | 5 *ἐπίχυσιν ;* secutus sum coniecturam Kuehnii | 6 *σκελὸς* | 17 *ὀκνεῖν ἢ ἀπὸ οἴνου* | 27 *αἰτιῶν*

καὶ πρὸς τὸν δεσπότ(ην) ἐλθὼν ἢ πρὸς τὴν ἰδίαν μητέρα. ση(μείωσον) τὸν ἀπ(ὸ) τοῦ διδασκάλ(ου). μὴ λάθ(ῃ) σε ὁ δ' τί. τοῦ να' βι. εἰ δὲ μηδὲν τοιοῦτον πέπραχε, φυγάς ἐστι. φυγάς ἐστι καὶ ὁ κρύπτων ἑαυτὸν οἴκοι, ἐφ' ᾧ φυγεῖν, εἰ λά(βῃ) καιρόν, κἂν οὐκ ἠδυνήθ(η) φυγεῖν. οὐ μὴν ὁ ἀποκρυβείς, ἕως οὗ ἀποθυμηθ(ῇ). οὐκ ἔστι φυγὰς ὁ διὰ τὸ μὴ τυφθῆναι πρὸς φίλον ἀπελθών. καὶ ὁ πρὸ(ς) τὸ πρᾶξαί τι εἰς οἰκείαν ἐπιβουλὴν ἢ ἐπὶ δώμ(α)τ(ος) ἀνελθὼν ἢ ῥίψας ἑαυτὸν εἰς τὸν ποταμόν, εἰ μὴ ἄρα πρότ(ε)ρ(ον) ἔσχε γνώμην φυγεῖν. καὶ περὶ τοῦ δούλ(ου) τοῦ δούλ(ου), πότε ἀκολουθῶν τῷ δούλ(ῳ) λέγεται φυγὰς ἢ μή. καὶ τοῦ ἀνδραποδισθέντος. φυγάς ἐστι καὶ ὁ διὰ τὸ φυγεῖν ἐξελθὼν τοῦ ἐποικίου, κἂν ἐν τῷ ἀγρῷ συλληφθῇ. καὶ ὁ ἕνα βαθμὸν ἢ δύο ἐξελθὼν καὶ μὴ δυνηθεὶς τὸν δεσπότ(ην) διαφυγεῖν. καὶ ὁ ἐνεχυριασθεὶς δοῦλ(ος), εἰ φύγῃ ἐκ τοῦ δανειστοῦ, φυγάς ἐστιν. οὐκ ἔστι φυγὰς ὁ καταφυγὼν εἰς τόπ(ον) ἄσυλον ἢ βασιλικοὺς ἀνδριάντ(ας) ἢ ἔνθα πρᾶ(σ)ιν ἐξαιτοῦνται, εἰ μὴ ἄρα μετὰ τὸ φυγεῖν τοῦτο πέπραχε. φυγάς ἐστιν, ὃν ἀπελθὼν ὁ δεσπότ(ης) αὐτὸν ἀναλαβεῖν ἢ ἀποσπάσαι οὐ δύναται. καὶ πῶς ὁρίζεται ὁ ῥέμβος ἤτοι ὁ φυγάς. καὶ περὶ οἰκέτ(ου) ἀπελευθ(έ)ρ(ου) συνοικοῦντος τῷ πάτρωνι, πότε δοκεῖ ὁ δοῦλ(ος) ἐκτὸς τοῦ οἴκου τοῦ πάτρωνος μείνας φυγὰς εἶναι, καὶ πότ(ε) μή. οὐκ ἔστι φυγὰς ὁ ἀκούσας ἐλεύθ(ε)ρ(ον) αὐτὸν γενέσθαι, ἐπὶ ξένης δηλαδὴ διάγων. καὶ ὅτι οὐκ ὀφείλ(ει) προλέγειν ὁ πράτ(ης), ὡς οὐχ ἥμαρτ(εν) ὁ πραθ(είς), ἀλλ' ὡς οὐχ ὑπόκειται ἐνοχῇ. καὶ ὅτι ὀφείλ(ει) ὁ πράτ(ης) προλέγειν, ἐὰν ὑπὸ νόμου κεκώλυται ὁ δοῦλ(ος) ἐλευθεροῦσθαι ἢ ἐπὶ τῷ δεδέσθαι πέπρατ(αι) παρὰ τοῦ δεσπότ(ου) ἢ τοῦ ἄρχοντος. καὶ ὅτι τὸ μὴ προσὸν ὡς προσὸν ὁ πράτ(ης) λέγων τῷ δούλ(ῳ) παρὰ τὸν νόμον ποιεῖ. (16) Καὶ ὅτι ἐάν τι προσεῖναι τῷ δούλ(ῳ) χρήσιμον ὁ πράτ(ης) διαβεβαιώσηται, τυχόν, ὅτι σπουδαῖος ἢ ποριστικός, οὐκ εἰς ἄκρον ἀπαιτοῦμεν αὐτὰ προσεῖναι, ἀλλὰ μέσως, εἰ μὴ πολλάκις ἄριστον εἴπῃ μάγειρον, τότε γὰρ χρεωστεῖ ἄριστον παρασχεῖν. ὁ δὲ μάγειρον οὕτως ἁπλῶς εἰπὼν καὶ μέσον δίδω(σι). | καὶ ἐπὶ τῶν λοιπῶν τεχνῶν τὸ αὐτό. καὶ ἐὰν ἁπλῶς **89r** *εἴπῃ τὸν δοῦλον <ἔχειν> πεκούλ(ιον), ἀρκεῖ καὶ τὸ ἐλάχιστον ἔχειν. (17) Καὶ ὅτι τὰ εἰς ἔπαινον τοῦ δούλ(ου) λεγόμενα τὸν πράτ(ην) οὐκ ἔνοχον ποιεῖ, εἰ μέντοι μὴ εἶπεν αὐτόν εἶναι κοττιστὴν ἢ κλέπτην ἢ μηδέποτε πρὸς ἀνδριάντ(α) πεφευγέναι, χρεωστεῖ τοιοῦτον αὐτὸν δοῦναι. καὶ κατὰ τί διαφέρει τὸ λεχθὲν τοῦ ἐπαγγελθέντος καὶ ποῖα δοκοῦσι λέγεσθαι. καὶ ὅτι ὁ ἐπαγγελλόμενος τεχνίτ(ην) οὐκ ἄκρον, ἀλλὰ μεμνημ(έ)νον χρεωστεῖ*

---

6 *ἐπιβουλὴν ἀπὸ δεσπότου ἀπελθὼν* Ed. T. | 16 *ῥέμβος καὶ ὁ φυγάς* Ed. T. | 30 *ἐπ. τῶν δούλων* Ed. T | 34 *οὐκ ἄκρον, ἀλλὰ μέσον* Ed. T.

---

1 *σημείωσον — να' βι.* in margine sine signo | 15 *ἀποσπᾶσαι* | 16 *ῥεμβὸς* | 32 *κατά τι*

καὶ τὸν παρὰ τῷ πλήθει τεχνίτ(ην) λεγόμενον. καὶ ὅτι τισὶ σὺν τῷ ἀγοραστῇ ἁρμό(ζει) ἡ παροῦσα ἀγωγ(ή). καὶ τίς λέγεται ἀγοραστής. ἐπὶ δὲ τῆς ἀνταλλαγῆς ἑκάτερος ἀγοραστὴς καὶ πράτ(ης) ἐστί. καὶ ὅτι ἡ ἀντιστρέφουσα τὸ πραθὲν εἴσω ἓξ μηνῶν κινεῖται. ἡ δὲ μειοῦσα τὸ τίμημα εἴσω συναπτοῦ ἐνιαυτοῦ. (18) *Καὶ πότε δύναται μὴ παρευθ(ὺς) κινεῖν καὶ πότε παραχρῆμα.* (19) *Καὶ ὅτι ἀναστρέφων ὁ ἀγοραστὴς ἀσφαλίζεται περὶ δόλ(ου) καὶ ἀλλήλους ἀσφαλίζονται περὶ τῶν μελλουσῶν ζημιῶν. περὶ τῆς ἀντιστροφῆς ζήτ(ει) βι. τοῦδ(ε) καὶ τί. κε. νε΄* (=50?) *οὗ ἡ ἀρχή Ἐπειδὴ οὐτίλιός ἐστιν ὁ χρό(νος) τῶν ἓξ μηνῶν. καὶ περὶ τοῦ πωλήσαντος ἐν εἰδή(σει) τὸν φυγάδα ἐν φυγῇ ὄντα δοῦλον, πῶς ἀσφαλίζεται ζητεῖν αὐτὸν καὶ εὑρισκόμενον ἀποδιδόναι.* (20) *Καὶ ποῖα ὁ ἀγοραστὴς ἀναστρέφων ἐπιγινώσκει τῷ πράτ(ῃ), τυχὸν εἰ χείρονα τὸν δοῦλ(ον) ἐποίησε κατὰ ψυχὴν ἢ σῶμα, τυχὸν αἰσχρουργηθ(έν)τ(α) ἢ φυγάδ(α) γενόμενον τῇ ἐπαχθίᾳ τοῦ ἀγοραστοῦ. καὶ ὅτι ἑκατέρῳ αἱ προσθῆ(και) ἀποδίδονται. ὑπεξαιρεῖται τῶν ψυχικῶν καὶ ἔχει τὴν ἀντιστρέφουσαν ὁ ἀγοραστὴς ἐπὶ τῷ πραθ(έν)τ(ι) δούλ(ῳ), ὅς εἰς ἐπιβουλὴν αὐτοῦ ἔπραξέ τι ἢ εἰς τὸ ἀποθανεῖν, τυχὸν βρόχον ἀνάψας ἢ φάρμακον πιὼν ἢ κατακρημνίσας ἤ τι ποιήσας, δι' οὗ ἤλπιζεν ἀποθανεῖν. καὶ ὅτι υἱοῦ ἢ θυγατρὸς ὑπεξουσίων ἢ δούλου ἢ δούλης πωλησάντων ἡ ἀντιστρέφουσα κατὰ τοῦ πατρὸς ἢ τοῦ δεσπότ(ου) κινεῖται ἕως τοῦ πεκουλ(ίου), κἂν καλῇ πίστει δουλεύοντές τινές εἰσιν ἐλεύθεροι ἡμῖν ἢ ἀλλότρ(ιοι) δοῦλοι. καὶ ὅτι ὁ δοῦλος ἐκ τοῦ ἀγοραστοῦ ἐὰν κλέψῃ ἢ ἐξ ἑτέρου καὶ παράσχῃ ὁ ἀγοραστής τι διὰ τοῦτο, οὐκ ἄλλως ἀποδοῦναι τὸν δοῦλον τῆς ἀντιστρεφούσης κινουμένης κελεύεται, εἰ μὴ τὸ ἀζήμιον ὑποστῇ παρὰ τοῦ πράτ(ου), εἰ δὲ μὴ θελή(σῃ) ὁ πράτ(ης) αὐτὸν ἀναλαβεῖν, οὐκ ἀναγκάζεταί τι παρασχεῖν, οὔτε περαιτ(έ)ρ(ω) τῆς τιμῆς αὐτοῦ ζημιωθῆναι. ἀποδίδω(σιν) ὁ ἀγοραστής, καὶ εἴ τι ἔσχεν ἢ κατὰ ῥᾳθυμίαν οὐκ ἔσχεν, εἴτε ἐξ αὐτοῦ τοῦ δούλ(ου) εἴτε τοῦ μισθωσαμένου ἢ τοῦ πράτ(ου), ὡς βραδέως παραδόντος ἢ ἑτέρου νομέως. καὶ ὅσα ἐκτήθ(η) αὐτῷ ἀπὸ κληρονομίας ἢ ληγάτων.* (21) *Καὶ γενικῶς, εἴ τι ἂν διὰ τοῦ δούλ(ου) ἐκτήσατο μὴ ἐκ τῶν πραγμάτων αὐτοῦ, ὁ ἀντιστρέφων ἀποδίδω(σι).* (22) *Καὶ εἴ τι δι' αὐτοῦ καὶ τῆς φαμιλ(ίας) καὶ τοῦ προκουράτ(ω)ρ(ος) αὐτοῦ γέγονε χείρων μετὰ τὴν πρᾶ(σ)ιν καὶ τὴν παράδοσιν, οὐ μὴν πρὸ τούτ(ου). καὶ τίνες λέγονται τῆς φαμιλ(ίας) καὶ τίνες προκουράτ(ω)ρ(ες), ἀνά(γνωθι), καὶ ποίαν βλάβην τις τῆς φαμι-*

7 *π. μελλ. ζημ.* Ed. T. | 8 initium citatum desideratur in fragmentis tit. 10 libri 19; sententia cum excerptis Tipuciti ex cap. 50 congruit | 15 *ἐπιβουλὴν ἑαυτοῦ* Ed. T. | 17 *ἐλπίζει* Ed. T. | 29-30 *πραγμ. αὐτοῦ* Ed. T. | 33 *τὴν βλάβην τις* Ed. T.

1 *τίσι* | 7 *ἀσφαλίζεται* | *μελουσῶν* | 14 *προσθή* | 20 *ὑμῖν* | 22 *διατοῦτο* | 33-131,1 *τῇ φαμιλ(ίᾳ)*

λ(ίας) καὶ τοῦ φροντιστοῦ ἐπιγινώσκει. καὶ πότε, κἂν μὴ δόλῳ, ἀλλὰ ῥαθυμίᾳ τοῦ ἀγοραστοῦ περὶ τὸ σῶμα | ἢ τὴν ψυχὴν <γέ>νηται ὁ δοῦλ(ος) 89v χείρων, καταδικάζεται. πάντ(α) δὲ τὰ τῷ νόμῳ εἰρημ(έ)ν(α) τότε ὁ ἀγοραστὴς ἐπιγινώσκει, ὅτε γεγόνασι πρὸ τῆς προκατάρξεως. τὰ γὰρ συμβαίνοντα μετὰ προκάταρξιν τοῦ ὀφφικ(ίου) τοῦ δικάζοντος ἤρτηται. τὰ δὲ πρὸ τούτου πρὸ(ς) αὐτὸν οὐκ ἀνήκει, εἰ μὴ ῥητῶς αὐτῷ προσζευχθῶσι. πρότερον δὲ ὁ ἀγοραστὴς ἀποδίδω(σι) πάντα τὰ προειρημένα τῷ πράτ(ῃ) καὶ τό(τε) λαμβάνει τὸ τίμημα. (23) Μᾶλλον δὲ ἀσφαλίζεται, ὡς εἴσω προθεσμίας λαμβάνων τὴν τιμὴν ἀποκαθίστησι τὸν δοῦλον. (24) Καὶ ἁπλῶς εἰπεῖν ἀνά(γνωθι), τίνα δύναται λαμβά(νειν) ἢ μὴ δαπανήσας. (25) Καὶ ὅτι, εἰ μὴ ἠσφαλίσατο ὁ πράτ(ης) περὶ τῶν αἰτιῶν, ἐνέχεται τῇ ἀντιστρεφούσῃ τὸ πρᾶγμα εἴσω μηνῶν δύο καὶ τῇ μειούσῃ τὸ τίμημα εἴσω ἓξ μηνῶν. ἀνά(γνωθι) καὶ κε. λη΄ (=34) οὗ ἡ ἀρχή Ὁ πιπράσκων ὑποζύγια λεγέτω τὰ πάθ(η). καὶ κε. λα΄ (?) θέ. τελευταῖον οὗ ἡ ἀρχὴ Καλῶς ὁ ἀγοραστὴς συμφων(εῖ) εἴσω προθεσμίας. καὶ βι. να΄ τί. β΄ κε. κδ΄ θέ. α΄ (=22,2) οὗ ἡ ἀρχή Ὁ ἀγοραστὴς ἐξουσίαν ἔχει εἴσω ἓξ μηνῶν. (26) Καὶ περὶ τοῦ ἐὰν ἔτυχεν ὁ ἀγοραστὴς διὰ τὸν δοῦλον ἐναγωγὸν ἢ ἐναχθείς, τί γίνεται. καὶ τί καταλογίζεται αὐτῷ δαπανήσαντι καὶ τί οὐ καταλογίζεται πρὸ τῆς προκατάρξεως ἢ μετὰ προκάταρξιν. καὶ ὅτι τὰ πρὸ(ς) τροφὴν τοῦ δούλ(ου) οὐκ ἀπαιτεῖ, ἐπειδὴ οὐδ᾽ αὐτὸς τὰς ὑπηρεσίας ἀπαιτεῖται. (27) Καὶ εἰ μὴ θέλ(ει) τὸν δοῦλον ἀναλαβεῖν οὐδὲ τὰς ζημίας τὰς δι᾽ αὐτοῦ γενομένας ἀποδίδω(σι) τῷ ἀγοραστῇ, ἀλλὰ μόνας τὰς τιμὰς καὶ τὰ ταῖς τιμαῖς ἐπακολουθοῦ(ν)τ(α) ἤγουν τοὺς τόκ(ους) καὶ τὰς προσθή(κας). καὶ πε(ρὶ) τοῦ ἐπαγγειλαμένου πράτ(ου) μὴ εἶναι τὸν δοῦλον κλέπτην καὶ κλέψαντ(ος), πῶς ἐνέχεται. κλέπτης γάρ ἐστιν ἐπὶ τούτου τοῦ θέματος καὶ ὁ ἀπὸ τοῦ δεσπότ(ου) κλέψας. ἀποκαθίστανται καὶ τὰ τεχθέντα μετὰ τὴν πρᾶ(σ)ιν ἐκ τῆς ἀναστρεφομένης δούλ(ης). καὶ ἐὰν τῆς δεσποτείας πραθείσης ἡ χρῆ(σις) τῶν καρπῶν ἀπολλυμένη αὐτῷ προσετέθ(η), καὶ αὐτὴ ἀποκαθίσταται. καὶ τὸ μὴ ὂν ἐκ τοῦ πράγματος τοῦ ἀγοραστοῦ πεκούλ(ιον). καὶ περὶ κληρονόμων τοῦ ἀγοραστοῦ τῶν μὲν συναινούντων, τῶν δὲ μὴ ἐπὶ τῇ ἀντιστροφῇ. καὶ πῶς ὀφείλουσι συναινεῖν καὶ πῶς ἐνάγειν καὶ ἐπὶ ποίοις ἐνάγεσθαι. καὶ περὶ τοῦ ἐὰν κοινὸς δοῦλος ἀγορά(σῃ) δοῦλον, πῶς οὐ δύναται ὁ εἷς τῶν δεσποτῶν κατὰ τὸ ἴδιον μέρος ἀναστρέφειν, ὥσπερ, ὅτε πολλοὶ τοῦ ἀγοραστοῦ κληρονομοῦσι καὶ οὐ συναινοῦσιν εἰς τὸ ἀντιστρέψαι, οὔτε ὁ εἷς τῶν δεσποτῶν

3 *πάντα τὰ* Ed. T. | 5 *τοῦ δικαστοῦ* Ed. T. | 7 *τὰ εἰρημένα* Ed. T. | 23 *τὴν προσθήκην* Ed. T. | 27-28 *ἀπολλομένη αὐτῇ* Ed. T. | 30 *ἀναστροφῇ* Ed. T.

18 **δαπανήσας** | 21 **τοῦ δοῦλον**

δύναται κινεῖν τὴν περὶ πρά(σεως) ἀγωγ(ὴν) ἐπὶ τῷ πρὸ(ς) ἀναλογίαν τοῦ μέρους αὐτοῦ διδόναι τὸ τίμημα καὶ λαβεῖν τὸν δοῦλον. τὸ αὐτὸ καὶ ἐπὶ πολλῶν ἀγοραστῶν. καὶ περὶ τοῦ ἐὰν ὁ εἷς τῶν κληρονόμων ἢ ἡ φαμιλ(ία) ἢ φροντιστὴς αὐτοῦ κατὰ δόλον ἢ ῥᾳθυμίαν βλάψῃ τὸ πραθέν, εἰς ὁλόκληρον ἐνέχεται. καὶ πε(ρὶ) τοῦ ἐὰν πολλοὶ τοῦ πράτ(ου) κληρονομήσωσι καὶ ἀναστρέφεται τὸ πρᾶγμα, πῶς εὐθύνεται ἕκαστος πρὸ(ς) ὃ ἐκληρονόμησε. καὶ εἰ πολλοὶ ἀγορά(σωσιν) ἢ πωλή(σωσιν), τί γίνεται. ἀνά(γνωθι) διαστίξεις. καὶ περὶ τοῦ ἐὰν πρὸ τῆς προκατάρξεως ἀποθά(νῃ) ὁ δοῦλος ἐξ οἱασδήπ(ο)τ(ε) αἰτ(ίας) τοῦ ἀγοραστοῦ ἢ ῥᾳθυμ(ίᾳ) ἢ τῆς φαμιλ(ίας) αὐτοῦ, πῶς ἀντὶ ζῶντό(ς) ἐστιν | καὶ τίνα δί<δ>ονται, καὶ εἰ μετὰ προκάταρξιν ἀπέθ<α>(νεν). **90r** *τὸ αὐτὸ καὶ ἐπὶ τοῦ προκουράτ(ω)ρ(ος) δεῖ νοεῖν, εἰ γένηται, καὶ ἐπιτρόπ(ου) καὶ κουράτ(ω)ρ(ος) καὶ τῶν λοιπῶν τῶν ἐξ ὀφφικ(ίου) παραβαλλόντων. ἐπιγινώσκει δὲ καὶ τὴν ῥᾳθυμίαν τῶν ἐπιτραπέντων διοικεῖν τὰ αὐτοῦ. καὶ ὅτι ὁ κινή(σας) διὰ φυγὴν τὴν μειοῦσαν τὸ τίμημα, δύναται αὐτὴν καὶ διὰ νόσον κινεῖν, ὥστε μέντοι μὴ δεύτερον λαβεῖν τὴν ἀποτίμησιν. καὶ περὶ τοῦ, εἰ ἀναστραφῇ ὁ δοῦλ(ος), πῶς λαμβά(νει) ὁ ἀγοραστὴς τὸ τίμημα. καὶ τί δίδω(σι) καὶ αὐτός. καὶ εἰ μὴ ἀπεδόθ(η) ὁ δοῦλος, ἀλλὰ μόνον συνεφωνήθη δοθῆναι, πῶς ἀρ(γεῖ) ἡ ἁρμό(ζουσα) ἀγωγ(ή). καὶ περὶ τοῦ, εἰ μὴ ἠσφαλίσατ(ο) ὁ πράτ(ης) τὸ διπλάσιον, ἀπαιτεῖται διὰ τὴν συνήθειαν. ὁ ἐναντιοφα(νής) φη(σιν), ὅτι οὐ περὶ πάντων, ἀλλὰ πε(ρὶ) τῶν τιμίων συναλλαγμάτων. ζήτ(ει) τοῦ ια΄ τί. κε. β΄ οὗ ἡ ἀρχή Ἡ περὶ τῆς ἐκνική(σεως). μάλιστα δέ, ὅτι ἀληθ(ὴς) ὁ ἐναντιοφα(νής), ζήτ(ει) τοῦ ια΄ τί. τὸ λζ΄ (=35) κε. οὗ ἡ ἀρχή Οὔτε πε(ρὶ) παντὸς πράγματος. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων καλῇ πίστει ἀγωγῶν. ἀναγκάζεται γάρ τις ποιεῖν, μᾶλλον δὲ ὁ συναλλάττων, ὅπερ τὸ ἔθος καὶ ἡ συνήθ(εια) βούλεται, κἂν ἰδικὸν περὶ τούτων μὴ προηγήσατο σύμφωνον. καὶ περὶ ἀγοραστοῦ εἴσω προθεσμ(ίας) συμφωνή(σαν)τ(ος) ἢ καὶ διηνεκῶς ἀποδοῦναι τὸ ἀγορασθὲν ἀπαρέσκον αὐτῷ καὶ περὶ τοῦ συμφωνήσαντος χρό(νον), πῶς ἔχει ξ΄ ἡμέρ(ας). καὶ περὶ πράτ(ου) ὑπερθεμ(έ)ν(ου) τὸ πρᾶγμα λαβεῖν, ἢ μὴ παρόντος καὶ ἀποθαν(όν)τ(ος) τοῦ οἰκέτου ἢ τῆς δούλης τεκούσης. γίνωσκ(ε) δέ, ὅτι ἐν τῷ παρ(όντι) βι. περὶ τῶν βόθρων διαλεγόμενος ὁ σοφὸς ἐν βασιλεῦσι Λέων φη(σὶν) ἰδικὸν νόμιμον. καὶ γὰρ ἐπικρατύνων τὸν νόμον καὶ τοὺς ς΄ μῆ(νας) τῆς ἀντιστροφῆς καὶ τὸν ἐνιαυτὸν τῆς μειώσεως τοῦ ὑπαιτ(ίου) ζῴου, προστίθη(σιν), ὅτι, εἰ μὴ στρατι(ώ)τ(ης) ἦν ὁ ἠγορακώς. εἶτα διέξεισι τὰς αἰτ(ίας) τῶν ζῴων τὰς ἀπὸ φανεροῦ οὔσας. λεγέτωσαν οἱ ἀπεμπωλοῦντες ὁμοίως καὶ*

5-6 *ἀναστρέφηται* Ed. T. | 23 *καὶ περὶ παντὸς πράγματος οὐ δεῖ* ... Ed.

19-23 *ὁ ἐναντιοφανής — πράγματος* in margine cum signo ad *διπλάσ(ιον)* lin. 19 spectante | 30 *ἐπαρόντι βι.*

τὰς ἐν κρυπτῷ καί, εἰ εὑρεθ(ῶ)σ(ιν), οἱ ἐξωνήσασθαι βουλόμενοι καὶ μὴ ἐσφραγισμένην τὴν τιμὴν παράσχωσι, μὴ ἐχέτωσαν ἐξουσίαν ἀντιστρέφειν, εἰ μὴ μέχρι φόρου ἑνὸς ἀναγγέλ(λον)τ(ες) τὴν αἰτίαν, δι' ἣν ταῦτα ἔστρεψαν. εἰ δὲ ἐσφραγισμένη τιμὴ δοθῇ κατὰ τὴν συμφων(ίαν), οὕτω γενέσθω. καὶ ὅτι ἡ προσθή(κη) μέρος ἐστὶ τῆς πρά(σ)εως. (28) *Καὶ ὀφείλ(ει) ὁ πράτ(ης) καὶ περὶ ταύτης ἐπερωτᾶσθαι καὶ αὐτὸς προλέ(γ)ειν, ὥσπερ ἐπὶ ἀγροῦ καὶ τῶν ἐν αὐτῷ ἀνδραπόδων. καθὼς γὰρ τὸ πρωτότυπον, οὕτως καὶ ἡ προσθήκη ἀκέραιος ὀφείλ(ει) δίδοσθαι.* (29) *Ὅπερ οὐ φυλάττεται ἐπὶ τοῦ πεκουλ(ίου)· τοῦ πραθ(έν)τ(ος) δούλ(ου). οὐδὲ γὰρ χρεωστεῖ τὰ ἐν τῷ πεκουλ(ίῳ) ἀνδράποδα ὑγιᾶ παρασχεῖν. καὶ περὶ ἀγροῦ πραθ(έν)τ(ος) μετὰ προσθ(ήκης) πίθων ἢ ἐξοπλί(σεως) αὐτοῦ καὶ κληρονομ(ίας) πραθείσης ὁμοίως. καὶ πῶς, εἰ καὶ μὴ ἔχ(ει) ψόγον ἡ προσθήκη, ἀντιστρέφεται.* (30) *Καὶ περὶ τοῦ ἐὰν πολλὰ πράγματ(α) τοῦ αὐτοῦ γένους πραθ(ῇ), τυχὸν κωμῳδοὶ ἢ χορὸς ἢ τέθριππον, πότερον πάντα ἢ τὸ καθέκαστον διετιμήθ(η). καὶ ὀφείλ(ει) τὸ ἐπίσαθρον τυχὸν στραφῆναι. καί τί γίνεται.* (31) *Καὶ ὅτι ἔσθ' ὅτε καὶ τὰ ὑγιῆ ἀνδράποδα διὰ τὰ νοσώδη ἀναστρέφονται, καὶ παῖδες ἀπὸ γονέων διὰ τὴν διάθε(σ)ιν καὶ συνοικοῦ(ν)τες ἀλλήλοις.* (32) *Καὶ περὶ τοῦ ἐὰν πολλοὶ δοῦλοι πραθῶσιν ἑνὶ τιμήματ(ι) καὶ δι' ἕνα κινεῖται ἡ ἀγωγ(ή), τί γίνεται. καὶ εἰ τοῦ καθέκαστον ἀποτιμηθέντ(ος) τοσούτου πάντες ἐπράθ(η)σ(αν).* (33) *Καὶ περὶ τοῦ τὸν ἤδη δουλεύσαντα ὡς νεών(η)τ(ον) πωλήσαντος.* (34) *Καὶ ὅτι ὁ πιπράσκων ὑποζύ(για), τί ὀφείλ(ει) λέγειν. καὶ περὶ τοῦ κόσμου αὐτῶν. καὶ ποίᾳ εὐθύνῃ ὑπόκειται, εἰ μὴ τοῦτο ποιή(σῃ). καὶ ὅτι τὰ | λεχθέντ(α) περὶ ἀνδραπόδων σχεδὸν λέγομεν τὰ αὐτὰ καὶ περὶ* **90**v
ὑποζυ(γίων). καὶ ὥσπερ ὁ δοῦλ(ος) καὶ μετὰ τὸ ἀποθανεῖν ἀναστρέφεται, οὕτω καὶ τὸ ὑποζύγιον. καὶ ὅτι πάντα τὰ θρέμματα οὐκ εἰσιν ὑποζύγια, λέγομεν δὲ πε(ρὶ) αὐτῶν τὰ περὶ τῶν ὑποζυγίων εἰρημένα. καὶ ὅτι ὁ βοῦς οὐκ ἔστι τῶν ὑποζυ(γίων), ἀλλὰ τῶν θρεμμάτων. καὶ ὅτι ὁ εὐνοῦχος μοῦλος οὐκ ἔστιν ἐμπαθ(ής). οὔτε πάντα τὰ ἐκτεμνόμενα ζῷα ἐμπαθῆ εἰσιν, εἰ μὴ γεγόνασιν ἐντεῦθεν ἀσθενέστερα. ὁ ἐκτομίας καὶ ὁ σπάδων ἵππος ὑγιής ἐστι. καὶ περὶ τοῦ, εἰ ἠγνόει ὁ πράτ(ης) καὶ ὁ ἀγοραστὴς ἐγίνωσκε, χώρα τῇ περὶ τῆς πρά(σεως) ἀγωγῇ. καὶ ἡ μὴ δυναμένη ἀποζευχθῆναι μοῦλα ὑγιής ἐστιν, οὐ μὴν ἡ μὴ ἀνεχομένη μεθ' ἑτέρου ζευχθῆναι. καὶ ὅτι καθ' ὑπόδειγμα τῶν δούλων οὐ μόνον ἀπὸ παθῶν καὶ αἰτιῶν ἀναστρέφεται τὰ ὑποζύγια, ἀλλ' ὅτε καὶ περὶ τὸ ἐπαγγελθὲν ὁ πράτ(ης) ἐψεύσατ(ο). καὶ ποῖον

---

9 10 *ἐν πεκουλίῳ* Ed. T. | 11 *ἐξοπλισμοῦ* Ed. T. | 15 *τυχὸν ἀντιστραφ.* Ed. T. | 16 *ἀντιστρέφονται* Ed. T. | 18 *κινῆται* Ed. T. | 30 *ἠγνόει ὁ ἀγοραστὴς καὶ ὁ πράτης ἐγίνωσκε* Ed. T.

---

2 *παράσχουσι*

λέγεται τὸ διὰ τὴν πρᾶ(σ)ιν κοσμηθέν. καὶ ὅτι ἐὰν πολλὰ πραθ(ῶ)σ(ι), διὰ τὸν κόσμον καὶ τὸ πάθος τοῦ ἑνὸς οὐκ ἀποδίδονται πάντα. καὶ πότε διὰ τὸ ἓν ἀντιστρέφονται καὶ τὰ λοιπὰ ὑποζύγια ἑνὸς τιμήματ(ος) ἀξιωθ(έν)τ(α). καὶ περὶ ἀγέλης καὶ ἴσων καὶ οἰκετῶν καὶ τῶν δυναμένων χωρισθῆναι ἢ μὴ καὶ τῆς τούτων παρατηρή(σεως). (35-37) *Καὶ περὶ τοῦ ἔχοντος κύνα ἄγριον ἢ λέοντα ἢ ἕτερον θηρίον ἢ κάπρον λελυμένον ἢ μὴ οὕτως δεδεμένον, ὥστε μὴ δύνασθαι βλάπτειν ἐν δημο(σίᾳ) παρόδῳ, εἰ ἄνθρωπος ἐλεύθερος ἐκ τούτ(ου) τελευτ(ήσῃ), ἵνα δίδω(σι) νομίσματα σ΄. εἰ δὲ μὴ ἀπέθα(νεν), ἀλλ' ἐβλάβ(η), εἰς τὸ φαινόμενον τῷ δικαστῇ καταδικάζεται. τῶν δὲ λοιπῶν πραγμάτων διπλῆν δίδω(σι) τὴν ζημ(ίαν).* (38) *Καὶ ὅτι ὁ φυγὼν πρὸς φίλον τοῦ δεσπότ(ου), εἰ καὶ γνώμ(η) ἦν τοῦ ὑποστρέψαι, οὔκ ἐστι φυγάς. ἡ γὰρ φυγὴ οὐ διάθε(σιν) μόνην, ἀλλὰ καὶ ἀποτέλεσμα ζητεῖ. καὶ ὁ διὰ τῆς ἑτέρου συμβουλῆς ἀναχωρήσ(ας) τοῦ δεσπότ(ου) φυγάς ἐστιν, εἰ καὶ μὴ ἀνεχώρη(σεν), εἰ μὴ συνεβουλεύθη. ὁ καλῇ πίστει δουλεύων σοι δοῦλ(ός) μου, ἐὰν φύγῃ, φυγάς ἐστιν, εἰ μὴ ἄρα διά τὸ ὑποστρέψαι πρός με τοῦτο πεποίηκε. καὶ τίς δοκεῖ τῶν δούλων ἑαυτῷ ἐπιβουλεύειν. καὶ τί ἀποδίδω(σιν) ὁ ἀναστρέφων δοῦλ(ον) καὶ τί οὐκ ἀποδίδω(σι). καὶ ὅτι ἔσθ' ὅτε καὶ τῆς μειούσης τὸ τίμημα ἀγωγῆς κινουμένης ὁ δοῦλ(ος) ἀποδίδοται, ἔνθα μὴ συμφέρ(ει) τῷ ἀγοραστῇ ἔχειν αὐτόν, ἴσως μαινόμενον ἢ σεληνιαζόμενον. καὶ πε(ρὶ) τοῦ ἀναστρέ(ψαν)τ(ος), ἵνα τοὺς δανειστὰς αὐτοῦ πε(ρι)γρά(ψῃ). καὶ ὅτι ἡ ἐπὶ τῷ δούλ(ῳ) ὑποθήκ(η) σῴζεται καὶ μετὰ τὸ ἀναστραφῆναι αὐτόν. καὶ ὅτι ὥςπερ ὁ πωλῶν τὸν δοῦλον ἢ τὴν χρῆ(σιν) αὐτοῦ οὐκ ἀναστρέ(φει), εἰ μὴ ἀνταγορά(σῃ), οὕτως καὶ μετὰ τὸ ἐλευθερωθῆ(ναι) τοῦ ἐνεχύρου ἀναστρέφεται. καὶ ὅτι τῆς πρά(σεως) αἱρετικῆς οὔσης οὐκ ὀρθῶς κινεῖται ἡ ἀντιστρέ(φουσα). καὶ ὅτι ἔσθ' ὅτε καὶ ἡ χωρὶς αἱρέ(σεως) πρᾶ(σ)ις, ἤρτηται ὡς ἐπὶ τῷ ῥηθησομένῳ θέματι, ὃ καὶ ἀνά(γνωθι).* (39) *Καὶ ὅτι ὁ δοῦλ(ος) οὐ προστίθεται ἧττονι οὔτε μὴν ἐλαχίστῳ πράγμ(α)τ(ι) τιμιώτ(ε)ρον. καὶ περὶ τοῦ ἐὰν πολλοὶ κοινωνοὶ πωλή(σωσι), πῶς καὶ ὁ εἷς ἐνάγεται μόνος τῇ περὶ ἀντιστρο(φῆς) ἀγωγῇ. οἱ γὰρ σωματέμποροι, φη(σίν), ἐπικλινεῖς εἰσι πρὸ(ς) κέρδος καὶ αἰσχρότ(η)τ(α).* (40) *Καὶ περὶ τοῦ εἰ μὴ ἀποδίδω(σιν) ὁ πράτ(ης) τὸ τίμημα, τὰς προσθήκ(ας) καὶ τὸν δι' αὐτὸν ἐνοχοποιηθ(έν)τ(α) ἐλευθ(ε)ρ(οῖ), τί γίνεται. καὶ πῶς, εἰ ταῦτα ποιεῖ, εἰς τὸ διπλά(σιον) μόνον ἐνέχεται. καὶ πῶς δυνατὸν | περὶ τούτου τοῦ δούλου κινεῖν με, ὅτι ἐξενική-* **91r**

5 *τῆς τῶν τόπων παρατ.* Ed. T. | 14 *συμβουλευθῇ* Ed. T. | 27 *οὔτε μὴ* Ed. T. | 30 *περὶ κέρδος* | 31 *τίμημα καὶ τ. πρ.* Ed. T. | 33-135,2 loco verborum *καὶ πῶς — δουλείας* in Ed. T. verba: *περὶ τοῦ ... δοῦλον κινεῖν με, ὅτι ἐξενικήθη καὶ ὅτι καὶ φυγὰς... ζητεῖν τὰς πρὸ τ. ἐκν. διαφ. μοι δουλ.* in lin. 30 post *αἰσχρότητα* intercalata sunt

1 *πολλοὶ* | 5 *κῦνα* | 8 *ιι σ΄* | 14 *συμβουλευ$^{θ΄}$* | 18 *ọὐ δοῦλος* | 24 *αἱρετικῆς οὕτως*

θη. καὶ ὅτι καὶ φυγάδ<α δυνατὸν> ζητεῖν τὰς πρὸ τῆς ἐκνική(σεως) διαφερούσας μοι δουλείας. (41) *Καὶ ὅτι οὐκ ὀφείλ(ει) προσομολογεῖν ὁ ἀναστρέ(φ)ων.* (42) *Καὶ ὅτι ὁ ἀγοραστὴς ἐλευθερῶν τὸν δοῦλ(ον) ἐκπίπτει τῶν διαφερουσῶν αὐτῷ ἀγωγ(ῶν) κατὰ τοῦ πράτ(ου), μὴ ἐλευθερωθ(έν)τ(ος) δέ, ἀλλὰ θανόντος, ἔχει τὰς ἀγωγ(άς).* (43) *Πλὴν ἐὰν χωρὶς ἀμελείας αὐτοῦ καὶ τῶν σὺν αὐτῷ ἐτελεύτ(ησε). καὶ ὅτι ὁ κινῶν τὴν ἀντιστρέφουσαν δύναται παρακρατεῖν τὸν δοῦλ(ον), ἕως οὗ τὸ ἱκανὸν πάθ(ῃ). καὶ ὅτι ὁ δεδεμένον πιπράσκων οὐχ ὑπόκειται τῇ περὶ φυγῆς. καὶ ὅτι αἱ περὶ παθῶν καὶ αἰτίων ἀγωγ(αὶ) κληρονόμοις καὶ κατὰ κληρονόμ(ων) ἁρμόζουσι. καὶ τὰ φάκτ(α) τῶν κληρονόμων ζητεῖται καὶ τῷ τὴν χρῆ(σιν) μόνον ἀγοράσαντι. καὶ ὅτι ὁ περὶ ἑνὸς πάθ(ους) κινῶν καλῶς προλέγει. καὶ περὶ ἑτέρου μετὰ ταῦτα φαινομένου κινεῖν. καὶ ὅτι ἐπὶ τῶν ἁπλῶν πρά(σε)ων ἤτοι τῶν ἀναπόδοτον ἐχουσῶν αἶρε(σιν) ἡ ἀντιστρέφουσα οὐχ ἁρμόζει.* (44) *Καὶ περὶ ἀγροῦ χώρα τῇ ἀναστρο(φῇ). τυχὸν γὰρ φθοροποιός ἐστιν.* (45) *Ὁ κιρσόπους, ὁ τὰς κνήμας δηλαδὴ ἔχων ἐκ τῆς τῶν νεύρων συστροφῆς ἐμπαθεῖς, οὐκ ἔστιν ὑγιής.* (46) *Ἐὰν ὀνόματι τοῦ δούλου μου κινῶ τὴν περὶ ἀναστροφῆς ἢ τὴν ἀπαιτοῦσαν τὸ πρᾶγμα, ἡ εἴδησις αὐτοῦ, οὐχ ἡ ἐμὴ σκοπεῖται, κἂν γενικῶς εἴτε ῥητῶς ἐνετειλάμ(ην) αὐτῷ. εἰ δὲ καί, ὃν ᾔδειν ἐμπαθ(ῆ), ἐνετειλάμην αὐτῷ ἀγορά(σαι), οὐκ ἐνέχεται ὁ πράτ(ης). καὶ περὶ τοῦ ἐὰν ὁ φροντιστής μου ἢ ὁ διοικητής μου ἐν εἰδή(σει) ἐμπαθ(ῆ) ἢ ὑπαίτιον ἀγορά(σῃ), κινεῖν οὐ δύναται.* (47) *Καὶ ὅτι, ἐὰν παρ' ἐμοῦ κλέψῃ ὁ δοῦλ(ός) μου, οὐκ ἔστιν ἀναγκαῖον ἐντ(εῦθεν) πρά(τῃ) τοῦτο προλέγειν οὔτε ἐκ τούτ(ου) ἁρμόζ(ει) ἡ ἀναστροφή. εἰ δὲ εἶπον αὐτὸν μὴ εἶναι κλέπτην, ἐνέχομαι.* (48) *Καὶ ὅτι ὁ τριταΐζων ἢ ὁ τεταρταΐζων, ὁ ποδαγρὸς καὶ ὁ δαιμονιζόμενος οὔτε τὸν καιρόν, ἐν ᾧ σχολάζουσιν, ὑγιαίνειν δοκοῦσι.* (49) *Καὶ ὅτι ὁ καλῇ αἱρέ(σει) πωληθεὶς καὶ φυγὼν οὐ ποιεῖ χώραν τῇ ἀντιστρεφούσῃ ἀγωγ(ῇ), εἰ μὴ καὶ πρὸ τούτ(ου) ἔφυγ(ε). ζήτ(ει) περὶ τούτ(ου) βι. κβ' τί. α' κε. δ' οὗ ἡ ἀρχὴ Ὁ ἀγοραστὴς δείκνυσι πρὸ τῆς πρά(σεως) πεφευγέναι τὸν δοῦλ(ον). καὶ κε. ζ' οὗ ἡ ἀρχὴ Εἰ μὴ δείκνυται, εἰ παρὰ τῷ πράτ(ῃ) φυγὰς ἦν ὁ δοῦλ(ος).* (50) *Καὶ ὅτι οἱ ἓξ μῆ(νες) τῆς ἀντιστροφῆς ἐξ ἐκείνου τρέχουσι τοῦ καιροῦ, ἐξ οὗ τις ἐπιμελὴς ἀνὴρ ἠδύνατο γνῶναι τὸ βίτιον ἤ(τοι) τὸ πάθ(ος), τὸ ἐλάττωμα τοῦ πραθ(έν)τ(ος). ἡ γὰρ ἀνειμένη ἄγνοια τοῦ ἀγοραστοῦ οὐ βοηθεῖται.* (51) *Καὶ ὅτι καὶ ὁ ἐγγυητ(ής), ἐὰν πάντ(α) τὰ τῆς πρά(σεως) ἀποβαίνοντα ἐνηγγυήσατ(ο), οὐ τῇ ἐπερωτή(σει) τῇ ἐκ τῆς ἐγγύης, ἀλλὰ τῇ ἀντιστρεφούσῃ ὑπόκειται.* (52) *Καὶ ὅτι, ἐὰν ἀντιστρέψω ὀνόματ(ι)*

---

8 *φυγῆς ἀγωγῇ* Ed. T. | 14 *φθοροποιὸς ἦν* Ed. T. | 28 *δεικνύει* Ed. | 29 *ἐὰν μὴ δ.* Ed.

3-4 *διαφερόντων* | 13 *ἐχόντων* | 19 *ἀγορᾶ(σαι)* | 26 *χώρα*

τοῦ δούλ(ου) μου, οὐ δίδω(σιν) ὁ πράτ(ης) τὸ τίμημα, εἰ μὴ λάβ(η) ἐξ ὁλοκλήρ(ου) καὶ μὴ κατὰ τὸ πεκούλ(ιον) τοὺς καρποὺς, καὶ εἴ τι χεῖρον γέγονεν. εἰ δὲ υἱὸς ἢ δοῦλ(ός) μου πωλή(σῃ), μέχρι τοῦ πεκουλ(ίου) ἐνέχομαι τῇ ἀναστροφῇ καὶ λογίζεται εἰς τὸ πεκούλιον. καὶ εἰ πλέον μοι χρεωστεῖ, τί γίνεται. (53) *Καὶ τί ἀναδίδω(σιν) ὁ πράτ(ης) κινουμένης τῆς ἀντιστρεφούσης ἀγωγ(ῆς) παρὰ τοῦ ἀγοραστοῦ καὶ εἰ ἐκδώ(σῃ) αὐτὸν ἐπὶ ταῖς παρ' αὐτῷ γενομέναις ζημίαις, καὶ πῶς δίδω(σι) καὶ τὸ διπλοῦν τοῦ τιμήματος. καὶ περὶ δούλ(ου) εἰπόντος παρουσ(ίᾳ) | προσώπων καὶ παρὰ τῷ πράτ(ῃ) πεφευ-* 91 v *γέναι, πῶς πιστεύεται συντρεχ(όν)των καὶ ἑτ(έ)ρων τεκμηρίων.* (54) *Καὶ περὶ δύο δούλων ἑνὶ τιμήματ(ι) πραθέντων καὶ τοῦ ἑνὸς εὑρεθ(έν)τ(ος) ἐμπαθ(οῦς).* (55) *Καὶ περὶ τοῦ, ὅτε περὶ δουλείας ἀγροῦ κινεῖται καὶ ἡττᾶται ὁ πράτ(ης), τοσοῦτον δίδω(σιν), ὅσου ἂν ἧττον ἠγόρα(σεν) ὁ ἀγοραστής, εἰ τὴν δουλείαν ἐπικεῖσθαι ἐγίνωσκ(ε).* (56)*Καὶ ὅτι ὁ δωρούμενος οὐκ ἀναγκάζεται προλέγειν, ἅπερ ἐπὶ τῶν πρά(σε)ων εἴρηται, οὔτε ἐνέχεται τῇ περὶ τῶν πραθ(έν)των ἀγωγ(ῇ). κἂν ὁ λαβὼν τὴν δωρεὰν κρεῖττον τὸ δωρηθ(ὲν) ἐποίησεν, οὐκ ἐνάγει περὶ τοῦ διαφέροντος. ἀπὸ μέντοι τοῦ οἰκείου δόλ(ου) ὁ δωρησάμενος ἐνέχεται.* (57) *Καὶ ὅτι καὶ ἐπὶ τῶν μισθώ(σε)ων οὐκ ἔχ(ει) χώραν ἡ παροῦσα ἀγωγ(ή), ἀλλ' ἐπὶ πάντων τῶν πωλουμένων πραγμάτων.* (58) *Καὶ περὶ τοῦ ἐὰν ἐν μιᾷ τιμῇ πολλοὺς ἀγορά(σας) δούλ(ους) περὶ τοῦ ἑνὸς θέλω κινῆσαι, ἀνά(γνωθι) διὰ φάκτ(ον) ἐναντ(ίον) δοκοῦν. καὶ ἐὰν πολλοὺς δούλ(ους) ἀγοράσαντι ἑνὶ τιμήματι ἐπαγγείλ(ῃ) αὐτοὺς ὑγιεῖς εἶναι ὁ πράτ(ης) καί τινες αὐτῶν εἰσιν ἐμπαθεῖς, πῶς περὶ πάντων ἐνέχεται διὰ τὴν ἐπαγγελ(ίαν). καὶ ὅτι καὶ ῥέμβεσθαι καὶ φεύγειν τὸ ὑποζύγιον δύναται, οὐ μὴν ὥσπερ φυγάδος καὶ ῥέμβου κινεῖ τις περὶ τούτ(ου).* (59) *Καὶ ὅτι τῶν παθῶν τὰ μέν, ὡς εἴρηται, σωματικά εἰσι, περὶ ὧν καὶ προεῖπε, τὰ δὲ ψυχικά, καθώς μερικῶς ἐδίδαξε. λέγει δέ, ὅτι ὁ φιλῶν τὰς θέας ἢ ταῖς γραφαῖς σπουδαίως ἐνατενίζων ἢ ψευδόμενος ἢ συνεχόμενος πάθε(σιν) ὁμοίοις ψυχικὰ πάθ(η) κέκτηται. καὶ ὅτι ὀλέθρ(ιον) πάθ(ος) ἐστὶν ἡ ἐπιγενομ(έ)ν(η) μετὰ τὸ τεχθῆναι διηνεκής τινι νόσος. καὶ ὅτι τὸν νεώνητον οὐ τὸ διάστημ(α) τῆς δουλείας διακρίνει, ἀλλὰ τὸ γένος καὶ ἡ αἰτ(ία). καὶ νεώνητον γὰρ ἐὰν ἀγορά(σω) παρὰ σωματεμπόρου καὶ προστή(σω) αὐτὸν ὑπηρεσίας, ἔμπειρος εὑρίσκεται καὶ οὐ διαφερόμεθα, εἰ οἶδε ῥωμαϊστὶ ἢ μή.* (60) *Καὶ ὅτι ὁ πωλή(σας) φυγάδα μὴ ἀγνοήσας αὐτὸν φυγάδα εἶναι κατέχετ(αι) καὶ εἰς τὴν τιμὴν καὶ τὴν ἔξωθεν γενομ(έ)ν(ην) βλάβην, εἰ τυχὸν ὑπενόθευσεν ἕτερον δοῦλον ἢ πράγματα ἔκλεψε.* (62) *Καὶ ὅτι ἡ μετὰ τὴν πρᾶ-*

3 *πωλήσουσι* Ed. | 28 *ὀλέθριός ἐστιν ἡ* Ed. T. | 35 *πρᾶγμα* Ed. T. | 35 cap. 61 Editionis desideratur in Tip.

7 *τὸ τιμήματος* | 8 *περὶ τῷ πρ.* | 21 *ἀγοράσας* | 24 *ῥεμβοῦ*

(σιν) τοῦ οἰκέτου ἐπιγενομένη φυγὴ οὐδὲν τὸν πράτ(ην) καταβλάπτει. ἐὰν δὲ ὁ πράτ(ης) ἐπηγγείλατ(ο) μηδὲ μετὰ τὴν πρᾶ(σ)ιν ὑπαίτιον ἔσεσθαι τὸν οἰκέτην, ἐνέχεται. (63) Καὶ περὶ τοῦ πωλή(σαν)τ(ος) ἀγρὸν καὶ συμφωνήσαντ(ος), εἰ ἀπαρέ(σῃ), ἀναδοθῆναι αὐτῷ, πῶς ἐπαναγκάζεται ἐπαναλαβεῖν αὐτόν. καὶ εἰ θανατηφό(ρους) βοτ(ά)ν(ας) κέκτηται, τὸ αὐτὸ ἔσται. (64) Καὶ ὅτι ὁ ἀγοραστὴς περὶ φυγ(ά)δ(ος) οἰκέτου τὴν ἀντιστρέφουσαν κινεῖν ἀγωγ(ὴν) οὐ δύναται, εἰ μὴ παραστή(σῃ) τὸν οἰκέτ(ην). (65) Καὶ ὅτι ἡ κατὰ βίαν πρᾶ(σ)ις οὐκ ἔρρωτ(αι), ἀλλὰ καὶ ὁ βιασθεὶς καὶ ὁ κληρονόμ(ος) αὐτοῦ διδοὺς τὸ τίμημα ἀνατρέπει τὴν πρᾶ(σ)ιν. (66) Καὶ πε(ρὶ) τοῦ ἧττονος πωλή(σαν)τ(ος) τὸ ἴδιον, τουτέστι, τὸ μηδὲ εἰς ἡμίσειαν διατίμη(σιν) ἀναφερόμενον. (67) Καὶ ὅτι, εἰ μὴ συναινέ(σῃ) ὁ ἀγοραστὴς καὶ ὁ πράτ(ης), οὐ λύεται ἡ καλῶς συστᾶσα [πρᾶσις], κἂν βασιλ(εὺς) προστάσσῃ τοῦτ(ο). (68) Καὶ ὅτι ἡ κατὰ δόλ(ον) πρᾶ(σ)ις οὐκ ἔρρωται. (69) Καὶ κἂν τὸ διπλά(σιον) προσφέρῃ ὁ πράτ(ης) τῷ ἀγοραστῇ, ὅμως ἄκων εἰς τὸ ἀνατρέψαι τὴν πρᾶ(σ)ιν οὐ συνωθεῖται. (70) Καὶ ὅτι ὁ υἱὸς κατὰ γνώμην τοῦ πατρὸς πωλή(σας) πρᾶγμα, εἰ μὴ δείκνυσιν ὁ πατὴρ κατὰ φόβον θανάτ(ου) ἢ βασάνων τοῦ σώμ(α)τ(ος) γεγονέναι τὸ συνάλλαγμα ἢ κατὰ δόλον, οὐ δύναται ἀνατρέπειν αὐτό. τοῦτο, ση(μείωσον), προβαίνει καὶ ἐπὶ ἀφήλικος, ὡς βι. ι', τί. δ', καὶ ἐπὶ μισθώ(σεως), ὡς βι. κ' τί. α' κε. κβ' θέ. τελευταῖον οὗ ἡ ἀρχή Φυσικῶς καὶ ἐν τῇ πρά(σει) καὶ τῇ μισθώ(σει). οὐκ ἀρκεῖ δὲ πρὸ(ς) ἀπόδειξιν δόλου τὸ λέγειν πλείονος ἄξιον εἶναι τὸ πρᾶγμα. ἔξεστι γὰρ ἐπὶ τῇ πρά(σει) καὶ ἀγορα(σίᾳ) πε(ρι)γράφειν | ἀλλήλ(ους) μέχρι τοῦ ἡμίσεως 92r
δικαίου τιμήμ(α)τ(ος), τῆς ἐπιλογ(ῆς) τῆς ἤδη παρασχεθ(είσης) τῷ ἀγοραστῇ φυλαττομένης. (71) Καὶ ὅτι, ἐὰν φανερὸν τίμημα ὁρισθ(ῇ), πρᾶ(σ)ίς ἐστι καὶ ἀγορα(σία). ἐὰν δὲ πρᾶγμα ἀντὶ πράγματ(ος) δοθ(ῇ), ἀνταλλαγή ἐστι. καὶ ὅτι ἐν τῇ καταβολ(ῇ) δείκνυτ(αι), οὐκ ἐν τῇ συμφων(ίᾳ) ἡ πρᾶ(σις). (72) Καὶ ὅτι τὸν δόλ(ον) τοῦ ἀγοραστοῦ ἡ τοῦ πράγμ(α)τ(ος) ποιότ(ης) δείκνυσιν, οὐχὶ ἡ τοῦ τιμήματος ποσότ(ης). ἐὰν οὖν ἀποδειχθῇ δόλον γεγονέναι καὶ ὁ ἀγοράσας ἑτέρῳ μετεπώλ(ησε) τὸ πρᾶγμα, οὐ κατὰ τοῦ νῦν ἠγορακότ(ος) κινεῖται ἡ ἐπὶ τῷ πράγματ(ι) ἀγωγ(ή), ἀλλὰ κατὰ τοῦ δόλον ποιήσαντ(ος) κινεῖται ἀποκατάστασις. (73) Καὶ ὅτι ὁ πράτ(ης) εἰδὼς τὸν δόλον τοῦ ἀγοραστοῦ οὐ βοηθεῖται. τὸ δὲ κατὰ πλάνην καταβληθὲν τίμημα παρ' αὐτοῦ ἢ ἀντιλογισθὲν εἰς χρέος δύναται λαμβάνειν. (74) Καὶ ὅτι οὐ δύναται τὴν πρᾶ(σ)ιν ἀνατρέπειν ἐν τῷ λέγειν, ὅτι χρεῶν ἐπικειμένων ἢ λειτουργιῶν ἐπώλη(σεν) ὁ πράτ(ης). (75) Καὶ ὅτι προφά(σει) τοῦ γενέσθαι παραγγε-

4 ἀπαρέσκει Ed. T. | 20 πράσει καὶ ἀγορασίᾳ καὶ μισθ. Ed.

2 μὴ δὲ | 5 θανατιφόρους | 10 μὴ δὲ | 18-20 τοῦτο — μισθώσει in margine sine signo | 19 κε. μβ' | 22 π⟶γράφειν

λ(ίαν) παρὰ τοῦ πενθ(ε)ρ(οῦ) τοῦ πράτ(ου) ἡ πρᾶ(σις) οὐκ ἀνατρέπεται.(76) *Καὶ ὅτι ὁ ἀγοράσας μὴ πληρῶν τὰ δόξαντ(α) καὶ ὁ πράτ(ης) εἰς τὸ διαφέρον καταδικάζεται, οὐ μὴν τὸ συνάλλαγμα ἀνατρέπεται.*(77) *Καὶ ὅτι ὁ μείζων τῶν κε´ ἐνιαυτῶν καὶ ὁ συγγνώμην ἡλικίας λαβὼν — μετὰ δεκρέτου δηλαδή — κτήματα πωλή(σας) οὐ δύναται προφά(σει) τοῦ λέγειν, ὡς ἠγνόησε τὴν τῶν κτημάτων δύναμιν, ἀνατρέπειν τὰ συναλλάγματα.* (78) *Καὶ ὅτι, ὅτε ὁ δημό(σιος) πιπράσκει πρᾶγμα καταχρέου, μὴ κερδαινέ(τω), ἀλλὰ δοκιμαζέσθω ἡ τοῦ πράγματ(ος) ποιότ(ης) καὶ ἡ ποσότ(ης) τῶν προσόδων καὶ κατ' αὐτὴν γενέσθω καὶ ἡ πρᾶ(σ)ις.* (79) *Καὶ ὅτι ὁ πωλῶν τὰ ἑαυτοῦ, ἵνα μὴ λειτουργή(σῃ), ἀλλ' ὡς πένης ἥττονα παρέχῃ, καὶ τὸ συνάλλαγμα ἄχρηστον* [*ποιεῖ*]. *καὶ ὁ ἀγοραστής, ὅσον ἐπηγγείλ(α)τ(ο) τίμημα, τῇ πό(λει) καταβάλλει.* (80) *Καὶ ὅτι τοῦ δημο(σίου) πιπράσκοντος εἴτε ἄργυρον ἢ ἐσθήματ(α) ἤ τινα ἕτερα, μὴ ἐξέστω τοῖς παλατίνοις ἀγοράζειν, εἰ δὲ ἀγοράσουσι, τὸ τίμημα ζημιούσθωσαν. περὶ δὲ οἰκέτου μεθ' ὅπλων προσφυγόντος ζήτ(ει) βι. ε´ τί. α´ κε. ι´* (=13) *οὗ ἡ ἀρχὴ Μεθ' ὅπλων ὁ οἰκέτης προσφυγὼν εὐθὺς ἐκβαλλέσθω. ζήτ(ει) καὶ βι. ξ´ τί. μη´ κε. α´ οὗ ἡ ἀρχὴ Δύναται τὸν ἀπόντα δοῦλ(ον) πωλεῖν ὁ δεσπότ(ης). καὶ κε. ιβ´ οὗ ἡ ἀρχὴ Τὸν μὲν ἐν φυγῇ δοῦλ(ον) οὔτε πωλεῖν δύναταί τις οὔτε δωρεῖσθαι. καὶ βι. θ´ τί. α´ κε. ξς´* (=74) *οὗ ἡ ἀρχὴ Ἠγόρασέ τις δούλην ἢ ἔλαβεν αὐτὴν ὡς ὑπὲρ καταβολῆς. καὶ τοῦ ιθ´ βι. τί. α´, η´. καὶ βι. ξ´ τί. ν´ κε. κγ´* (=22) *οὗ ἡ ἀρχὴ Δοῦλος κατὰ δεσπότ(ου) οὐ βασανίζεται, εἰ μὴ μόνον, ὅτε πε(ρὶ) μοιχείας ἐστὶν ἡ ζήτησις. περὶ πρά(σεως) καὶ τῆς παρατηρήσεως ζήτ(ει) καὶ τὸν δ´ τί. τοῦ να´ βι. ὅλον.*

ΤΙ(ΤΛΟΣ) ια´.

Περὶ ἐκνική(σεως) πραθ(έν)τ(ος) πράγματ(ος) καὶ τῆς διπλῆς τῶν τιμῶν ἐπερωτ(ήσεως).

(1) *Καὶ περὶ τοῦ εἰ μέρος εἴτε ὅλος ὁ ἀγρὸς ἐκνικηθ(ῇ) καὶ εἰ ἐξ ἀδιαιρέτ(ου) τὸ μέρος ἐκνικηθ(ῇ), καὶ εἰ δῆλον μέρος, τί γίνεται.* (2) *Καὶ περὶ τοῦ ἐὰν ὁ πράτ(ης) μὴ ἀνέχηται τὸ διπλοῦν ἐπερωτηθῆναι.* (3) *Καὶ ὅτι τὸ πεκούλ(ιον) οὐκ ἀκολουθ(εῖ) τῷ πιπρασκομένῳ δούλῳ. εἰ δέ γε ἀφέλ(η)τ(αι) τοῦτο πιπρασκόμενος ὁ οἰκέτ(ης), ποία ἀγωγὴ δίδοται τῷ πράτ(ῃ) κατὰ τοῦ ἀγοραστοῦ.* (4) *Καὶ ὅτι ὁ πιπράσκων δοῦλον οὐ δίδω(σιν) ἐγγυητ(ήν), εἰ μὴ ῥητῶς συνεφωνήθ(η). σὺ δὲ γίνωσκε, ὅτι, εἰ μὴ πολλάκις, πρὶν ἢ* |

---

4 verba *μετὰ δεκρέτου δηλαδή* in margine cum signo ad *συγγνώμην* lin. 4 spectante | 15-16 *ἐκβαλέσθω* | 31 *ποῖα*

καταβληθ(ῇ) τὸ τίμημα, γένηται κίνησις περὶ τῆς τοῦ πραθ(έν)τ(ος δεσπο- 92v τ(είας), τότε οὐ δώσει τὸ τίμημα, ἕως οὗ λά(βῃ) ἀξιοπίστους ἐγγυητ(άς), ὡς ὁ ἀνώ(νυ)μ(ος) καὶ ὁ ἐναντιοφα(νής) φησί. ζήτ(ει) καὶ τούτ(ου) τοῦ βι- τί. ς'. καὶ ὅτι τοῦ ἐπιτρόπ(ου) πωλή(σαν)το(ς) εἰ ἐκνίκη(σις) γένηται, ὁ ἐπι. τροπευθεὶς ἐνάγεται, εἰς ὃ εἰσήχθη τοῖς λογισμοῖς αὐτ(οῦ).(5) Καὶ ὅτι ὁ σὺν πεκουλ(ίῳ) πωλή(σας) δοῦλον οὐ κατέχεται τῶν ἐν πεκουλ(ίῳ) πραγμάτων ἐκνικωμένων, εἰ μὴ ῥητῶς αὐτῶν ἐμνήσθη. πρόσχες. ζήτ(ει) δὲ τί. ι' κε. λ' οὗ ἡ ἀρχή Κατὰ συνέχειαν ἐπερωτᾶτ(αι). τοῦ δὲ ια' τί. τὸ λζ' (=35) κε. σκό- π(ει), οὗ ἡ ἀρχή Οὗτ(ε) περὶ παντ(ὸς) πράγμ(α)τ(ος). (6) Καὶ ὅτι ἡ περὶ τῆς ἐκνικήσ(εως) ἀσφάλ(εια) πρὸς τὴν συνήθ(ειαν) τοῦ τόπου, ἐν ᾧ τὸ συνάλ- λαγμα γέγονε, δίδοται. (7) Καὶ περὶ τοῦ ἀγοράσαντος ἀπὸ ἀνήβου τὸν ἀποκατάστατον τῷ ἀνήβῳ δοῦλον, πῶς οὐκ ἔχει κατὰ τοῦ ἀνήβου, ἀλλὰ κατὰ τοῦ ποτε δούλ(ου). (8) Καὶ περὶ τοῦ ποίαις ἀγωγαῖς κατέχεται ὁ πράτ(ης) τοῦ δούλ(ου) ἐκνικωμένου. (9) Καὶ περὶ τοῦ ἐὰν πωλή(σῃς) μοι δοῦλον Πέτρον καὶ κληρονομ(ήσω) Πέτρ(ου), πῶς ἀπόλλω τὴν περὶ ἐκνική(σεως) καὶ κινῶ τὴν περὶ πρά(σεως). (10) Καὶ περὶ τοῦ ἐὰν κατὰ τοῦ κοινοῦ ἀγροῦ πωλή(σῃς) μοι δουλείαν ὡς μόνος δεσπόζων καὶ κωλύωμαι παρὰ τῶν λοι- πῶν. (11) Καὶ περὶ τοῦ ἐὰν τὸν πραθ(έν)τ(α) σοι ἀγρὸν φιλοτιμήσηταί τινι ὁ βασιλ(εὺς) ἢ κελεύσῃ πραθῆ(ναι), πῶς ἐνέχ(ῃ) μοι ἐπὶ τῷ τιμήματι μήπω καταβληθ(έν)τ(ι). καὶ ὅτι ὁ εἰπὼν μὴ ὑποκεῖσθαι τὸν δοῦλ(ον) ἐνοχῇ, περὶ ἰδιωτικῶν δοκεῖ λέγειν, οὐ μὴν δημο(σί)ων ἁμαρτημάτων. (12) Καὶ πε(ρὶ) μερικοῦ κληρονόμ(ου) πωλή(σαν)τ(ος) ὁλόκληρον τὸν ἀγρὸν καὶ τὰ τιμή- ματ(α) δεδωκ(ό)τ(ος) τοῖς κληρονόμ(οις), πῶς ὑπόκεινται τῆς ἐκνική(σεως) γενομένης τῇ περὶ πρά(σεως) ἀγωγ(ῇ)· καὶ ὅτι δοκεῖ τὸ οἰκεῖον μέρος ἕκαστος πωλεῖν, εἰ παρῆν καὶ οὐκ ἀντέλεγε. (13) Καὶ ὅτι ἡ καλλονὴ τοῦ ἐκνικηθ(έν)τ(ος) μέρους σκοπεῖται, ἥτις ἦν ἐν τῷ καιρῷ τῆς πρά(σεως), οὐ μὴν τῆς ἐκνική(σεως). (14) Εἰ δὲ μετὰ ταῦτα γέγονε πρόσκλυσις ἤτ(οι) προσθήκ(η), τῷ καιρῷ τῆς προσθήκης προσέχομεν. καὶ εἰ χρῆ(σις) καρπῶν ἐκνικᾶται ἢ δουλ(εία), πῶς δεῖ τὴν ἀποτίμησιν γίνεσθαι. (15) Καὶ περὶ τοῦ, ποία ἀγωγ(ὴ) ἁρμό(ζει) ἐπὶ τῇ προσθήκῃ τοῦ πραθ(έν)τ(ος) ἐκνικη- θ(έν)τ(ος). (16) Καὶ ὅτι τὸ ἁπλοῦν δίδοται τῆς προσθή(κης) ἐκνικηθ(εί)σ(ης). καὶ πότ(ε) τὸ διπλά(σιον) βεβαιοῦται. καὶ ὅτι ἐκνικηθ(έν)τ(ος) τοῦ δούλ(ου) δύναται ὁ ἀγοραστὴς τὴν περὶ τοῦ διπλασίονος ἐπερώτ(ησιν) κινεῖν, εἰ ἐπερωτ(ήσῃ), πότε δὲ κέκτηται, μᾶλλον δὲ δύναται κινεῖν περὶ τῆς φυγῆς

---

3 ζήτει — τί. ς' in margine cum signo ad φησί lin. 3 spectante | 7-9 πρόσ- χες — πράγματος in margine sine signo | 8 initium citatum desideratur in fragm. Ed., forse ad caput 28 spectat | 11 ἀπὸ τοῦ ἀνήβου Ed. T.

---

2 τότε γὰρ οὐ δώσει | 25 καλονὴ | 30 ποῖα

τοῦ δούλ(ου) ἢ τοῦ πάθ(ους), ἀνάγνωθι. σὺ δὲ γίνωσκε, ὅτι, ἐὰν παραδοθ(ῇ) τῷ ἀγοραστῇ τὸ πρᾶγμα, κἂν μὴ τίμημα κατεβλήθ(η), ἔκτοτ(ε) δεσπότ(ης) ἐστὶ τοῦ πραθ(έν)τ(ος). καὶ ὅτι μετὰ τὴν ἐπερώτ(ησιν) οὐ δύναταί τις, ὃ πέπρακεν, ἐκδικεῖν, κἂν ἑτέρῳ δικ(αί)ῳ τὴν δεσποτ(είαν) αὐτοῦ ἐκτήσατ(ο). ὁ οὖν ἀγοραστὴς ἢ παραγράφεται αὐτὸν (17) ἢ διπλά(σι)ον διὰ τῆς ἐπ' αὐτῷ γενομένης ἐπερωτ(ήσεως) ἀπαιτεῖ ἐκνικωμ(έ)ν(ου) τοῦ πράγματ(ος). (18) Εἰ δὲ μὴ ἐπερω(τήσῃ), ἁρμό(ζει) ἡ περὶ τῆς πρά(σεως) ἀγωγ(ή). καὶ περὶ τοῦ ἐὰν ἐλεύθ(ε)ρ(ον) τὸν καλῇ πίστει δουλεύοντά σοι πωλή(σῃς) μοι καὶ μετὰ ταῦτα ὡς ἐλεύθ(ε)ρ(ον) γράψῃς αὐτὸν κληρονόμον. (19) Καὶ περὶ τοῦ ἐὰν ἀγρὸν ὑποθέμ(ε)νος τοῦτον πωλή(σω) καὶ εἴπω τὸν ἀγοραστὴν ὑπὸ τοῦ δανειστοῦ μὴ ἐνέχεσθαι χάριν αὐτοῦ τοῦ ἀγροῦ, ἀλλ' ἐμὲ δεφενδεύειν αὐτόν, εἶτα τοῦτον τὸν ἀγρὸν ὕστερον ἀγοράσω παρὰ τοῦ ἀγοραστοῦ καὶ ποιή(σῃ) μοι ἀσφάλ(ειαν) ὑπεξαιρεθῆναι τὸ · εἰ μὴ ἄ<ρ>α ὁ δανειστὴς ἔλθ(ῃ) κινῶν. (20) Καὶ ὅτι, ἐὰν ὁ πραθεὶς δοῦλ(ος) ἀποθά(νῃ), πρὶν ἢ | ἐκνι- 93r κηθ(ῃ), οὐ βεβαιοῦται ἡ τῆς ἐπερωτ(ήσεως) εἰς τὸ διπλοῦν ἀγωγ(ή), ἀλλ' ἡ περὶ δόλ(ου) ἁρμό(ζει) δόλου γενομένου. τότε γὰρ τὸ διπλά(σι)ον βεβαιοῦται, ὅτε δι' αὐτὴν τὴν ἐκνίκη(σιν) οὐκ ἔξεστι τῷ ἀγοραστῇ ἔχειν τὸ πρᾶγμα. καὶ περὶ ἐναγομένου παρασχόντος τὸν πράτ(ην) ἐντολέα καὶ διδόντ(ος) τὴν ἀποτίμησιν τῆς δίκης ἢ ἀγοραστοῦ ἡττηθ(έν)τ(ος) καὶ παρασχόντος τὴν ἀποτίμησιν τῆς δίκης, πότε βεβαιοῦται ἢ οὐ βεβαιοῦται τὸ διπλά(σι)ον. καὶ εἰ μετὰ προκάταρξιν φύγῃ ὁ δοῦλ(ος) ῥᾳθυμίᾳ τοῦ ἀγοραστοῦ ἢ χωρὶς ῥᾳθυμίας, τί γίνετ(αι). (21) Καὶ εἰ ὁ ἐπίτροπος οἴκοθεν καταβάλλ(ει) ἐκνικηθ(έν)τ(ος) τοῦ πραθ(έν)τ(ος) τῷ ἀνήβῳ δούλ(ου), τίνι δέδοται ἡ περὶ ἐκνική(σεως) κατὰ τοῦ πράτ(ου) ἐπερώτ(ησις). καὶ ἐὰν ὁ δοθεὶς ἀγρὸς ἐν προικὶ ἐκνικηθ(ῇ) παρὰ τοῦ ἀνδρός, κατὰ τίνων ἔχει ἡ γυνή. (22) Καὶ εἰ μετὰ θάνατον τῆς γυναικὸς ἐκνικηθ(ῇ), τί γίνεται. (23) Καὶ εἰ τῷ δεσπότ(ῃ) τοῦ ἀγροῦ γαμουμένη ἐπέδωκεν αὐτὸν ἐν προικί. (24-5) Καὶ ὅτι ὁ ἀλλότρ(ιον) οἰκέτ(ην) ἀγορά(σας) καὶ ἐπερωτ(ήσας) τὴν δούπλ(αν), ἐὰν ἐλευθερώσῃ αὐτὸν καὶ ἐκνικηθ(ῇ), ἐπεὶ οὐκ ἠδύνατο ἀλλότρ(ιον) ἐλευθεροῦν, οὐκ ἔχει τὴν δούπλ(αν), ἔχει δὲ τὴν περὶ πρά(σεως), ἀπαιτῶν τὸν πράτ(ην) τὸ διαφέρον τοῦ πατρωνικοῦ δικαίου. (26) Καὶ πότε ἀντιτεθείσης παραγρα(φῆς) τῷ ἀγοραστῇ ἐκπεσόντ(ι) τῆς νομῆς τοῦ πραθ(έν)τ(ος), ἔχει χώραν ἡ δούπλ(α) καὶ πότ(ε) οὔ. (27) Καὶ εἰ ἐκ προσώπου τοῦ ἀγοραστοῦ καὶ τοῦ πράτ(ου) ἀντιτεθῶ(σι) παραγρα(φαί). (28) Καὶ περὶ τοῦ ἐὰν ἀλλότρ(ιον) πωλή(σῃς) μοι καὶ ἀγορά(σω) αὐτὸ παρὰ τοῦ δεσπότ(ου), οὐκ ἀπαιτεῖς με τὸ τίμημα. καὶ περὶ τοῦ ἐὰν ὁ ἀγοραστὴς ὁ ἐπερωτ(ήσας) τὴν δούπλ(αν) ἐξέ-

2 καταβληθῇ Ed. T. | 9 γράψῃς κληρονόμον Ed. T. | 18 διδόντα Ed. T.

15 εἰ τὸ διπλ.

πεσε τῆς τοῦ ἀγορασθέ(ν)τ(ος) νομῆς καὶ κατὰ τοῦ νεμομένου κινήσας ἡττή(θη), τὸ δὲ πρᾶγμα τοιοῦτον ἦν, ὅπερ νεμόμενος μὲν ἀσφαλῶς ἠδύνατο ἔχειν, ἐκπεσὼν δὲ οὐκ ἠδύνατ(ό) τινα κινεῖν κατὰ τοῦ νεμομένου. καὶ ὅτι ἐν παντὶ καιρῷ δυνατὸν παραγγέλλειν τῷ πράτ(ῃ) ἐκνικωμένου τοῦ πράγματος, μόνον μέντοι μὴ ἐν τῷ μέλλειν καταδικάζεσθαι. ἀνά(γνωθι) πε(ρὶ) παραγγελ(ίας) πράτ(ου). περὶ δὲ τοῦ ἐάν τις ἀγρὸν ἀγορά(σῃ) παρὰ τ(οῦ) μὴ δεσπότ(ου) πωλοῦντος αὐτοῦ τοῦ δεσπότ(ου) παραγγέλλ(ον)τ(ος) αὐτῷ μὴ ἀγορά(σαι) ζήτ(ει) βι. ιε′ τί. α′ κε. ϛζ′ (=96) *καὶ κε. λη′* (=37) *οὗ ἡ ἀρχή Εἰ καὶ καλ(ῇ) πίστει ἀγορά(σω) ἔδαφος. καὶ πῶς καταδικάζεται ὁ μὴ παραγγείλας, ζήτ(ει) βι. θ′ τί. α′ κε. ξϛ′* (=74) *οὗ ἡ ἀρχή Ἠγόρασέ τις δούλην ἢ ἔλαβ(εν) αὐτὴν ὡς ὑπὲρ καταβολῆς. περὶ δὲ τοῦ μὴ ὑπερτίθεσθαι τὴν δίκην διὰ τὴν ἀπουσίαν τοῦ πρά(του) τοῦ ἀγοραστοῦ ἐπιδημοῦντος καὶ τοῦ κυρίου τοῦ πράγματος, ζήτ(ει) βι. ζ′ τί. ε′ κε. πβ′* (=91) *οὗ ἡ ἀρχή Ἡ περὶ δεσποτ(είας) ἀγωγ(ὴ) οὐ κινεῖται κατὰ τοῦ ἀλλότρ(ιον) πεπρακ(ό)τ(ος).* (29) *Καὶ πε(ρὶ) τοῦ ἐάν τις ὑποστὰς κλοπήν, τοῦ ἐπερωτ(ήσαντος) κληρονομή(σῃ), μὴ ὑποκεῖσθαι κλοπῇ τὸν δοῦλ(ον), πῶς ἔχει τὴν περὶ ἐπερωτ(ήσεως) ἀγωγ(ήν).* (30) *Καὶ πῶς εἰς τ(ὸ) διαφέρον ἐνάγεται ὁ ὁμολογή(σας) ὑγιᾶ εἶναι τὸν δοῦλ(ον) ἢ μὴ κλέπτην ἢ νεκροθάπτην.* (31) *Καὶ ὅτι ὁ περὶ πολλῶν κεφαλαίων τὸ διπλά(σιον) ἐπερωτ(ήσας), τυχὸν μὴ εἶναι κλέπτην ἢ ῥέμβον, δύναται πολλάκις τὴν περὶ ἐπερωτ(ήσεως) ἀγωγὴν κινεῖν, ὥστε μέντοι μὴ τοῦ αὐτοῦ πράγματος δεύτ(ε)ρ(ον) λαβεῖν τὴν ἀποτίμη(σιν).* (32) *Καὶ περὶ τοῦ ἐὰν δοῦλον ἀγορά(σας) πωλή(σω) αὐτὸν καὶ ἐκνικηθ(ῇ) καὶ καταδικασθῶ.* (33) *Καὶ ὅτι ἐὰν ἡ προσταθεῖσα παρὰ τοῦ ἀγοραστοῦ ἐλευθερωθ(ῇ) κατὰ τὸ σύμφωνον τῆς πράσεως, αὐτὸς ἐλευθεροῦν δοκεῖ. καὶ περὶ τοῦ ἐξωνησαμένου κοινὸν δοῦλ(ον) καὶ προσκυρωθ(έν)τ(α) διὰ τῆς ἐκνική(σεως) τῷ κοινωνῷ, χώρα τῇ ἀγωγῇ, εἴτε ἡ δεσποτ(εία) εἴτε ἡ ὑποθ(ήκη) ἐκνικηθ(ῇ) τοῦ πράγμ(α)τ(ος).* (34) *Καὶ περὶ οἴκου ἢ πλοίου | πραθ(έν)τ(ος)* 93v
οὐ δοκεῖ τὸ καθέκαστον, ἢ λίθ(οι) ἢ σανίδ(ες) πιπράσκεσθαι οὔτε περὶ ἐκνική(σεως) αὐτῶν ὁ πρά(της) ἐνέχεται ὡσανεὶ μέρους ἐκνικηθ(έν)τ(ος). (35) *Καὶ ὅτι περὶ παντὸς πράγμ(α)το(ς) οὐ δεῖ ἐπερωτᾶσθαι τὸν πράτ(ην) τὴν δούπλ(αν), ἀλλὰ περὶ τῶν τιμίων καὶ τῶν οὐκ εὐκαταφρονήτων. ἐγγύας δὲ οὐ δίδω(σιν), εἰ μὴ συνεφωνήθ(η). καὶ περὶ ἀγοραστοῦ ἀντὶ τοῦ διπλοῦ τὸ ἁπλοῦν ἐπερωτ(ήσαντος) καὶ τοῦ πράγμ(α)τ(ος) ἐκνικηθ(έν)τ(ος), τί γίνετ(αι).* (36) *Καὶ περὶ τοῦ ἐὰν τὸ ἐνέχυρον πραθ(ὲν) παρὰ τοῦ δανειστοῦ*

---

13 initium citatum sequitur versionem cod. Coislin. Basilicorum | 34 *ἐὰν τὸ ἐνέχυρον, ἐὰν πραθῇ π. τ. δαν.* Ed. T.

---

4 *παραγγέλειν* | 5-9 *ἀνάγνωθι — ἔδαφος* in margine sine signo | 7 *παραγγέλοντος* | 20 *ῥεμβὸν* | 34 *περὶ τοῦ τὸ ἐνέχυρον ἐὰν*

ἐκνικηθ(ῇ), πῶς οὐχ ὑπόκειται δεφενσίονι, ἀλλὰ μόνον ὁ δανειστὴς ἐκχωρεῖ τὰς κατὰ τοῦ χρεώστου ἀγωγὰς τῷ ἀγοραστῇ. ἀνά(γνωθι) καὶ τί. ζ′ τ(οῦ) κε′ βι. κε. ξα′ (=63) *θέ. α′ οὗ ἡ ἀρχὴ Ὁ δανειστὴς πωλῶν τὸ ἐνέχυρον δικαίῳ δανειστικῷ.* (37) *Καὶ πε(ρὶ) τοῦ ἐὰν ἀγοράσας ἀγρὸν παρὰ νέου πωλή(σῃς) μοι αὐτὸν καὶ ἐκνικᾷ τοῦτον ὁ νέος. καὶ ὅτι δοῦλον ἀγοράσας ὁ δοῦλός σου παρὰ Παύλ(ου) πέπρακέ μοι αὐτὸν καὶ σοὶ μὲν ὁ Παῦλος ἐπηρωτήθ(η) περὶ ἐκνική(σεως) τὸ διπλά(σι)ον, ἐμοὶ δὲ ὁ δοῦλός σου, ἀνά(γνωθι) διαστίξεις πολυσχεδεῖς. καὶ περὶ τοῦ ἐὰν πωλή(σω) σοι τὸ δίμοιρον τοῦ ἀγροῦ καὶ Πέτρος τὸ τρίτον, εἶτα τὸ ἥμι(συ) αὐτοῦ ἐκδικεῖτ(αι). καὶ ὅτι ὑπόκειται τῇ ἐκνική(σει) ὁ υἱὸν ἴδιον ἢ οἱονδήποτε ἐλεύθ(ε)ρ(ον) εἰδὼς ἢ ἀγνοῶν ἀγνοοῦντι ἀγοραστῇ πωλῶν ὡς δοῦλ(ον), καὶ ὁ ὑπὸ ὅρον ἐλευθερούμενον πωλῶν. μὴ λάθ(η) σε δὲ καὶ τὸ ζ′ κε. τοῦ η′ τί. μη′ βι. οὗ ἡ ἀρχή Εἰ εἰδώς σε ἐλεύθ(ε)ρ(ον) καὶ εἰδότα ἀγορά(σας). καὶ θέ. α′. περὶ δὲ τοῦ πωλή(σαν)τ(ος) τοὺς παῖδ(ας) αὐτοῦ καὶ ἐλεύθ(ε)ρ(ον) πρᾶγμ(α) ζήτ(ει) τοῦ μη′ βι. τί. κ′ περὶ ἐλευθ(έ)ρου πραθ(έν)τ(ος). ζήτ(ει) καὶ τὸν θ′ τί. τοῦ αὐτ(οῦ) μη′ βι. σὺ δὲ γίνωσκε, ὅτι περὶ ἐκνική(σεως) διαλεγόμενός φη(σιν) ὁ νομοθ(έ)τ(ης), ἃ καὶ ἔφη, πλὴν ὑπόκειται ὁ πιπράσκων τὸν ἐλεύθ(ε)ρ(ον) καὶ τῷ περὶ ἀνδραποδιστῶν ἐγκλήμ(α)τ(ι). καὶ ἀνά(γνωθι) βι. ζ′ τί. ε′ κε. πδ′* (=77) *οὗ ἡ ἀρχὴ Ὁ ἐν εἰδή(σει) πιπράσκων τὸν ἐλεύθ(ε)ρ(ον), τῷ τῶν ἀνδραποδιστῶν ἐγκλήματ(ι) ὑποπίπτει. καὶ βι. ξ′ τί. μη′ κε. κ′ οὗ ἡ ἀρχή Ὁ τὸν ἐλεύθ(ε)ρ(ον) ἐν εἰδή(σει) μὴ βουλόμενον πιπράσκων. λέγει δέ, ὅτι καὶ ὁ ἀγοράσας εἰδὼς τὸν ἐλεύθ(ε)ρ(ον), ἵνα ὑπόκειται τῇ ποινῇ καὶ ὁ δωρησάμενος ἢ εἰς προῖκα δοὺς ἢ ἀνταλλάξας. καὶ περὶ τοῦ ἐὰν πωλῶν ἀγρὸν εἴπω τὴν χρῆ(σιν)· τοῦ καρποῦ αὐτοῦ εἶναι Παύλου οὖσαν Πέτρ(ου) καὶ ἐκνική(σῃ) αὐτὴν Πέτρος. καὶ εἰ Παύλῳ ἐληγατεύθ(η) καὶ ὅτε παύσεται αὐτοῦ, εἶναι Πέτρου.* (38) *Καὶ περὶ τοῦ ἐὰν ὁ ἀγοράσας ἀγρὸν παρ' ἐμοῦ καὶ λαβὼν ἐγγύας γρά(ψῃ) με κληρονόμον καὶ τὸν ἀγρὸν ληγατεύσῃ.* (39) *Καὶ περὶ τοῦ ἐὰν κληρονομή(σω) τοῦ ἐπερωτήσαντός με καὶ ἐπερωτηθέντ(ος) μοι τὸ διπλά(σι)ον καὶ ἐκνικηθ(ῇ) τὸ πραθ(έν). καὶ εἰ ὁ ἀγοραστὴς κληρονομή(σῃ) τοῦ κυρίου τοῦ πραθ(έν)τ(ος). καὶ περὶ τοῦ ἐὰν ἀγοράσας ἀγρὸν παρὰ σοῦ καὶ λαβὼν ἐγγυητ(ὴν) πωλήσω αὐτὸν Πέτρῳ, εἶτα κληρονομήσω Πέτρ(ου) ἢ Πέτρος ἐμοῦ καὶ ἐκνικηθ(ῇ) ὁ ἀγρός. καὶ εἰ δανειστὴς κληρονομή(σῃ) τοῦ χρεώστου ἢ τοὐναντίον χρεώστης κληρονομή(σῃ) τοῦ δανειστοῦ.* (40) *Καὶ ὅτι εἰ ἔγκυος πωληθ(ῇ) καὶ τὸ τεχθὲν ἐκνικηθ(ῇ), οὐκ ἐνέχεται ὁ πράτ(ης).* (41) *Τὸ αὐτὸ καὶ ἐπὶ τοῦ μετὰ τὴν πρᾶ(σ)ιν τεχθέντος μόσχου.* (42) *Καὶ περὶ τοῦ πωλήσαντ(ος) ἀγρὸν ἑκατὸν ζευγῶν καὶ ὑποδεί-*

---

1 *ἀλλ' ἢ μόνον* | 6-7 *ἐπερωτήθη* | 10-11 *εἰ δὲ ἢ ἀγν.* | 11-16 *μὴ — μη′ βι.* in margine cum signo ad *πωλῶν* lin. 11 spectante | 26 *Πέτρῳ* | 28-29 *ἐπερωτηθέντος με*

ξαντος τοὺς ὅρους πλείονος μέτρου, πῶς, εἰ καὶ τί ποτε ἐκ τῶν ὅρων ἐκνικηθ(ῇ), πρὸ(ς) τὴν καλλονὴν ὑπόκειται, εἰ καὶ τὸ περιλειφθὲν ἔχει τὰ ρ′ ζεύγη. (43) Καὶ ὅτι, εἰ πωλήσῃς μοι ἀγρόν, οὗ τὸν οὐσούφρουκτ(ον) εἶχε Τίτιος, τοῦτον ἐπώλη(σα) ἑτέρῳ παρακατασχὼν τὸν οὐσούφρουκτ(ον), εἰ σβεσθῇ εἰς πρόσωπον Τιτίου, πρὸ(ς) τὸν ἀγοραστὴν ἐπανέρχεται, ἐγὼ δὲ ἀπαιτῶ σε τὸ διαφέρον. καὶ ὅτι ὁ κατὰ ἀλλοτρ(ίου) ἀγροῦ δουλείαν συνιστῶν, ὑπόκειται τῇ ἐκνική(σει). καὶ ὅτι, ἐὰν τὸν ἐλευθερωθ(έν)τ(α) ὑπὸ αἵρε(σιν) τὴν · ἐὰν ὑπατεύσῃ Πέτρος, πωλήσω σοι εἰπὼν τὴν αἵρε(σιν) εἶναι · ἐὰν ἡ ναῦς ἐξ Ἀσίας ἔλθῃ, καὶ πρῶτον μὲν ἡ ναῦς ἔλθ(ῃ), μετὰ | δὲ ταῦτα Πέτρος ὑπατεύσῃ, καὶ τότε ὁ δοῦλος ἐλευθερωθ(ῇ). καὶ 94r εἰ τὸν μετὰ διετίαν ἐλευθερωθῆναι κελευσθέντα εἴπω μετ' ἐνιαυτὸν ἐλευθερωθ(ῆ)ν(αι) ἢ τὸν κελευσθέντ(α) ἐλευθερωθῆναι, ἂν παράσχῃ ε′ νομίσματα, εἴπω δέκα παρασχεῖν, ὁ μὲν μετὰ διετ(ίαν), ὁ δὲ τὰ δέκα νομίσματα δεδωκὼς ἐλευθερωθῇ. (44) Καὶ περὶ τοῦ ἐὰν δύο δούλους ἀπὸ ε′ νομισμάτων ἀγορά(σω) καὶ ὁ εἷς ἐκνικηθῇ. (45) Καὶ περὶ τοῦ ἐὰν ὡς κάλλιστος καὶ μέγιστος ἀγρὸς πραθ(ῇ) μοι καὶ προφά(σει) δουλειῶν ἐκνικηθεισῶν λάβω τι παρὰ τοῦ πράτ(ου), εἶτα ὁ ἀγρὸς ἐκνικηθ(ῇ). (46) Καὶ ὅτι καὶ χρήσεως ἐκνικωμένης χρεωστεῖ ὁ ἀγοραστὴς τῷ πράτ(ῃ) παραγγέλλειν. (47) Καὶ πότε οἱ ταξεῶται πωλή(σαν)τ(ες) τὸ κελεύσει δικαστικῇ πιπρασκόμενον, ὑπόκεινται ἐκνικωμένου τοῦ πράγμ(α)τ(ος) καὶ πότε οὐχ ὑπόκεινται. καὶ εἰ κατὰ δόλ(ον) ἥττονος ἐπώλησαν. (48) Καὶ ὅτι, ἐὰν κατὰ πλάνην ἢ ἄγνοιαν ἢ ῥυπαρίαν τοῦ δικαστοῦ ἡττηθ(ῇ) ὁ ἀγοραστής, οὐκ ἐνέχεται ὁ πράτ(ης). καὶ περὶ τοῦ ἐὰν πωλή(σω) τὸν ἐλευθερωθῆναι κελευσθ(έν)τ(α) μετὰ θάνατόν μου καὶ τελευτήσαντός μου ἐλευθερωθ(ῇ). καὶ περὶ τοῦ ἐὰν ὁ πράτ(ης) ἐν τῷ πραθ(έν)τ(ι) τόπ(ῳ) κατὰ γνώμην τοῦ ἀγοραστοῦ ταφῇ, ἀπόλλυται ἡ περὶ τῆς ἐκνική(σεως) ἀγωγή. καὶ ὅτι ἔσθ' ὅτε καὶ ὁ κληρονόμος τοῦ τελευτήσαντ(ος) πράτ(ου) περὶ ἐκνική(σεως) ἐνέχεται, εἰ μὴ καὶ ὡσαύτως ὁ τελευτήσας ἐνείχετ(ο), ὡς ὅταν ἀγορά(σω) δοῦλον καὶ μετὰ θάνατόν μου γρα(φῇ) κληρονόμος καὶ ὑπεισέλθ(ῃ) τὴν κληρονομ(ίαν) κελεύσει τοῦ κληρονόμ(ου). καὶ περὶ τοῦ ἐὰν πολλῶν εἰς ὁλόκληρον ἐνεχομένων μοι περὶ ἐκνική(σεως) ἐναγάγω τῷ ἑνὶ μετὰ ταῦτα κινῶν τοῖς ἄλλοις, ἐκβάλλομαι παραγρα(φῆς). (49) Καὶ περὶ τοῦ ἐὰν ὑπὲρ ἑκάστου ζεύγ(ους) ἐργασίας συμφωνηθ(ῇ) τὸ τίμημα τοῦ ἀγροῦ καὶ μέρος ἐκνικηθ(ῇ), πρὸ(ς) τὸ μέτρον καὶ οὐ πρὸ(ς) τὴν καλλονὴν τῶν ἐκνικηθ(έν)τ(ων) ὁ πράτ(ης) ὑπόκειται. καὶ ὅτι ἐὰν δυνάμενος ὁ ἀγοραστὴς μὴ παραγγείλ(ῃ) καὶ ἐξ ἀγνοίας ἡττηθ(ῇ),

---

12 ἐὰν παράσχῃ Ed. T. | 14 ἀνὰ ε′ νομίσματα Ed. T. | 32 παραγραφῇ Ed. T.

---

2 καλονὴν | 4 πωλήσας | 12 ε′ *ii* | 13 δέκα *ii* | 14-15 *ii* ἀγορά(σω) | 18 παραγγέλειν | 34 καλονὴν

οὐ κινεῖ τὴν ἐκστιπουλάτ(ου). ζήτ(ει) καὶ κε. κθ' (=28) *θέ. α'*(=3) *οὗ ἡ ἀρχή*
Ἐν παντὶ καιρῷ δύναται παραγγέλλειν. (50) *Καὶ ὅτι μετὰ τὴν διὰ χρή-*
(σεως) κυριότητ(α) ἢ τὴν τοῦ μακροῦ χρόνου παραγραφὴν οὐκ ἐνέχεται
περὶ ἐκνική(σεως) ὁ πωλήσας ἀλλότρ(ιον). καὶ περὶ τοῦ ἐὰν πωλῶν δοῦλον
ὑπὸ ὅρον ἐλευθερωθέντα μείζονα τῆς ἀληθ(οῦς) ποσότ(η)τ(ος) εἴπω αὐτῷ
κελευσθῆναι παρασχεῖν. καὶ ἐὰν περὶ τὸ ποσὸν μὴ ψεύσωμαι, τὸ δὲ πρό-
σωπον ἀποσιωπήσω. (51) *Καὶ ὅτι ὁ ἀγοραστὴς διὰ τὴν οἰκείαν ἀπουσίαν*
καταδικασθεὶς οὐ δύναται κατὰ τοῦ πράτου χωρεῖν, εἰ μὴ ἄνηβος ἦν ὁ
ἐναγόμενος καὶ ὁ ἐπίτροπος ἀπολειφθέντος τοῦ ἀνήβου κατεδικάσθη. καὶ
ὅτι παρόντι δεῖ παραγγέλλειν τῷ πράτ(ῃ), εἰ μέντοι ἄπεστιν ἢ παρὼν ἐμ-
ποδίζει παραγγελθῆναι, βεβαιοῦται ἡ τοῦ διπλοῦ ἐπερώτ(ησις). (52) *Καὶ*
περὶ τοῦ ἐὰν συμφωνηθ(ῇ) ὁμολογηθῆναι τὸ ἁπλοῦν ἢ τριπλοῦν ἢ τετρα-
πλοῦν, τί δεῖ γενέσθαι. καὶ ὅτι παρὰ αἱρετῷ δικαστῇ εἰ καταδικασθῇ ὁ
ἀγοραστής, οὐκ ἔχει κατὰ τοῦ πράτ(ου) περὶ ἐκνική(σεως). καὶ ὅτι δούλ(ου)
πιπρασκομένου χρειῶδές ἐστιν ἐπερωτᾶν περὶ τῆς μερικῆς αὐτοῦ ἐκνική-
(σεως). οὔτε γὰρ ἐκνικᾶσθαι δοκεῖ μέρους ἐκνικωμένου. καὶ ὅτι ἐὰν δυνά-
μενος ὁ ἀγοραστὴς μὴ διὰ χρή(σεως) κυριεύσῃ καὶ ἐκνικηθ(ῇ) τὸ πρᾶγμα,
οὐκ ἔχει κατὰ τοῦ πράτ(ου). καὶ περὶ τοῦ ἐὰν παρόντος καὶ γινώσκοντος
τοῦ πράτ(ου) παραγγελθ(ῇ) ὁ φροντιστὴς αὐτοῦ. καὶ ὅτι ἀπολιμπανομ(έ)ν(ου)
τοῦ ἐπιτρόπ(ου) κατὰ φιλάγαθ(ον) ὁ ἄνηβ(ος) παραγγέλλ(ει). (53) *Καὶ περὶ*
τοῦ ἐὰν ὁ νικήσας τὸν ἀγοραστὴν καὶ μήπω λαβὼν τὸ πρᾶγμα τελευτ(ήσῃ)
ἀδιάδοχ(ος) καὶ μήτε ὁ δημό(σιος) μήτε οἱ δανεισταὶ λά(βωσι) τὴν οὐσίαν |
αὐτοῦ. καὶ ἐὰν ὁ νικήσας, πρὶν ἢ λά(βῃ) τὸ πρᾶγμα, δωρήσηται ἢ ληγατεύ- 94v
σῃ αὐτὸ τῷ ἀγοραστῇ. (54) *Καὶ ἐὰν δοῦλος γενικῶς ἐληγατεύθ(η) μοι καὶ*
δέδωκέ μοι ὁ κληρονόμος ἕνα ὁμολογήσας περὶ δόλ(ου), εἰ ἐκνικηθ(ῇ), τί
ὀφείλει γενέσθαι. (55) *Καὶ ἐὰν ὁ ἀγοραστὴς ληγατεύσῃ μοι τὸ πρᾶγμα.*
(56) *Καὶ ὅτι, εἰ μὴ λεχθῇ ἐν τῇ πρά(σει), πόσον ὑπὲρ ἐκνική(σεως) ὀφείλ(ει)*
παρασχεῖν ὁ πράτ(ης), τὸ ἁπλοῦν μόνον διὰ τὴν ἐκνίκη(σιν) δίδω(σι) καὶ τὸ
διαφέρον κατὰ τὴν φύσιν τῆς ἐπὶ τῇ πρά(σει) ἀγωγῆς. (57) *Καὶ ἐάν, ὅπερ*
ἐπώλησάς μοι, παραδώσεις γνώμῃ μου Πέτρῳ ἀγοράσαντι αὐτὸ παρ' ἐμοῦ,
ἐνέχ(ῃ) μοι περὶ ἐκνική(σεως). (58) *Καὶ περὶ τοῦ ἐάν, ὅπερ ἔχω παρά σοί,*
πωλή(σω) σοι. καὶ περὶ τοῦ ἐὰν πολλοὶ κληρονομή(σωσι) τοῦ πρ(ά)τ(ου),
πάντες παραγγέλλονται καὶ διεκδικοῦσι καὶ ὁ εἷς δικασάμενος τοῖς πᾶσι
νικᾷ καὶ ἡττᾶται τῶν λοιπῶν κατὰ ῥᾳθυμίαν ἴσως εἰς τὸ δικαστήρ(ιον) μὴ

---

23 *δωρ. καὶ ληγατ.* Ed. T. | 26 *δεῖ γενέσθαι* Ed. T. | 28 *ἐκδίδωσι* Ed. T. | 30 *παραδώσῃς* Ed. T.

---

2 *παραγγέλειν* | 5 *εἰπὼν* | 6 *ψεύσομαι* | 13 *περὶ αἱρ.* | 17 *κυριεύσει* | 20 *παραγγέλ(ει)* | 33 *παραγγέλονται*

ἐρχομένων. καὶ ὅτι, ἐὰν ληγατευθ(ῇ) οὐσούφρουκτ(ος) ἀγροῦ Πέτρῳ, ἐφ' ὅσον ζῇ καὶ πωλήσῃ μοι τὸν ἀγρὸν ἀγνοοῦντι δίχα οὐσουφρούκτ(ου) καὶ Πέτρος ὑποστὰς ἀλλαγὴν καταστά(σεως) ἐκδικῇ τὸν οὐσούφρουκτον, ἔχω κατὰ σοῦ τὴν περὶ ἐκνική(σεως) εἰς τὸ διπλοῦν ἀγωγήν. (59) *Καὶ περὶ τοῦ ἐὰν ἀπὸ σύμφώνου συνεφωνήθ(η) μὴ παραγγέλλειν τὸν ἀγοραστὴν τῷ πράτ(ῃ) τοῦ πράγματος ἐκνικωμένου, πῶς κρατεῖ. καὶ περὶ τοῦ ἐὰν παραγγελθ(έν)τ(ος) καὶ παρόντος τοῦ πράτ(ου) ἐκνικηθ(ῇ) ὁ ἀγρὸς κατὰ δεσποτ(είαν) ἢ ὑποθή(κην), πῶς ἐνέχεται εἰς τὸ διπλοῦν, κἂν ὁ ἀγοραστὴς ἐξεκαλέσατ(ο). καὶ περὶ ἀγοραστοῦ ἐκκαλεσαμένου καὶ καλοῦ ὄντος τοῦ πράγματ(ος) διὰ παραγραφῆς ἐκβληθέντος ἐξ οἰκείου αἰτίου, πῶς οὐκ ἔχει κατὰ τοῦ πράτ(ου).* (60) *Καὶ ὅτι χιλίων ζευγῶν ἐργασιῶν παραδοθεισῶν ὁ ποταμὸς περιεῖλε σ' καὶ μετὰ ταῦτα σ' ἕτ(ε)ρ(α) ἐκνικηθ(ῇ), ἡ διὰ τοῦ ποταμοῦ ζημία τὸν ἀγοραστὴν ὁρᾷ καὶ τὸ διπλά(σι)ον ἐπὶ τῷ πέμπτῳ κινεῖται. καὶ εἰ μετὰ τὴν τοῦ ποταμοῦ μείωσιν ὅλος ὁ ἀγρὸς ἐκνικηθῇ ἢ ὅτε τὸ πραθὲν ἐξ ἀμελείας χεῖρον γένηται ἢ κρεῖττον ἢ προστεθῇ τῷ ἀγρῷ διὰ προσχώσεως διακο(σί)ων ζευγῶν ἐργασίας καὶ ἐκνικηθ(ῇ) ἐξ ἀδιαιρέτ(ου) τὸ πέμπτον αὐτοῦ μέρος μόνον. καὶ εἰ χιλίων παραδοθέντων ἀπόλητ(αι) διακό(σια) καὶ κατὰ ἄλλο μέρος διὰ προσχώσεως γένηται διακό(σια), εἶτα ἐξ ἀδιαιρέτ(ου) τὸ πέμπτον μέρος ἐκνικηθ(ῇ). καὶ περὶ τοῦ, ἔνθα μέρος δῆλον ἐκνικηθ(ῇ), εἰς τὸ ποῖον ὁ πράτ(ης) ὑπόκειται καὶ οὐ πρὸ(ς) τὸ ποσὸν τῶν ζευγῶν τῆς ἐργασίας. καὶ περὶ τοῦ παραδιδόντος τινί, ὅπερ ἔχει κοινὸν ἐξ ἀδιαιρέτ(ου), τί δοκεῖ παραδιδόναι, τουτέστι τὸ ἥμι(συ), ὥσπερ εἰ δῆλον ἀγρὸν ἢ τόπον ὁμοίως παρέδωκ(ε).* (61) *Καὶ ὅτι τὸ ὑποκείμενον ἐπώλησαν οἱ κληρονόμοι ὁμολογήσαντες τῇ ἐκνική(σει) κατὰ τὰ κληρονομιαῖα μέρη καὶ ὁ εἷς τὸ ἁρμόζον αὐτῷ τ(οῦ) χρέους κατέβα(λε) τῷ δανειστῇ καὶ οὕτως ἐξενίκη(σεν) ὁ δανειστὴς τὸ πρᾶγμα, οἱ δύο κληρονόμοι ὑπόκεινται.* (62) *Καὶ ὅτι ὑπομνησθεὶς ὑπὸ τοῦ πράτ(ου) καὶ μὴ ἀνασχόμενος ὁ ἀγοραστὴς κινῆσαι πουβλικιανὴν ἢ βεκτιγαλίαν, οὐκ ἔχει τὴν ἐξ στιπουλ(ά)τ(ου). ἕτερόν φαμεν ἐπὶ τῆς σερβιανῆς. καὶ περὶ τοῦ ἐὰν ἀλλότρ(ι)όν τις ἀγορά(σῃ) ἀγρὸν καὶ οὐσουκαπιτεύσῃ αὐτὸν τοῦ δεσπότ(ου) διὰ πρᾶγμα δημό(σιον) ἀπολιμπανομένου καὶ ἐπανιόντος καὶ ἀπαιτοῦντος τὸν ἀγρόν. καὶ περὶ τοῦ ἐὰν τὸν πωλή(σαν)τ(ά) μοι προβάλλωμαι ἐπὶ τῇ ἐκνική(σει) ἐντολ(έα) καὶ καταδικασθεὶς παράσχῃ. καὶ περὶ κληρονόμων διελομένων παρόντος καὶ ἐντολ(έως) ἑνός, ὅστις κατὰ δεκτὸν ἡγήσατ(ο). εἰ τοίνυν γένηται ἐκνίκη(σις), τί δεῖ*

---

9 *καὶ περὶ ἀγ. ἐκκαλεσαμένου* deest in Ed. T. | 10 *ἐκβληθῇ* Ed. T. | 25 *αὐτῷ* Ed. T.

---

2 *πωλήσας* | 5 *παραγγέλειν* | 10 *ἐκβληθ˜* | 16 *ἐργασία* | 17 *ἀπόλλητ(αι)* | 21 *παραδιδοῦντος*

γενέσθαι. | (63) *Καὶ ὅτι ὁ πράτ(ης) μετὰ χρόνον τοῦ ἐκνικηθῆναι τὸ πρᾶγμα,* 95r *προφέρων αὐτὸ τῷ ἀγοραστῇ, οὐκ ἐκκλίνει τὴν εἰς τὸ διαφέρον καταδίκην.* (64) *Καὶ ὅτι, κἂν μήπω τὸ τίμημα κατέβαλ(εν) ὁ ἀγοραστὴς πρό(ς) τὸν πωλή(σαν)τ(α) δανειστὴν τὸ ἐνέχυρον καὶ ἐκνικηθῇ, ἀναγκάζεται καταβαλεῖν τὸ τίμημα. καί φη(σιν), εἰ συμπεφώνητ(αι). ὁ δὲ Στέφανος καὶ ὁ ἐναντιοφα(νής) φησιν, ὅτι τοῦ πράγμ(α)τ(ος) παραδοθ(έν)τ(ος) συνέστη ἡ πρᾶ(σ)ις καὶ τοῦ δανειστοῦ πωλοῦντος χωρὶς δεφενσίωνος καὶ μὴ ὑποκειμένου ἐκνική(σει), πῶς οὐ δοθήσεται αὐτῷ τὸ τίμημα, κἂν σύμφωνον ἰδικὸν μὴ ἐτύγχανε. καὶ ἐὰν χρεώστην μου ἀντὶ καταβολῆς παράσχω καὶ ἐκνικηθ(ῇ) τὰ ἐνέχυρα, οὐχ ὑπόκειμαι τῷ δανειστῇ μου.* (65) *Καὶ περὶ τοῦ ὑπεξελόντος τὴν αἰτίαν τῆς ἐλευθ(ε)ρ(ίας), πῶς καὶ τὴν παροῦσαν καὶ τὴν μέλλουσαν δοκεῖ ὑπεξελεῖν. ὁ δὲ ὑπὸ ὅρον λέγων αὐτὸν ἐλεύθερον εἶναι τὸν πούρας ἠξιωμένον ἐλευθερίας, ὑπόκειται. καὶ περὶ τοῦ εἰπόντος τὸν μετ' ἐνιαυτὸν ὁρισθ(έν)τ(α) ἐλευθερωθῆναι ἐλεύθερον εἶναι, εἰ δίδω(σι) ι' νομίσματα ἢ πέντ(ε) ἢ τοὺς λόγους ἀποδοῦναι ὀφείλ(ον)τ(α) εἴπῃ ἐλεύθερον, εἰ δίδω(σι) νομίσματα ρ', ἀνάγνωθι διαστίξεις. καὶ περὶ τοῦ ἐὰν ὁ πράτ(ης) εἰδὼς τὴν αἵρε(σιν) τῆς ἐλευθερίας κρύψῃ αὐτὴν ἀγνοοῦντος τοῦ ἀγοραστοῦ. καὶ ἁπλῶς εἴπῃ ἐλεύθερον εἶναι ὑπὸ ὅρον, πῶς τῆς αἱρέ(σεως) ἐξιούσης οὐ τῇ ἐκνική(σει), ἀλλὰ τῇ περὶ πρά(σεως) ὑπόκειται, ὥσπερ ὁ παραδιδοὺς ἀγρὸν καὶ τὰς δουλείας· εἰδὼς εἰπὼν ἁπλῶς· αἱ δουλεῖαι, ὁποῖαί εἰσιν, ἔστωσαν. καὶ περὶ τοῦ ἐὰν ἐλλείπῃ τῷ μέτρῳ τοῦ πραθ(έν)τ(ος) ἀγροῦ.* (67) *Καὶ περὶ τοῦ ἐὰν ἀγρὸν ἐν προικὶ τῆς ὑπεξουσίας αὐτοῦ παράσχῃ καὶ ἐκνικηθ(ῇ). ἢ τῆς αὐτεξουσίας.* (68) *Καὶ περὶ τοῦ ἐὰν πολλοὶ ἀγροὶ ἰδικῶς πραθῶ(σιν) ἐν ἑνὶ συμβολαίῳ ἢ πολλὰ πράγματ(α) ἢ πολλοὶ δοῦλοι, οὔκ ἐστιν ὁ εἷς μέρο(ς) τοῦ ἄλλου καὶ δύναται ὁ ἀγοραστὴς ἐφ' ἑκάστῳ ἐκνικωμένῳ κινεῖν τὴν ἐπὶ τῇ ἐπερωτ(ήσει) ἀγωγ(ήν).* (69) *Καὶ περὶ τοῦ ἐὰν ἀγρόν μου παρὰ γυναικὸς ὑποδέξῃ ἐν προικὶ καὶ κληρονομήσω αὐτῆς.* (70) *Καὶ ὅτι, ἐὰν συμφωνηθ(ῇ) πλέον ἢ ἧττον τοῦ τιμήματος δοθῆναι ὑπὲρ ἐκνική(σεως), ἔρρωται, ἐὰν κελεύσει τοῦ ψηφισαμένου ἄρχοντος ἐνέχυρον ληφθῇ καὶ πραθ(ῇ) διὰ τῆς τάξεως καὶ ἐκνικηθ(ῇ). καὶ ὅτι γενομένης ζητήσεως περὶ τοῦ πραθ(έν)τ(ος) ἐν τῷ μεταξὺ ὁ πράτ(ης) οὐκ ὀχλεῖται περὶ τοῦ ἀποδοῦναι τὸ τίμημα, ἀλλὰ περὶ τοῦ ἐκδικῆ(σαι). καὶ ὅτι ὁ γραμματεῖον, ὡς ἔχοι ἐκβάσεως, πεπρακὼς οὐδὲν ἕτερον ἀπαιτεῖται ἢ μόνον, ἵνα γραμματεῖον εἴη τὸ πεπραμένον πρὸς τὸ μήτε δόλον αὐτὸν πλημμελῆσαί τινα.* (71) *Καὶ ὅτι ἐὰν σιωπηρῶς, ἐπακολουθῶ(σι) τῷ ἀγρῷ δουλεῖαι, οὐκ ἐνέχεται, ὁ δὲ παραδιδοὺς*

---

2 *προσφέρων* Ed. T. | 6 *φασιν* Ed. T. | 21 cap. 66 Editionis deest in Tipuc. | 22 *αὐτοῦ* Ed. T. | 25 *δύν. ἀγοραστὴς* Ed. T. | 31 *ἐνοχλεῖται* Ed. T. | *ἀναδοῦναι* Ed. T.

---

14 *ι' ii* | 16 *ii ρ'*

ἀγρὸν ὡς κάλλιστον καὶ μέγιστον ἐλεύθερον δουλειῶν ὀφείλ(ει) παρέχειν αὐτόν, οὐ μὴν καὶ δουλευόμενον,εἰ μὴ ῥητῶς συνεφωνήθ(η). (72)Καὶ ὅτι ἀπόλλ(ει) τὴν περὶ ἐκνική(σεως) ἀγωγὴν ὁ τὸ παραδοθὲν αὐτῷ πρᾶγμα ἐξ ἀγορασίας ἀπρονόητον ἐῶν. περὶ πράτ(ου) καὶ ἀγοραστοῦ ἀνάγνωθι βι. θ′ τί. α′ κε. δ′ θέ. α′ (=2) οὗ ἡ ἀρχή Ἑτέρου δικασαμένου ἕτερος ἐκκαλεῖσθαι δύναται, ἐὰν αὐτῷ διαφέρῃ ὡς ἐπὶ ἀγοραστοῦ καὶ πράτ(ου). καὶ βι. ια′ τί. α′ κε. μζ′ (=46) οὗ ἡ ἀρχή Ὁ ἀγοραστὴς ὑπὲρ τιμήματος ἐπερωτη(θεὶς) | εἴκοσι νομισμάτων [95v]. καὶ βι. ιδ′ τί. α′ κε. μθ′ οὗ ἡ ἀρχή Ἐὰν δοῦλ(όν) σου παρὰ Πέτρ(ου) καλῇ πίστει ἀγοράσω. καὶ τοῦ παρόντος ιθ′ βι. τί. ς′ κε. ιβ′ (=6,7,8) οὗ ἡ ἀρχή Ἐὰν πραθεῖσαν κλίνην ἐν τῇ ἀγορᾷ κειμένην. καὶ τί. ι′ κε. ν′ (=46) οὗ ἡ ἀρχή Ἐὰν τοῦ δούλ(ου) μου ἀγοράσαντος κινῶ τὴν περὶ ἀναστροφῆς ἀγωγήν. καὶ κε. ξ′ (=53) οὗ ἡ ἀρχή Τῆς ἀναστροφῆς κινουμένης ἀποκαθίστανται πάντα. καὶ κε. ξζ′ (=61) οὗ ἡ ἀρχή Ὁπότε θεματίζεις τὸν δοῦλον, ὃν ἤδη ἠγόρασας μετὰ ἐνιαυσιαῖον χρόνον. καὶ ὅλον τὸν τί(τλον). καὶ βι. κ′ τί. α′ κε. θ′ οὗ ἡ ἀρχή Ἐὰν ὁ καλῇ πίστει ἀγοράσας οἶκον ἢ ἀγρὸν μισθώ(σῃ) αὐτόν. καὶ βι. [λ]δ′ τί. α′ κε. ις′ οὗ ἡ ἀρχή Ἐὰν τὸν ἠνεχυρασμένον δοῦλον ἀγοράσω παρὰ τῶν πολεμίων. ἀνά(γνωθι) τὸν ὅλον τί. τοῦ αὐτοῦ λδ′ βι. διαλέγεται γὰρ καὶ περὶ ἀγορασ(ίας) τῶν ἀπὸ αἰχμαλωσίας δούλων καὶ ἐλευθέρων. καὶ βι. κδ′ τί. α′ κε. ε′ θέ. α′ οὗ ἡ ἀρχή Ἐὰν δῶ σοι δοῦλον ἐπὶ τῷ εἴσω προθεσμίας ἐλευθερῶσαι. καὶ τί. ς′ κε. λ′ (=32,3) οὗ ἡ ἀρχή Ὁ γενικῶς δοῦλον ὁμολογῶν ἔοικε τῷ ὑπὲρ ἑτερογενὲς χρεωστοῦντι. καὶ βι. κε′ τί. α′ κε. η′ θέ. α′ οὗ ἡ ἀρχή Ἐὰν πολλῶν δούλων ἐνεχυρασθέντων τινὰς πωλή(σῃ) ὁ δανειστὴς ὁμολογήσας περὶ ἐκνική(σεως). καὶ τοῦ παρ(όν)τ(ος) βι. τί. ιζ′ ὅλον. καὶ τί. ζ′ κε. ι′ (=9?) οὗ ἡ ἀρχή Ἐὰν πωλή(σω) σοι δούλους ἐπὶ τῷ μὴ πειραθῆναι δουλείας ἑτέρου. καὶ κε. ιζ′ οὗ ἡ ἀρχή Ἡ Μάρκου δ(ιά)τ(αξις) βουλομένη τὸν ἐπὶ ὅρῳ ἐλευθ(ε)ρ(ίας) πιπρασκόμενον οἰκέτην. καὶ βι. κε′ τί. ζ′ κε. ι′ οὗ ἡ ἀρχή Ὁ δικαίῳ ἐνεχύρου ἀγοράζων οὐκ ἔχει κατὰ τοῦ πράτ(ου). καὶ κε. ιβ′ οὗ ἡ ἀρχή Καλῶς ἀγοράζει παρὰ τοῦ χρεώστου ὁ δανειστὴς τὸ ἐνέχυρον. περὶ δὲ δανειστοῦ ἐνεχομένου ἀποκαταστῆσαι, ὃ ἐπώλ(ησε) μετὰ τῶν καρπῶν, ζήτ(ει) τοῦ αὐτοῦ ζ′ τί. τοῦ κε′ βι. κε. μδ′ (=45) οὗ ἡ ἀρχή Ἐὰν δειχθῇ ὁ δανειστὴς κακῇ πίστει πεπρακὼς τὸ ἐνέχυρον. καὶ κε. κς′ οὗ ἡ ἀρχή Ὁ δανειστὴς μέλλων

7 ἐπηρωτήθη Ed. | 11 ἐὰν ὀνόματι τοῦ δούλου μου κινῶ Ed. | 12 initium cit. deest in fragm. Ed. et Suppl. Tipucitus: καὶ τί ἀναδίδωσιν ὁ πράτης κινουμένης... | 16 initium cit. desideratur in fragm. Ed. et Suppl. | 23 initium deest in fragmentis. Tipucitus XIX, 8, 10: καὶ περὶ τοῦ ἐὰν πωλήσω δούλους ὥστε μετὰ θάνατόν σου ἐλευθ. εἶναι... | 26 initium desideratur, sententia congruit cum Tipuc. | 32 πιπράσκων Ed.

7-8 εἴκοσι ii | 12 γινομένης | 21 ὑπὸ ἑτερόγ. | 22-23 ἐνεχυριασθέντων

πιπράσκειν τὸ ἐνέχυρον. καὶ κε. λθ′ (=40) *οὗ ἡ ἀρχή Ὁ ἀπὸ δανειστοῦ ἀγοράσας ἐνέχυρον. καὶ κε. νη′* (=59) *οὗ ἡ ἄρχη Ἐάν τις ἐνέχυρον λάβ καὶ συμφωνήσῃ τι. καὶ κε. μζ′* (=48) *οὗ ἡ ἀρχή Ἐὰν ὁ δανειστὴς παρὰ τὸν νόμον πέπρακε τὸ ἐνέχυρον. καὶ τί. ε′ τοῦ αὐτ(οῦ) κε′ βι., κε. λς′* (=33) *οὗ ἡ ἀρχή Ὁ πρότερος δανειστὴς γενικὴν ὑποθ(ήκην) ἔχων. ἀνά(γνωθι) καὶ βι. μη′ τί. γ′ τὸ τέλος. καὶ τί. ζ′ τοῦ αὐτοῦ κε′ βι. κε. νθ′* (=60) *οὗ ἡ ἀρχή Ἐὰν συμφωνή(σῃ) τις πρὸ(ς) τὸν δανειστήν, ὅτι, εἰ μὴ καταβάλ(ῃ) ἐντὸς τοῦδε τοῦ χρό(νου). καὶ κε. ξβ′* (=64) *οὗ ἡ ἀρχή Ὁ ἀγοράσας δανειστικῷ δικαίῳ. σὺ οὖν γίνωσκ(ε), ὅτι ὁ δανειστὴς πωλή(σας) καλῶς καὶ μὴ παρὰ τὸν νόμον οὐχ ὑπόκειται δεφενσίωνι. καὶ βι. κς′ τί. ε′ κε. μδ′ οὗ ἡ ἀρχή Ἔστιν ὅτε τῇ μιᾷ καταβολῇ δύο κατὰ ταὐτὸν ἐνοχ(αὶ) λύονται. καὶ κε. ξ′ οὗ ἡ ἀρχή Κἂν ἀλλότρ(ιον) δώσω δοῦλον. καὶ κε. οα′* (=82) *θέ. γ′ οὗ ἡ ἀρχή Ἐὰν ἐπερωτήσω τινὰ Πέτρον ἢ Παῦλον. καὶ κε. ϟβ′ οὗ ἡ ἀρχή Ἐὰν ἐπερωτηθ(ῇ) σοι δοῦλον ἀλλότρ(ιον). καὶ βι. μα′ τί. α′ κε. μζ′ οὗ ἡ ἀρχή Ἐὰν ὁ ἀγοραστὴς κληρονομή(σῃ) τοῦ πράτ(ου). καὶ βι. μβ′ τί. α′ κε. ιγ′ θέ. α′ οὗ ἡ ἀρχή Πᾶσι δὲ τοῖς προτίτλοις ὁ ἅρπαξ γενόμενος ἥνωται τῷ ὡς ἀγοραστῇ νομίζοντι ἑαυτὸν κληρονόμον. καὶ θέ. γ′ τοῦ αὐτοῦ κε. καὶ θέ. δ′. καὶ τοῦ γ′ τί. κε. κη′ οὗ ἡ ἀρχή Ἐὰν τὸ ἐνεχυρασθὲν ληγατευθ(ῇ) ἑνὶ τῶν κληρονόμων, ἀπὸ τῶν κοινῶν χρημάτων ἐλευθεροῦται. καὶ κε. κθ′ οὗ ἡ ἀρχή Τὸ ἐνεχυρασθὲν τῷ τελευτήσαντι. καὶ βι. μς′ τί. α′ κε. β′* (=17) *οὗ ἡ ἀρχή Εἰ δωρηθεῖσα ἐπὶ τῷ ἐλευθερωθῆναι ἐντὸς ἐνιαυτοῦ.* | *καὶ βι.* 96r *μζ′ τί. α′ κε. ιη′* (=17) *οὗ ἡ ἀρχή Ἔνθα μέμικται δωρεὰ καὶ συνάλλαγμα, οὐ* <*τίκ*>*τεται ἐνοχή. καὶ βι. μη′ τί. ε′ κε. ι′* (=11) *οὗ ἡ ἀρχή Εἰ τὸν δέκα χρεωστοῦντα ὑπὸ αἵρε(σιν) ἐλευθερούμενον πωλῶν εἴπω εἴκο(σι) χρεωστεῖν. καὶ βι. ν′ τί. δ′. πε(ρὶ) δὲ τοῦ ἐξωνησαμένου ἀλλότρ(ιον) ἢ ὑποκείμενον, εἰ ἐκνικᾶται, πότε δίδω(σιν) ὁ πράτ(ης) τὸ τίμημα ἢ μή, ζήτ(ει)* [*τούτου τοῦ βι.*] *ιθ′ τί. κε. κη′* (=25) *οὗ ἡ ἀρχή Ὁ ἐν εἰδή(σει) ἀλλότρ(ιον) ἢ ὑποκείμενον ἀγοράζων. ζήτ(ει) καὶ βι. μγ′ τί. α′ κε. ρλθ′* (=136) *οὗ ἡ ἀρχή Ὅτε κινεῖται ἡ τῆς δούπλ(ας) ἐξ στιπ(ου)λ(ά)τ(ου) κατὰ τῶν κληρονόμων τοῦ πράτ(ου). ἀνά(γνωθι), πῶς καὶ ἑνὸς μὴ ἐκδικοῦντος καὶ οἱ λοιποὶ ὑποπίπτουσι.*

---

11 *κατ′ αὐτὸν* Ed. | 12 *ἐὰν ἀλλότριον* Ed. | 16 *τοῖς τίτλοις* Ed. | 17 *νομίζοντι ἑαυτὸν κληρονόμον* deest in Ed. | 22 *δωρεὰ συναλλάγματι* Ed. | 27 initium citatum deest in fragmentis Editionis et Suppl., sententia congruit cum Tipuc.

---

7 *καταβάλλ(ῃ)* | 18 *ἐνεχυριασθὲν* | 20 *ἐνεχυριασθὲν*

ΤΙ(ΤΛΟΣ) ιβʹ.

Περὶ παραγραφῆς πράγμ(α)τ(ος) πραθ(έν)τ(ος) καὶ παραδοθ(έν)τ(ος).

(1) Καὶ ἐὰν ἀλλότρ(ιον) πρᾶγμα πωλήσας καὶ μετὰ ταῦτα κυριεύσας αὐτοῦ ἀπαιτῇς αὐτό. καὶ ἐὰν κατὰ ἐντολήν μου πωλή(σῃς) πρᾶγμά μου. καὶ ἐὰν ἥττονος οὗπερ ἐνετειλάμην, πραθ(ῇ) τὸ πρᾶγμά μου, πῶς οὐ δοκεῖ πεπρᾶσθαι καὶ οὐκ ἀντίκειταί μοι παραγραφὴ ἀπαιτοῦντι αὐτό. καὶ περὶ τοῦ ἐὰν δοῦλος ἀγορά(σῃ) ἐκ τοῦ πεκουλίου καὶ ἀπαιτ(ῇ) τὸν δοῦλ(ον) ὁ πράτ(ης) τὸ πραθέν. καὶ περὶ ἀγοραστοῦ μὴ παραδοθέντ(ος) αὐτῷ τοῦ πράγματ(ος), δραξαμένου δὲ τῆς νομῆς αὐτοῦ ἄνευ αἰτίου. καὶ περὶ παραγραφῆς καὶ ἀντιγραφῆς ἐπὶ τούτ(ῳ) γενομένης. (2) Καὶ περὶ τοῦ ἐὰν πωλή(σῃς) μοι πρᾶγμ(α) Πέτρου καὶ λαβὼν τὸ τίμημα παραδώσεις μοι αὐτό, εἶτα γενόμενος Πέτρος κληρονόμος πωλή(σῃ) τὸ πρᾶγμα Παύλῳ καὶ παραδώσεις αὐτό, πῶς εἰμι ἐπικρατέστερος. καὶ τίσι συμβάλλεται ἡ παραγραφὴ τοῦ ἀγοραστοῦ καὶ τίσιν ἀντίκειται. καὶ συμβάλλεται τοῖς διαδόχοις καὶ κληρονόμοις καὶ τῷ ἀγοράσαντι ἐκ τοῦ ἀγοραστοῦ, ὥσπερ ἀντίκειται καὶ τοῖς κληρονόμοις τοῦ πράτ(ου) καὶ διαδόχοις. περὶ τοίνυν ἀγοραστοῦ πρὸ παραδόσεως κατασχόντος τὸ ἐξωνηθέν, πῶς κλοπὴν ἁμαρτάν(ει), ζήτ(ει) βι. νʹ τί. βʹ κε. δʹ οὗ ἡ ἀρχὴ Εἰ ἐπερωτηθῶ σοι ἢ πωλή(σω) σοι δοῦλον. ἀνά(γνωθι) καὶ τὸν ηʹ τί. τοῦ τοιτούτου ιθʹ βι. κε. † οὗ ἡ ἀρχὴ Ὁ πρὸ παραδό(σεως) κατασχών, ὃν ἠγόρα(σε) δοῦλ(ον). καὶ τὰς ἐν αὐτῷ παραδοθείσας σοι παραπομπὰς περὶ τοῦ κατασχόντος πρὸ παραδό(σεως), ὃ ἠγόρα(σε). καὶ περὶ τοῦ ἀγοράσαντ(ος) τὸ χρησθὲν ἢ ἐνεχυρασθὲν αὐτῷ ἢ παρατεθ(ὲν) ζήτ(ει) βι. ιεʹ τί. βʹ κε. θʹ θέ. αʹ οὗ ἡ ἀρχὴ Ἐάν τις τὸ παρατεθὲν αὐτῷ. ζήτ(ει) καὶ τὸν ηʹ τί. τούτ(ου) τοῦ βι. καὶ τί. ιβʹ κε. αʹ καὶ βʹ. καὶ βι. νηʹ τί. ιʹ.

ΤΙ(ΤΛΟΣ) ιγʹ.

Ἐὰν ὑπὲρ δημοσίας διοική(σεως) ἡ πρᾶ(σ)ις ἀποτελεσθ(ῇ).

(1) Καὶ ἐὰν ὁ δημό(σιος) διὰ δημό(σια) χρέα πωλή(σῃ) πράγματα τοῦ

---

4 πωλήσῃς Ed. T. | 10 ἀντιπαραγραφῆς Ed. T. | 13 Πέτρου κληρ.∴ πωλήσεις Ed. T. | 20 κε.†- δοῦλον in margine cum signo ad ιθʹ lin. 20 spectante; initium citatum deest in fragmentis tit. 8 libri 19 | 23 ἐνεχυριασθὲν

χρεώστου, πῶς οὐκ ἀνατρέπεται ἡ πρᾶσις. (2) *Καὶ περὶ τοῦ, ὅτε ὁ τῶν δημο(σίων) ἀπαιτητὴς κατὰ διαλαλιὰν ἄρχοντος πωλή(σῃ) ἀγρὸν τοῦ ἀγνωμονοῦντος ἐπὶ τοῖς δημο(σίοις), πότε οὐκ ἀνατρέπεται ἡ πρᾶσις καὶ πότε ἀνατρέπετ(αι).* (3) *Καὶ περὶ πρά(σεως) πραγμάτων τοῦ ἐπὶ τοῖς δημο(σίοις) ὀφλήμα(σιν) ἀγνωμονοῦντ(ος) καὶ παρὰ ἄρχοντι ἀχθέντος κρατούσης. ζήτ(ει) περὶ τούτ(ου) καὶ βι. ι′ τί. ιθ′ κε. ἔσχατον. εἰ δὲ ἐλάττων τῶν κε′ ἐνιαυτῶν εἴη ὁ ἀγνωμονῶν τὰς δημοσιακ(ὰς) | συντελείας, πῶς δεῖ γίνεσθαι* 96v *τὴν διάπρα(σιν), ἀνά(γνωθι). περὶ τοίνυν δημοσιακῶν πράσ(εων) ἀνά(γνωθι) τὰς παραδοθείσας σοι παραπομπὰς ἐν τῷ ιθ′ τί. τοῦ ι′ βι. εὑρή(σεις) γὰρ πάντ(α) ἐκεῖσε λεπτομερῶς. καὶ πῶς καὶ δι' ἀποκατάστασιν ὁ ἀφῆλιξ οὐκ ἀνατρέπει τὴν πρᾶ(σ)ιν, ζήτ(ει) βι. νς′ τί. ς′ κε.* [ε′ ?] *οὗ ἡ ἀρχὴ Ἡ καθ' ὑπερθεματισμὸν γενομένη τοῦ δημο(σίου) πρᾶ(σ)ις, κἂν ἀφήλικ(ός) εἰσι τὰ πράγματ(α), οὐκ ἀνατρέπεται, κἂν βασιλεὺς τοῦτ(ο) προστά(ξῃ). ἀνά(γνωθι) καὶ βι. κε′ τί. γ′ κε. ιη′ οὗ ἡ ἀρχὴ Ἐὰν τοῦ δημο(σίου) πωλοῦντος τὸ ἐνέχυρον τὸ ἄλλῳ τινὶ ὑποκείμενον. καὶ βι. νε′ τί. ιδ′ κε. δ′ οὗ ἡ ἀρχὴ Οἱ τὰ πατριμονάλια ὠνούμενοι. περὶ δὲ τοῦ, ποῖον ὁ δημό(σιος) πιπράσκειν οὐ δύναται, ἀνά(γνωθι) βι. νς′ τί. β′ κε. κβ′* (=20) *οὗ ἡ ἀρχὴ Τὸ φιλονεικούμενον πρᾶγμα. πότε δὲ ἀποπληροῖ τοὺς δανειστὰς τοὺς προγενεστέρους ὁ δημό(σιος) πωλή(σας) τὸ πρᾶγμα, ἀνά(γνωθι) τοῦ αὐτοῦ νς′ βι. τί. β′ κε. κβ′ θέ. α′ οὗ ἡ ἀρχὴ Τὰ ἐνεχυρασμένα ἑαυτῷ πιπράσκει ὁ δημό(σιος). καὶ κε. μδ′ θέ. α′ οὗ ἡ ἀρχὴ Ἐὰν ἀγοράσ(σω) ἀγρὸν ἀπὸ τοῦ δημο(σίου). ἀνά(γνωθι) καὶ τούτου τοῦ βι. τί. γ′ κε. α′ καὶ γ′. καὶ βι. νς′ τί. ς′ κε. θ′ οὗ ἡ ἀρχὴ Ὁ ἀγορά(σας) παρὰ τοῦ δημο(σίου) πράγματα. καὶ κε. ι′. καὶ τοῦ παρ(όν)τ(ος) βι. τί. ιη′ κε. π′* (=77) *οὗ ἡ ἀρχὴ Ὁ δημό(σιος) τὸ ἐπίκοινον. καὶ βι. ν′ τί. ιγ′, ὃν καὶ ἀνά(γνωθι) ἐπιμελῶς. καὶ ἁπλῶς εἰπεῖν περὶ τούτων καὶ ἀναλυομένης πρά(σεως) ἢ μὴ ζήτ(ει) τὰς παραδοθείσας σοι παραπομπὰς ἐν τῷ ιθ′ τί. τοῦ ι′ βι. καὶ τί. λγ′. περὶ δὲ αἰχμαλώτ(ου) ὑποστρ(έφον)τ(ος), εἰ κέκτηται ὁ δημό(σιος) τὰ ἑαυτοῦ ἢ ἐδωρήσατ(ο) ταῦτα ὁ βασιλεύς, ἵνα λαμβάν(ῃ) αὐτά, ζήτ(ει) βι. λδ′ τί. β′ κε. ιη′* (=17) *οὗ ἡ ἀρχὴ Ἐὰν αἰχμάλ(ω)τ(ος) γέγονεν.*

ΤΙ(ΤΛΟΣ) ιδ′.

Περὶ τοῦ μὴ ἐξωνεῖσθαι ἢ δωρεῖσθαι ἀγρὸν ἢ λοιπόν τινα χωρὶς δημο(σίων) τελεσμάτων.

(1) *Καὶ κἂν βουληθ(ῇ) ὁ πράτης ἢ ὁ δωρούμενος παρασχεῖν τὸ τέλος,*

11-13 *ζήτει — προστάξῃ* in margine cum signo ad *ἀποκατάστασιν* lin. 10 spectante ; initium cit. deest in fragm., res congruit cum cap. 5 ex aliis fontibus hausto | 14 initium cit. deest in fragmentis Ed. et Suppl. | 20 item | 21 item

ἀνίσχυρόν ἐστι. καὶ περὶ γυναικὸς ἐπιδεδωκυίας ἐν προικὶ ἀγρὸν καὶ ἐπερωτηθείσης, ἑαυτὴν καταβάλλειν τὰ τέλη τοῦ ἀγροῦ, οὐχὶ τὸν ἄνδρα, πῶς ἐστιν ἄχρηστον τὸ σύμφωνον. κἂν εἰς διατίμησιν ἠνέχθη ἐπὶ τοιούτῳ συμφών(ῳ), οὐκ ἐστιν ἀγωγ(ὴ) εἰς τὸ πληρωθῆναι τὰ συμφωνηθ(έν)τ(α). (2) *Καὶ ὅτι ὁ ἀγοράζων ἀγρὸν ἢ κτῆμα ἢ ἕτερόν τι, τὰς συντελείας τοῦ ἀγορασθέντος κτήματος ἀνάγκη ἐστιν ἐπιγνῶναι καὶ μὴ ἐξεῖναί τι πρᾶγμα χωρὶς ἀπογραφῆς ἀγοράζειν ἢ πιπράσκειν. πε(ρὶ) δὲ τοῦ πωλ(οῦ)ντ(ος) ἀγρὸν ἢ χω(ρίον) μὴ παρακρατεῖν τοὺς γεωργ(οὺς) ζήτ(ει) βι. νε' τί. α' καὶ ἀνά(γωνθι) τὸν ὅλον τί(τλον) δυνάμενόν σε ὠφελῆ(σαι) περὶ ἐναπογράφων καὶ γεωργῶν διαλεγόμενον. καὶ τί. ιδ' τοῦ νε' βι.* (3) *Καὶ ὅτι ὁ νεμόμενος πρᾶγμα δηλονότι ὁθενδήποτε, ἀπαιτεῖται τὰ δημό(σια) αὐτοῦ, κἂν συνεφώνησε μὴ δοῦναι. ζήτ(ει) καὶ βι. νε' τί. ιγ' κε. δ'* (=1) *θέ. ε'* (=2) *οὗ ἡ ἀρχή Ἐάν τινες κατὰ δωρεὰν ἢ κατὰ πρᾶσιν ἢ καθ' ἕτερον τρόπον οἴκους ἢ κτήματα ἢ ἐργαστήρ(ια) πολιτικὰ ἔλαβον. καὶ βι. νς' τί. η' κε. γ' οὗ ἡ ἀρχή Τὰ δημό(σια) τέλη οὐκ εἰσι κατὰ προσώπων, ἀλλὰ κατὰ πραγμάτων. καὶ κε. ε' οὗ ἡ ἀρχή Τὰς δημοσίας συντελείας πάν(τ)ες καταβαλλέτωσαν. καὶ τί. ιε' κε. ε' οὗ ἡ ἀρχή Μηδεὶς χωρὶς κανόνος δεσποτικοῦ κτῆμα ἀγορά(ζει). καὶ κε. ιβ' οὗ ἡ ἀρχή Ἐάν τις μισθώσηται διηνεκῶς κτήματα δεσποτικά. περὶ δὲ ἀγορα(σίας) καὶ πρά(σεως) οἴνου ζήτ(ει) βι. νγ' τί. ζ'. περὶ δὲ ἀγορασίας καὶ πρά(σεως) εἰκονικῆς ἀνά(γνωθι) βι. ιθ' τί. α' κε. νε'* (=53) *οὗ ἡ ἀρχή Ἡ εἰκονικὴ πρᾶ(σ)ις. καὶ βι. νβ' τί. α' κε. νγ' οὗ ἡ ἀρχή Τὰ εἰκονικὰ συναλλάγματα. περὶ δὲ πραθέντος εἰς δύο | πρόσωπα ἀγροῦ ζήτ(ει) βι.* **97r**
ιε' τί. α' κε. ϟε' (=94) *οὗ ἡ ἀρχή Ἐὰν δύο τινές. καὶ τί. β' κε. θ' θέ. γ'* (=2) *οὗ ἡ ἀρχή Ἐὰν δύο τισί. καὶ βι. ξ' τί. μα' κε. κα' οὗ ἡ ἀρχή Ὁ τὸ αὐτὸ πρᾶγμα.*

ΤΙ(ΤΛΟΣ) ιε'.

Περὶ τοῦ ἐάν τις ἑτέρου εἴτε παρὰ ἄλλου ὀνόμ(α)τ(ος) ἢ ἀλλοτρίοις χρήμα(σιν) ἀγορά(σῃ).

(1) *Καὶ περὶ τοῦ ἐὰν ὀνόματι τῆς γυναικὸς ἀγορασθῶ(σί) τινα τοῦ ἀνδρὸς τὸ τίμημα παρασχόντος καὶ γένηται ἡ παράδοσις εἰς τὴν γυναῖκα.* (2) *Καὶ*

17 initium cap. 5 tit. 8 libri 50 deest in fragmentis Editionis et Suppl. | 18 *δεσποτικὸν* Ed. | 18 initium cap. 12 desideratur in fragm. | 28 *ἀγοράζει* Ed. T. in annot. f

7-10 *περὶ — νε' βι.* in margine cum signo ad *ἀπογραφῆς* lin. 6-7 spectante | 16 *καταβαλέτωσαν*

ὅτι, ἐὰν πατὴρ ἀγοράσῃ τι εἰς ὄνομα τοῦ ὑπεξουσίου υἱοῦ αὐτοῦ καὶ παραδώσει αὐτῷ αὐτεξουσίῳ γενομ(έ)ν(ῳ) αὐτὸ τὸ ἀγορασθέν, ἐκείνου γίνεται. (3) Καὶ ἐὰν μήτηρ ἠγόρα(σεν) ὀνόμ(α)τ(ι) τῶν παίδων αὐτὴ παρασχοῦσα τὸ τίμημα, ἡ δὲ παράδοσις πρὸ(ς) αὐτοὺς ἐγένετο, αὐτοὶ τὰ πράγματα διεκδικοῦσι. (4) Καὶ ὅτι ὁ ἀγοράζων πρᾶγμα καὶ ἑαυτῷ πράττων τὸ συνάλλαγμα, ἐντεθεικὼς δὲ τὸ τῆς ἰδίας πενθ(ε)ρ(ᾶς) ὄνομα ἐν τῷ ὀνειακῷ, αὐτὸς παραλαβὼν τὴν τῶν πραγμάτων νομήν, αὐτός ἐστι δεσπότ(ης). (5) Καὶ ὅτι ἀνήρ τις χρησάμενος τῷ ὀνόμ(α)τ(ι) τῆς αὐτοῦ γυναικὸς ἠγόρα(σεν) ἀγρὸν καὶ τὰ ὠνειακὰ παρέθ(ε)τ(ο) αὐτῇ, ὥστε φυλάττεσθαι, ἡ δὲ ἀποχρησαμένη τῇ γρα(φῇ) τοῦ ὠνειακοῦ ὡς δέσποινα τυγχάνουσα τοῦ κτήματος ἐδωρήσατο τὸν ἀγρὸν τῇ ἑαυτῆς θυγατρ(ί), ἣν εἶχεν ἐξ ἑτέρων γάμων, καὶ ἐτελεύτ(ησεν), ὁ δὲ ἀνὴρ βούλεται τοῦτον ἀποσπάσαι καὶ ἀντέγρα(ψεν) ὁ βα(σ)ιλ(εύς). (6) Καὶ πότε, ἐν ᾧ δοκεῖ ἀγοράζειν ἡ γυνή, οὔκ ἐστι δεσπότ(ης) καὶ πότε ὁ ἀνήρ. ἐν πᾶσι δὲ σκόπει τὴν παράδοσιν καὶ τὴν ἀλήθ(ειαν) ἐκκλίνων τὰ εἰκονικά. καὶ πότε εἰς πρόσωπον τῆς γυναικὸς ἰσχυούσης τῆς πρά(σεως) ἔχει ὁ ἀνὴρ παρὰ τοῦ δοθ(έν)τ(ος) παρ' αὐτοῦ ἢ καὶ ταύτης ποσοῦ εἰς τιμὴν τοῦ ἐξωνηθέντος κατὰ τῆς γυναικός, ἀνά(γνωθι) θεώρημα καλόν. (7) Καὶ περὶ τοῦ ἀγοράσαντος διά τινος πράγματ(α) καὶ τοῦ πράτου μετὰ τὸ λαβεῖν τὸ τίμημα παραβαίνοντος τὸ συνάλλαγμα εἴτε ὑπεξού(σιός) ἐστι δι' οὗ ἠγόρα(σεν) εἴτε αὐτεξού(σιος), τί γίνεται. (8) Καὶ περὶ τοῦ ἐκ τῶν ἐπικοίνων νομισμάτων ἀγοράσ(αντος) ἑαυτῷ, πῶς γίνεται δεσπότης παραδιδομένου τοῦ πράγματος. (9) Καὶ ὅτι οὐδὲν κωλύει ἄλλου τὰ χρήματα ἀριθμοῦντος εἰς ἄλλον ἢ κατὰ συναίνε(σιν) τῶν συναλλαξάντων ἢ δηλαδή τοῦ πράτ(ου) μόνου βουλομένου μεταφέρεσθαι τὴν δεσποτ(είαν) διὰ τὸ μεταξὺ ἀπόντων διὰ μέσου προσώπ(ου) καὶ δι' ἀγγέλου καὶ δι' ἐπιστολῆς τὸ τοιοῦτον συνάλλαγμα γίνεσθαι. περὶ τοίνυν ἀγορα(σίας) ἀνατρεπομένης, εἰς πρόσωπον δὲ γυναικὸς ἢ συγγενῶν γενομένης ζήτ(ει) βι. ι' τί. β' κε. λγ' (=34) περὶ τὰ μέσα οὗ ἡ ἀρχὴ Παλαιῶν νόμων κωλυόντων τοὺς ἄρχοντας. περὶ δὲ εἰκονικῶν ζήτ(ει) βι. κβ' τί. α' κε. νδ' οὗ ἡ ἀρχὴ Ἐάν τις ἀπὸ νομῆς δουλείας εἰς ἐλευθ(ε)ρ(ίαν) ἀναφων(ήσῃ). καὶ κε. νε' οὗ ἡ ἀρχὴ Οἱ ἀλλότρ(ια) συμβόλαια κλέπτοντες. καὶ κε. π' οὗ ἡ ἀρχὴ Ἐάν τις ἀπαιτούμενος ἐν δικαστηρ(ίῳ) προαγαγεῖν δικαίωμα. καὶ βι. λ' κε. μη' (=55,2) τοῦ α' τί. οὗ ἡ ἀρχὴ Ἐὰν ὁ υἱός μου διοικῶν τὰ πράγμ(α)τ(α) τῆς αὐτοῦ μητρὸς ἐκ τῶν χρημάτων αὐτῆς ἀγορά(σας) δούλους. καὶ κε. νς' (=65) οὗ ἡ ἀρχή. Ἐὰν ὁ ἀνὴρ δούλην ἐξ οἰκείων νομισμάτων ἀγοράσας καὶ τὸ τίμημα δούς

12 ἀντιγράφει Ed. T. | 17 τιμὴν ἐξωνηθέντος Ed. T. | 18 πρᾶγμα Ed. T.

6 ὠνεακῷ | 9 ὠνεακὰ | 10 ὠνεακοῦ | 14 σκοπεῖ | 21 ii ἀγορ. | 35 οἰκείων ii

καὶ κε. ξδʹ (=72) οὗ ἡ ἀρχή Ἐάν τις ἠγόρα(σεν) ἀνδράπ(ο)δ(α) τῇ ἰδίᾳ | γαμετῇ ἐξ οἰκείων χρημάτων. καὶ κε. ξθʹ (=79) οὗ ἡ ἀρχή Ἐὰν ὁ ἀνὴρ ἀγο- 97v
ράζων κτήμ(α)τ(α) εἰς πρόσωπον τῆς γυναικός. καὶ κε. †

ΤΙ(ΤΛΟΣ) ιςʹ.

Περὶ τοῦ, πῶς πρᾶγμα ἀλλότρ(ιον) κεχειρικότι μὴ ἀντιλέγειν τῶν πραγμάτων τῶν ἰδίων τὴν ἐκποίησιν.

(1) Τουτέστι δύναται καὶ ἐπίτροπ(ος) καὶ κουράτ(ω)ρ πιπράσκειν τὰ προσόντα αὐτοῖς, κἂν κατεκρίθ(η) χρεωστεῖν τῷ ἀνήβῳ ἐχόντων αὐτῶν τῶν ἀνήβων τὰς συνήθεις ὑποθήκας.

ΤΙ(ΤΛΟΣ) ιζʹ.

[Περὶ δούλης πραθείσης ὑπὸ ὅρῳ ἐφʼ ᾧ μὴ προστῆναι].

(1) Ἐὰν δούλη πραθ(ῇ) οὕτως, ἵνα μὴ προσταθ(ῇ), εἰ δὲ προσταθ(ῇ), ἵνα ἐξῇ αὐτῷ ἀποσπᾶν αὐτήν, πῶς δύναται χρήσασθαι τῷ ὅρῳ προνοίᾳ τοῦ ἐπάρχ(ου) τῆς πό(λεως) καὶ εἰ προισταμένης αὐτῆς συνεχώρη(σε) καὶ παρὰ τὸ σύμφωνον αὐτὸς ἐποίησε, τί γίνεται. κἂν μεταβιβασθῇ εἰς τρία ἢ τέσσαρα πρόσωπα, ἰσχυούσης τῆς συμφωνίας, εἴτε ἐν αὐτῷ τῷ ὠνειακῷ ἢ καὶ ἔξωθ(εν) ἐν ἐπιστολῇ ἢ καὶ ἀγρά(φως) συνήρεσε. (2) Καὶ ὅτι ἡ οὕτως πραθεῖσα οὐδὲ ἐν πανδοχείῳ προφάσει ὑπηρεσίας ὀφείλει προβληθῆ(ναι), ἐπὶ προνοίᾳ, ἵνα μὴ περιγρα(φὴ) γένηται τῷ συμφών(ῳ). ζήτ(ει) τοῦ παρόντ(ος) βι. τί. αʹ κε. νςʹ (=54) οὗ ἡ ἀρχή Ἐὰν πωλή(σω) δούλην ἐπὶ ὅρῳ τοῦ μὴ προστῆναι. καὶ τοῦ ξʹ βι. τί. ιζʹ.

---

3 κτῆμα Ed. | 11-13 titulum supplevit Heimb. in Ed. ex indice titulorum cod. Coisliniani | 19 ἤρεσε Ed.

---

3 inter κε. et lineolam finem tituli indicantem cod. lacunam 12 fere literarum spatii praebet | 18 ὠνεακῷ

ΤΙ(ΤΛΟΣ) ιη'.

Περὶ μονοπωλίων καὶ συμβάσεως πραγματειῶν ἀθεμ(ί)των ἢ τεχνιτῶν ἐργολάβων τε καὶ βαλανέων κωλυθέντων καὶ ἀθεμίτων συμφώ(ν)ων αὐτῶν.

(1) Καὶ ὅτι μονοπώλιον οὐκ ἔξεστιν ἔχειν οὐδὲ ἀπὸ θείου τύπ(ου) ὑπεξηρημένων τῶν ἄλλων, μηδὲ σύμφωνον ἐπὶ τούτῳ γίνεσθαι, ἵνα τὰ εἴδη τῆς διαφόρων σωματείων πραγματείας μὴ ἐλάττονος ἤπερ πρό(ς) ἀλλήλους διετάξαντο, πραθῶσιν. ἀλλὰ καὶ οἱ βαλανεῖς μὴ συμφωνείτωσαν, ἵνα μήτις, ὅπερ ἐπετράπη ἄλλῳ ἔργον πληρώσῃ. καὶ περὶ τὴν δοθεῖσαν ἑτέρῳ φροντίδα ἕτερος μεσολαβήσῃ διδομένας ἐξουσίας ἑνὶ ἑκάστῳ τὸ παρ' ἑτέρου ἀρχθὲν καὶ καταλειφθὲν χωρίς τινος φόβου καὶ ζημίας ἐκπληροῦν. καὶ περὶ ποινῆς τοῦ τολμήματος ἔχειν μονοπ(ώ)λ(ιον) καὶ τῶν συμφωνούντων περὶ οἱωνδήποτε, ὡς εἴρηται, ἀθεμίτων συμφωνιῶν καὶ τῆς ἐπ' αὐταῖς ποινῆς. φη(σὶ) γάρ, ἵνα παρέχῃ ν' λίτρ(ας) καὶ ἡ τάξις τοῦ ἐπάρχ(ου) λίτρ(ας) μ'. ζήτ(ει) βι. ιε' τί. α' κε. λ' (=31) οὗ ἡ ἀρχή Οὐ μόνον τῶν ἐφήβων οἰκετῶν ἀπαιτοῦνται καρποί. καὶ βι. νγ' τί. α' κε. ξθ' οὗ ἡ ἀρχή Ἐὰν ὁ δεσπότ(ης) τοῦ πλοίου ἢ οἱ ναῦται ἐμβάλλωνταί τι ἀθέμ(ι)τον. καὶ βι. νδ' τι. ιθ' ὅλον ἀνά(γνωθι). περὶ δὲ τῶν τῇ εὐθηνίᾳ ἐπιβουλεονόντων ἐκ τοῦ προσαγοράζειν φορτ(ία) καὶ ἀποτιθέναι καὶ τῶν σταθμοῖς ἤτ(οι) ζυγίοις νόθοις κεχρημένων καὶ τῶν πλαστὰ μέτρα ἐχόντων ζήτ(ει) βι. ξ' τί. κβ' [κε. ς'].

ΤΙ(ΤΛΟΣ) ιθ'.

Περ(ὶ) κατεχομένων ἤτοι περὶ ἐκδική(σεως) πραγμ(ά)των πραθ(έν)των.

(1) Καὶ ὅτι ὁ ἀγοράσας κληρονομίαν τὰ πράγματα ἀπὸ τῶν νομέων ἰδίοις δαπανήμα(σιν) ἐκδικεῖ, οὔτε δὲ περὶ ἐκνική(σεως) ἑκάστου πράγματ(ος) δύναται | κινῆσαι, εἰ μὴ ἰδικῶς τοῦτο συνεφωνήθ(η) τοῖς συναλλάτ- 98r
τουσι. (2) Καὶ ὅτι ἐκδικουμ(έν)ου τοῦ δωρηθ(έν)τ(ος) κινεῖ ὁ λαβὼν αὐτὸ

2 καὶ περὶ συμβ. πρ. ἀθεμίτου Ed. T. | 3-4 κωλυθέντων ἀθεμίτων καὶ συμφώνων Ed. T. | 12 τολμήσαντος Ed. T. | 16 cap. 69 tit. 1 libri 53 desideratur in fragmentis, quae sunt de navium patronis

3-4 κωλυθέντων ἀθεμίτως καὶ συμφώ(ν)ων αὐτῶν | 13 αὐτοῖς

κατὰ τοῦ δωρησαμένου περὶ τῆς ἐκνική(σεως), ἐὰν μέντοι γε ἦν ἐπερωτήσας αὐτὸν περὶ τούτ(ου). (3) *Καὶ ὅτι ὁ ἀγοράσας πρᾶγμα, ἐφ' ὅσον νέμεται αὐτό, οὐ δύναται περὶ ἐκνική(σεως) κινῆσαι λέγων ἀλλότρ(ιον) αὐτὸ εἶναι ἤγουν ὑποκεῖσθαί τινι.* (4) *Καὶ περὶ τοῦ ἐὰν χωρίον εἰς καταβολὴν τοῦ χρέους δίδοταί τινι, ὅπερ ὑπόκειται δανεισταῖς ἢ ἄλλοις τισί.* (5) *Καὶ περὶ τοῦ ἀγοράσαντος χωρία ὑποκείμενα, πῶς δύναται πρὸ τοῦ παραλαβεῖν αὐτὰ κινεῖν τὴν ἐπὶ τῇ πρά(σει) ἀγωγ(ὴν) εἰς τὸ ἐλευθερωθῆναι αὐτά. καὶ εἰ μήπω τὰς τιμὰς δέδωκε καὶ ἐνάγεται, τί γίνεται.* (6) *Καὶ ὅτι ἐκδικουμένου τοῦ πραθ(έν)τ(ος) κινεῖ ὁ ἀγοραστὴς κατὰ τοῦ πράτ(ου) τὴν ἐξέμπτο, κἂν μηδὲν περὶ τῆς ἐκνική(σεως) συνεφωνήθ(η).* (7) *Εἰ δὲ μὴ εἴπῃ τῷ πράτ(ῃ) εἰς τὸ δικαστήριον ἀφικέσθαι καὶ οὐκ ἀδικίᾳ τοῦ δικαστοῦ ἡττηθ(ῇ), οὐ δύναται κινεῖν κατ' αὐτοῦ. ζήτ(ει) περὶ τούτ(ου) καὶ κε. ιζʹ* (=16) *οὗ ἡ ἀρχή Ἐὰν ζήτ(ησιν) ὑπέμεινας τοῦ ἀγορασθ(έν)τ(ος) πράγματος.* (8) *Καὶ περὶ τοῦ ἐὰν ἐκνικᾶται, ὃ ἠγόρα(σέ) τις πρᾶγμα καλῇ πίστει, καὶ μηνύσαντος τῷ πράτ(ῃ) ἢ τῷ κληρονόμῳ αὐτοῦ, τί γίνεται, εἰ νική(σῃ) εἴτε καὶ ἡττηθ(ῇ).* (9) *Καὶ περὶ πράτ(ου) ἐπιδείξαντος τοὺς ὅρους καὶ λέγοντος μηδένα ἔχειν ἐντός, ἢ οὕτως ἁπλῶς πωλήσαντος μετὰ τῶν ὁρίων, τί γίνεται ἐκδικουμένων τινῶν.* (10) *Καὶ περὶ τοῦ ἐγγυησαμένου τὴν πρᾶ(σ)ιν, εἶτα ἐκνικῶντος τὸ πραθέν, πῶς ἐκβάλλεται.* (11) *Καὶ ὅτι καὶ ἐξ ἀρχῆς σύμφωνον ὁ πράτ(ης) ἐποιήσατ(ο) πρὸς τὸν ἀγοραστήν, ὥστε κινηθείσης τινὸς ζητήσεως ἐπὶ τῷ πεπραμένῳ ἀναδίδοσθαι αὐτῷ τὸ τίμημα, καὶ πρὸ τῆς ἐκνική(σεως) δύναται ἔχειν τὴν ἐξέμπτο κατὰ τὸ σύμφωνον ἐκνικηθ(έν)τ(ος) τοῦ οἰκέτου ἢ εἰς ἐλευθ(ε)ρ(ίαν) ἀναφωνοῦντος.* (12) *Καὶ ὅτι ἐὰν τὰ ἐπὶ καταδίκῃ ληφθέντα ἐνέχυρα πραθ(ῇ) καὶ ἐκδικηθ(ῇ), καλῶς ἐνάγεται ὁ καταδικασθεὶς δεσπότ(ης) αὐτῶν περὶ ἐκνική(σεως). οὔτε μὴν αὐτὸς δύναται κινεῖν κατὰ τοῦ ἀγοραστοῦ εἰς τὸ λαβεῖν αὐτά.* (13) *Καὶ ὅτι τὸν πεπραμένον ἀγρὸν ὑπὸ τοῦ πατρὸς οὐ δύναται ἐκνικᾶν ὁ παῖς καὶ κληρονόμος, εἴτε τοῦ πατρὸς ἦν εἴτε αὐτοῦ, ἐπειδὴ κληρονομίας δικαίῳ κρατεῖται. περὶ τούτ(ου) ζήτ(ει) τὸν ηʹ τί. τοῦ θʹ βι. Καὶ τοῦ ιεʹ βι. τὸν αʹ τί. καὶ τὰς δοθ(εί)σ(ας) σοι ἐν αὐτῷ παραπομπ(άς).* (14) *Καὶ περὶ τοῦ ἐὰν ἐκδικῆται μέρος τοῦ ἀγροῦ παρὰ τ(οῦ) ἀγοραστοῦ.* (15) *Καὶ περὶ τοῦ ἐὰν ἐδήλω(σεν) ὁ πράτ(ης) τῷ ἀγοραστῇ ἐκνικωμένου τοῦ πράγματ(ος).* (16) *Καὶ περὶ τοῦ ἐὰν ζήτ(ησις) περὶ τοῦ δούλ(ου), οὗ ἠγόρασέ τις, ὑπομείνῃ, εἶτα ἐλεύθ(ε)ρ(ος) ἀποφανθ(ῇ).* (17) *Καὶ ὅτι ἐὰν τὸ ὑποκείμενόν τις πωλή(σῃ), ὁ δὲ ἀγοραστ(ὴς) κτήσηται μακροῦ χρό(νου) παραγρα(φὴν), δεφενσίωνι οὐχ ὑπόκειται.* (18) *Καὶ ὅτι ὁ πράτ(ης) μὴ γενομένης ἔτι τῆς ἐκνική(σεως) δεῖ συμπαρεῖναι τῷ ἀγοραστῇ. περαιω-*

17 *ὅρων* Ed. T. | 32 *ζήτησιν* Ed. T. | 33 *ὃν ἠγόρ. τις* Ed. T.

36 *συμπαρεῖναι τῷ πράτ(ῃ)*

θείσης δὲ αὐτῆς οὐ δύναται ἀναπαλαίειν, εἰ μὴ ἐξεκαλέσατ(ο). οὐ καλῶς δὲ εὐθύνεται ὑπὸ τοῦ ἀγοραστοῦ, εἰ μὴ παρηγγέλθη αὐτῷ παρ' αὐτοῦ. (19) Καὶ ὅτι ἡ ἐπὶ τῇ πρά(σει) ἀγωγ(ὴ) μακροῦ χρό(νου) παραγρα(φῇ) οὐκ ἐκβάλλεται. εἰ δὲ ὁ πραθεὶς οἰκέτης εἰς ἐλευθερ(ίαν) ἀναφωνεῖ καὶ ὑπὲρ αὐτοῦ ψῆφος προβῇ, δύναται ὁ ἀγοραστὴς εἰς τ(ὸ) διαφέρον κινῆσαι, εἰ μὴ ἀπὸ συμφώ(νου) κεκώλυται. (20) Καὶ περὶ τοῦ, ὅτι ὁ ὡς ἐλεύθ(ε)ρ(ον) ἀγρὸν ἀγοράσας, εἰ μετὰ ταῦτα ὡς ὑποκείμενον αὐτῷ ἠθέλησέ τις ἐκδικῆ(σαι), καὶ κατέβαλ(εν), ὅπερ ἐζήτ(ει) ὁ ἐκνικῶν χρέος ὁ ἀγοραστής, δύναται κινῆσαι κατὰ τοῦ πράτ(ου). (21) Καὶ οἱ διάδοχ(οι) τοῦ πράτ(ου) κρατοῦντ(αι) τῇ ἐκνική(σει), κἂν παρηγγέλθη ὁ πράτ(ης) | καὶ οὐ παρῆν, πλὴν εἰς τὸ δια- 98v φέρ(ον) καὶ οὐκ εἰς τ(ὸ) τίμημα τὸ δοθ(έν). (22) Καὶ ὅτι ὁ ἀγορά(σας) δούλους μὴ καταβαλλέτω τὸ ὑπὲρ αὐτῶν τίμημα, εἰ ἀναβοῶσιν εἰς ἐλευθ(ε)ρ(ίαν). εἰ δὲ ἦν καταβαλὼν μέρο(ς), λαμβανέτ(ω) ἀσφάλ(ειαν) παρὰ τοῦ πράτ(ου) περὶ τῆς αὐτῶν ἐκδική(σεως). (23) Καὶ περὶ τοῦ πωλή(σαν)τ(ος) ἐλεύθ(ε)ρ(ον) ἐν ἀγνοίᾳ καὶ ἀναφωνοῦντος αὐτοῦ εἰς ἐλευθ(ε)ρ(ίαν), δικαιολογουμένου, ἐν ᾧ νικήσει, εἰς τί εὐθύνεται. (24) Καὶ ὅτι τοῦ πραθ(έν)τ(ος) οἰκέτου τελευτ(ήσαντος) οὐκέτι ὁ πράτ(ης) ἐνάγεται. (25) Καὶ περὶ τοῦ ἐν εἰδή(σει) ἀλλότρ(ιον) ἢ ὑποκείμενον ἀγοράσαντ(ος), ἐν ᾧ μηδὲν περὶ ἐκνική(σεως) συνεφώνη(σε), πῶς οὐκ ἀπαιτεῖται τὸ τίμημα. εἰ δὲ ἠγνόει, πῶς πανθ(ά)ν(ει) τὸ ἱκανόν. (26) Καὶ ὅτι ὁ ἀγοραστὴς περὶ τῶν ἀγορασθ(έν)των ζήτ(ησιν) ὑπομένων καὶ ταῖς οἰκείαις καὶ ταῖς τοῦ πράτ(ου) κέχρηται δικαιολογίαις. (27) Καὶ ὅτι ὁ εἰς ἀνταλλαγὴν λαβὼν πρᾶγμα ἐκνικωμένου αὐτοῦ εἰ παραγγείλ(ῃ) τῷ δεδωκ(ό)τ(ι), κινεῖ εἰς τὸ διαφέρον. (28) Καὶ ὅτι οὐκ ἀπὸ τοῦ ἐπερωτᾶν τὸ περὶ τῆς ἐκνική(σεως) διπλοῦν νομίζεταί τις ἀγοράζειν ἀλλότρ(ιον). (29) Καὶ ὅτι ἐὰν ἠγγυήσατό τις ἐκνίκη(σιν) πράγματος, εἶτα ὁ κληρονόμος αὐτοῦ διεκδικῇ αὐτό, οὐδὲν ἧττον ἐνάγεταί τις σωζομένου τοῦ λόγου τῆς ἐκνική(σεως). ἀνά(γνωθι) τὸν ια' τί. τούτ(ου) τοῦ βι., περὶ τοίνυν παραγγελ(ίας) τῆς πρὸ(ς) τὸν πράτην ζήτ(ει) τὸν ι' τί. τοῦδε τοῦ βι. ὅλον.

---

8 καὶ καταβάλλει Ed. T. | 18 πῶς πάθοι Ed. T.

---

12 καταβαλέτω

ΒΙ(ΒΛΙΟΝ) κʹ. ΤΙ(ΤΛΟΣ) αʹ.

Περὶ ἀγωγ(ῆς) μισθώ(σεως) καὶ ἐκμισθώ(σεως).

(1) *Καὶ ὅτι ἡ μίσθω(σις) καὶ ἡ ἀγορα(σία) ἐοίκασιν ἀλλήλοις.* (2) *Καὶ ὑπὸ τοὺς αὐτοὺς συνίστανται κανόνας. ἅμα γὰρ ὁρισθ(ῇ), τὸ μίσθωμ(α) πληροῦται. καὶ περὶ τοῦ ἐὰν ἐπιτάξω τεχνίτ(ῃ) δακτυλίδ(ιον) καὶ λαβεῖν τόσα νομίσματα, εἰ μὲν τοῦ τεχνίτ(ου) ἐστιν ἡ ὕλη, πρᾶ(σ)ίς ἐστιν, εἰ δὲ τὴν ὕλην ἐγὼ παρέσχον, μίσθωσίς ἐστιν.* (3) *Καὶ περὶ τοῦ ἐὰν ἀγρὸς μισθωθ(ῇ) καὶ ἐξοπλισμὸς αὐτο(ῦ) διατετιμημένος δοθῇ τῷ μισθωτ(ῷ), δοκεῖ τὸν ἐξοπλισμὸν ἠγορακέναι, ὥσπερ ὅτε διατετιμημένον ἐν προικὶ δοθ(ῇ).* (4) *Καὶ ὅτ(ι) ἐὰν μίσθω(σις) ἤ τι κατὰ παράκλη(σ)ιν οὕτω συστῇ, ἐφ' ὅσον βούλ(ε)τ(αι) ὁ δοὺς ἢ ὁ μισθώσας, τῇ τελευτῇ τοῦ δεδωκότος σβέννυσθαι.* (6) *Καὶ ὅτι ὁ μισθωσάμενος οὐκ ἀποκαθίστησιν, ὅπερ ἔλα(βε) διὰ τῆς περὶ κλοπῆς ἀγωγ(ῆς) προφά(σει) τοῦ πράγματ(ος).* (7) *Καὶ περὶ τοῦ ἐὰν ἀλλότρ(ιον) οἶκον εἰς νʹ νομίσματα μισθώσω σοι καὶ σὺ τὸν αὐτὸν οἶκον Πέτρ(ῳ) μισθώσ(ῃς) εἰς ξʹ καὶ κωλυθ(ῇ) Πέτρος οἰκεῖν, τί γίνεται.* (9) *Καὶ περὶ τοῦ ἐὰν ὁ καλῇ πίστει ἀγοράσας ἀγρὸν ἢ οἶκον μισθώ(σῃ) αὐτὸν καὶ χωρὶς δόλ(ου) καὶ ἀμελείας αὐτοῦ ἐκνικηθ(ῇ), ἐνέχεται, εἰ μὴ δίδω(σιν) ἕτερον τοιοῦτον οἶκον. εἰ δὲ περιέλθῃ εἰς αὐτόν, καὶ αὖθις ἐνέχεται τὸν αὐτὸν δοῦναι εἰς μίσθω(σιν), ὡς βι. λδʹ τί. αʹ κε. ιϛʹ* (=8,8) *οὗ ἡ ἀρχή Ἐὰν τὸν ἠνεχυρασμένον δοῦλον. καὶ περὶ τοῦ ἐὰν ὁ χρῆ(σιν) ἀγροῦ ἔχων ἐπὶ πενταετίᾳ μισθώ(σῃ) αὐτὸν καὶ τελευτ(ήσῃ), εἰς τί εὐθύνεται ὁ κληρονόμ(ος) αὐτοῦ. καὶ εἰ ὁ οἶκος εἰς πενταετίαν μισθωθεὶς ἐν τῷ μεταξὺ καυθ(ῇ). καὶ ὅτι καλῶς μισθοῖ τις συμφωνῶν ὑποκεῖσθαι τὸν μισθωτὸν τοῖς τυχ(η)ρ(οῖς). καὶ περὶ τοῦ συμφωνήσαντος ἀβλαβὲς ἔχειν πῦρ τοὺς μισθωσαμένους, πότ(ε) τυχηρᾶς γενομένης καύσεως οὐκ ἐνέχονται, εἰ μὴ ἀμέλ(είᾳ) αὐτῶν ἐγεγόνει. καὶ περὶ τοῦ μισθωσαμένου ἀγέλ(ην) καὶ χωρὶς ἀπάτ(ης) αὐτοῦ ἀφαιρεθ(εί)σ(ης) ὑπὸ | λῃστῶν, πῶς οὐκ ἐνέχεται. καὶ ὅτι ἐπὶ τοῦ μισθω(τοῦ) ἡ ἀπειρία* 99r *ἔοικε τῇ ἀμελείᾳ. καὶ ὅτι ὁ ποιμὴν καὶ ὁ ῥάπτης καὶ ὁ κναφεὺς ἀπὸ ἀπειρίας καὶ ἀμελείας ἐνέχεται.* (11) *Καὶ ὅτι ὁ μισθωτὸς τὴν ἀμέλειαν τῶν ἰδίων καὶ*

1 hic explicit Ed. T. in Editione Basilicorum Heimbachiana | 12 cap. 5 Editionis deest in Tipuc. | 15 cap. 8 item | 26 in marg. inferiore fol. 98v, sine signo : *πε(ρὶ) δὲ τοῦ, ὅτι μεταξὺ μισθωτῶν καὶ παροίκων οὐδεμία διαφο<ρά ἐστι καὶ μόνον τ>ὸ ὄνομα διττόν, ζήτει βι. νεʹ τί. αʹ* | 29 cap. 10 Editionis deest in Tipucito

6 *τόσα ii* | 14 *νʹ ii*

τῶν ξένων ἐπιγινώσκει ἰδίῳ ὀνόματ(ι). καὶ περὶ τοῦ ἐὰν συμφωνηθ(ῇ) μὴ ἔχειν πῦρ καὶ σχῇ, ἐνέχεται, εἰ καὶ κατὰ τύχ(ην) ἐμπρησμὸς γένηται. ἕτερον δέ ἐστιν, εἴπερ συμφωνηθ(ῇ) πῦρ ἔχειν ἀβλαβές. καὶ ὅτι προνοεῖν ὀφείλ(ει) ὁ μισθωτός, ἵνα μὴ τὸ πρᾶγμα ἢ τὸ δίκαιον αὐτοῦ χεῖρον γένηται. καὶ περὶ τοῦ μισθωσαμένου ἐπὶ τῷ μεταγαγεῖν οἶνον ναύκληρον καὶ δίκης ἐπ' αὐτῷ γενομένης σφραγίσαντ(ος) μεθ' ἑτέρου αὐτὸν καὶ παραθεμένου τινί, πῶς ἐνέχεται καὶ ἐπὶ ποίοις ἢ οὐκ ἐνέχεται. καὶ περὶ τοῦ συμφωνήσαντος μὴ σχεῖν χόρτ(ον) καὶ σχόντος, εἶτα ἢ δοῦλο(ς) αὐτοῦ (12) ἢ ξένο(ς) εἰσάγῃ πῦρ καὶ καύσῃ. (13) Καὶ περὶ ἁμαξαρίου τρέψαντος τὴν ἅμαξαν καὶ κλάσαντος τὸν δοῦλ(ον). καὶ περὶ ναυκλήρ(ου) μὴ δυναμένου εἰσαγαγεῖν ἐν τῷ λιμένι τὰ φορτ(ία) καὶ μεταγαγόντος εἰς τ(ὸ) πλοῖόν σου, εἰ ναυαγή(σῃ) τὸ σόν, πῶς ἐνέχεται ὁ πρῶτος ναύκληρος καὶ πότε οὐκ ἐνέχεται. καὶ περὶ τοῦ ἐὰν πλοῖον ναυαγήσῃ διὰ τὸ μὴ ἔχειν κυβερνήτ(ην). καὶ πε(ρὶ) τοῦ ἐὰν ἐπὶ διδαχῇ οἰκέτ(ην) λαβὼν ἐπὶ ξένης ἀπαγάγω καὶ ὑπὸ πολεμίων ληφθῇ ἢ ἀπόληται, πῶς ἐνέχομαι ἢ μή. καὶ περὶ τοῦ ἐὰν σκυτεὺς τὸν μαθητὴν κακῶς ἐργαζόμενον τύψας ἐξοφθαλμίσῃ. καὶ περὶ τοῦ ἐὰν λά(βῃ) τις ἐπὶ τῷ ἐγκλεῖσαι ἢ γλύψαι λιθέαν καὶ κλασθ(ῇ). καὶ ἐὰν μυόβρωτον γένηται τὸ δοθὲν κναφεῖ. καὶ ἐὰν παριόντων τῶν στρατιωτῶν, παραχωρή(σῃ) ὁ μισθωτὸς καὶ οἱ στρατιῶται τὰς θυρίδας ἀφέλωνται ἢ ἕτερόν τι. καὶ περὶ τοῦ ἐὰν μισθώσωμαι στάθμια καὶ κλάσῃ αὐτὰ ὁ ἀγορανόμος. καὶ ὅτι ἐπὶ τῆς μισθώσεως δύνατ(αι) δύο εἶναι ἔνοχοι εἰς ὁλόκληρον. καὶ περὶ τοῦ μισθώσαντος ἔργον ποιῆ(σαι) καὶ συμφωνήσαντος ὥστε μὴ πληρουμένου αὐτοῦ εἴσω τῆσδε τῆς προθεσμίας μεταμισθοῦν αὐτό. καὶ περὶ τοῦ ἐπιμείναντος μετὰ τὸ πληρωθῆναι τὸν χρόνον τῆς μισθώσεως συναινοῦντος ἑκατ(έ)ρ(ου) μέρους, πῶς ἀνανεοῦται ἡ μίσθωσις εἰς ἐκεῖνον μόνον τὸν χρόνον. λέ(γει) δὲ κρατεῖν τοῦτο ἐπὶ ἀγροῦ, ἐπὶ δὲ οἴκων, ὑπὲρ ὅσου χρόνου μείνῃ, τίς ἐνέχεται, εἰ μὴ δῆλος χρόνος ἐγγράφως ὁρισθῇ τῇ μισθώ(σει), ζήτ(ει) τὸ ϟε' (=94) κε. οὗ ἡ ἀρχὴ Οἱ μισθωσάμενοι πρᾶγμ(α) καὶ μετὰ τὴν ἐκπλήρω(σιν). (14) Καὶ περὶ τοῦ ἐπὶ ῥητὸν χρόνον μισθωσαμένου καὶ περαιωθ(έν)τ(ος) τοῦ χρόνου ἐπιμείναντ(ος), πῶς ἀνανεοῦται τὸ συνάλλαγμα ὥσπερ ἀπὸ νέας συναινέ(σεως), εἰ μὴ μεταξὺ τελευτ(ήσῃ) ἢ μανῇ ὁ δεσπότ(ης). (15) Καὶ ὅτι ἁρμό(ζει) κατὰ τοῦ μισθώσαντ(ος) ἀγωγ(ὴ) τῷ μισθωσαμένῳ, ὅτε μὴ δίδοτ(αι) αὐτῷ τὸ μισθωθ(ὲν) ἢ μέρος αὐτοῦ ἢ οὐ φιλοκαλεῖται ὁ οἶκος ἢ τὸ σταῦλον ἢ ἡ μάνδρ(α) ἢ τὸ σύμφωνον οὐ φυλάττεται. καὶ

10-13 themata de patronis navium desiderantur in Ed. | 20 *σταθμία* Ed. | 29 *συμπλήρωσιν* Ed.

15 *καὶ* bis | 18 *περιόντων* | 26 *τοῦ ἐπί* | 28-29 *ζήτει — ἐκπλήρωσιν* in margine cum signo ad *ἐνέχεται* lin. 27 spectante

ὅτι πᾶσαν βίαν, ᾗτινι οὐ δυνατὸν ἀντιστῆναι, ὁ δεσπότ(ης) ἐπιγινώσκει, ἃς καὶ ἀπαριθμεῖ κατὰ λεπτόν. τὰ δὲ ἀπὸ αἰτίας τοῦ πράγματος συμβαίνοντα πρὸ(ς) ζημίαν ἐστί τοῦ μισθωτ(οῦ). καὶ περὶ τοῦ ἑνὶ ἐνιαυτῷ συγχωρήτ(ου) τῷ μισθωτῷ διὰ τὴν ἀφορίαν, πῶς, εἰ γένηται εὐφορία ἐν τοῖς ἑξῆς ἐνιαυτοῖς λαμβά(νει) τὸ συγχωρηθ(έν). τοῦτο δὲ καὶ ἐπὶ ἐμφυτευ(τι)κ(οῦ) ἐστιν. οὐ γάρ ἐστι δωρεά. καὶ εἰ ἐν τῷ ὑστέρῳ χρόνῳ γέγονεν ἡ ἀφορία. καὶ ὅτι τοῦ πλοίου ναυαγήσαντος δίδω(σιν) ὁ ναύκληρ(ος) τὰ ναῦλα, ἅπερ ἔλα(βε), | ὡς μὴ μετακομίσας. καὶ ὅτι εἰ καὶ εἰρήκαμεν ἄνωθ(εν) διαφό(ρους) 99v *αἰτίας, ἐξ ὧν τὸ μίσθωμα δεῖ συγχωρεῖσθαι τῷ μισθωτ(ῷ) οἷον χειμῶνα ἐπαχθέστατον, πλήμμυραν ποταμοῦ καὶ τὰ λοιπά, ἀλλ' ἐφ ὧν οὖν θεμάτων χώρα τῇ συγχωρή(σει), οὐ λαμβάνει τὸ διαφέρον κινῶν ὁ μισθωτός, ἀλλὰ πρὸς ἀναλογίαν κουφίζεται τοῦ μισθοῦ, τὸν δὲ σπόρον αὐτὸς ζημιοῦται. εἰ δὲ ἐμποδίζεται νεμηθῆ(ναι), εἰς τὸ διαφέρον κινεῖ. κινεῖται ἡ περὶ μισθώ(σεως) καὶ ἐπὶ τῷ ἐλευθερωθῆ(ναι) ταύτ(ης). καὶ παρεισάγει παράδειγμα, ὃ καὶ ἀνά(γνωθι).* (19) *Καὶ περὶ τοῦ εἰ ἀγνοίᾳ μισθώ(σω) πίθ(ον) κεκλασμ(έ)ν(ον) καὶ ἐκχυθ(ῇ) ὁ οἶνος. καὶ εἰ τόπ(ον) εἰς βοσκὴν μισθώσομαι καὶ ἐκ τῶν ἐν αὐτῷ κακῶν βοτάνων βλαβῶσιν ἢ φθαρῶσι τὰ θρέμματ(α). καὶ περὶ τοῦ ἀγροῦ μισθουμένου, ποῖα δίδονται τῷ μισθωτ(ῷ) καὶ τίνα εἰσὶ τῆς ἐξοπλί(σεως) τοῦ ἀγροῦ. καὶ τίνα τοῦ ἐλαιοτριβείου. καὶ περὶ μισθώσαντ(ος) συμφωνήσαντ(ος) σίτ(ου) ποσὸν λαμβάνειν δήλῳ τιμήματ(ι) καὶ ὑπερθεμ(έ)ν(ου). καὶ περὶ τοῦ ἐὰν ὁ μισθ(ω)τ(ὸς) θυρίδας ποιή(σῃ) τῷ οἴκῳ, πῶς περιαιρεῖ αὐτάς. καὶ περὶ ἐνοίκ(ου) εἰσαγαγόντος κιβωτὸν κεχαλκισμ(έ)ν(ην), εἰ στενώσει τὴν εἴσοδον ὁ δεσπότη(ς), πῶς ἀναγκάζεται μετοικῆ(σαι) βουλομένου τοῦ μισθωσαμ(έ)ν(ου) δαπανήμα(σιν) ἰδίοις ποιῆσαι τὴν εἴσοδον εἰς τὸ ἐξενεχθῆναι. καὶ ὅτι, ἐὰν δίαιταν εἰς ἐνιαυτὸν μισθώσωμαι καὶ παράσχω τὸν μισθὸν καὶ πέσῃ ἢ καυθ(ῇ) τῷ ἕκτῳ μη(νί), ἀναλαμβά(νω) τὸ λοιπόν. καὶ ὅτι τοῦ τεχθέντος ἐν τῷ πλοίῳ νηπ(ίου) οὐ δίδοται ναῦλον. καὶ περὶ νοτ(α)ρ(ίου) ἐπὶ μισθῷ παραμείναντός μοι, πῶς, εἰ πρὸ τοῦ χρό(νου) ἀποθάν(ω), χρεωστεῖται τὸν μισθὸν τοῦ ἐνιαυτοῦ, εἰ μὴ ἐν αὐτῷ τῷ ἐνιαυτῷ μισθὸν ἔλα(βε) παρ' ἑτέρου. τὸ αὐτὸ καὶ περὶ συνεδρ(ίου) τοῦ ἄρχοντος τελευτ(ήσαντος).* (20) *Καὶ ὅτι, ὡς ἡ πρᾶ(σις), καὶ ἡ μίσθω(σις) συνίσταται ὑπὸ αἵρε(σιν), οὐ μὴν καὶ δωρεᾶς χάριν. καὶ ὅτι ἔσθ' ὅτ(ε) ὁ ἀγοραστὴς μισθοῦται τὸν ἀγρόν, ἕως οὗ καταβάλ(ῃ) τὸ τίμημα.* (22) *Καὶ εἰ γένηται τὸ πρᾶγμα ἄπρατ(ον) μὴ διδομένου τοῦ τιμήματ(ος), ἡ κατὰ τοῦ μισθωτ(οῦ) ἀγωγὴ ἁρμό(ζει). καὶ ὅτι, ὁσάκις ἐπὶ τῷ γενέσθαι*

7-8 de patrono navis deest in Ed. | 15 capp. 16-18 Editionis desunt in Tipuc. | 27 *τοῦ τεχθέντος* deest in Ed. | 34 cap. 21 Editionis deest in Tipuc.

3-4 *συγχώρ^{ητ}* | 8 *ἐξ ὧν αἰτιῶν* | 19 *ἐλαιοτριβίου* | 33 *καταβάλλ(ῃ)*

τι δίδοται, μίσθωσίς ἐστι. καὶ εἰ παράσχω ἔδαφος ἐπὶ τῷ γενέσθαι οἶκον δαπανήμα(σι) τοῦ τεχνίτ(ου). καὶ ὅτι φυσικῶς καὶ ἐν τῇ πρά(σει) καὶ μισθώ(σει) περιγρά(φομεν) ἀλλήλους ἐν τῷ ποσῷ. (23) *Καὶ οὐκ ἐκ τούτ(ου) ἀνατρέπεται, εἰ μὴ γέγονε δόλ(ος).* (24) *Καὶ ὅτι, ἐὰν συνεφωνήθ(η) κυρωθῆ(ναι) τὸ ἔργον δοκιμα(σίᾳ) τοῦ δεσπότ(ου), ἀνδρὸς ἀγαθ(οῦ) δοκιμα(σίαν) ἐπιζητοῦμεν. οὐκ ἔχει δὲ ὁ τοιοῦτος ἄδειαν τὸν χρό(νον) ἐκτείνειν, ἐν ᾧ τὸ ἔργον συνεφωνήθ(η) γενέσθαι, ἀλλὰ μόνον τὸ ἔργον δοκιμάζειν, κἂν εἰς τὴν ἑτέραν δοκιμασίαν ἀναγάγωμεν. καὶ περὶ τοῦ ἐὰν ὁ μισθωτ(ὸς) μεταμισθώ(σῃ) τὸν ἀγρὸν, τὰ πράγμ(α)τ(α) τοῦ δευτ(έ)ρ(ου) μισθωτ(οῦ) οὐχ ὑπόκεινται τῷ δεσπότῃ, οἱ μέντοι καρποὶ ὑπόκειντ(αι). καὶ περὶ τοῦ ἐὰν ἐπὶ χρό(νον) μισθώ(σω) σοι ἀγρὸν ἢ οἶκον καὶ πρὸ πέρατος ἐάσῃς αὐτόν, πῶς δύναμαι παραχρῆμα κινεῖν περὶ ὧν πρὸ συμπληρώ(σεως) δεῖ σε ποιῆσαι, τυχὸν ἐνάγων ἐπὶ τῷ φιλοκαλῆσαι ἢ φυτεῦσαι. καὶ περὶ μισθωτ(οῦ) πρὸ πενταετίας ἐκβαλλομέν(ου), πῶς δύναται κινεῖν περὶ πάσης τῆς πενταετίας, εἰ καὶ ἀνέχεται αὐτὸν ὁ δεσπότ(ης) εἰς τοὺς ἑξῆς χρό(νους) νεμηθῆ(ναι). καὶ πῶς οὐ δίδω(σι) τὸ μίσθωμα, ἀλλὰ μᾶλλον λαμβά(νει) τὸ διαφέρον. καὶ περὶ μισθωτ(οῦ) μετὰ τὴν μίσθω(σιν) συγχωρηθ(έν)τ(ος) ἐν διαθήκ(ῃ) τὸν μισθὸν καὶ κωλυομ(έ)ν(ου) νέμεσθαι ἢ ἀπαιτουμ(έ)ν(ου) μισθ(όν).* (25) *Καὶ ὅτι ἡ οὕτως γενομ(έ)ν(η) μίσθω(σις)· ὅσον τις ὁρίσει, οὐκ ἔρρωτ(αι). εἰ δὲ· ὅσον Πέτρ(ος), εἰ μὲν ὁρίσει, πρὸ(ς) τὸ λεχθὲν ἔρρωτ(αι), εἰ δὲ μὴ δυνηθ(ῇ) ἢ μὴ θελήσει ὁρίσαι, οὐδὲν ἔρρωτ(αι), ὡς μισθ(ὸν) μὴ ὁρίσαντ(ος). καὶ ὅτι | ὁ <π>ωλῶν πρᾶγμα ὀφείλ(ει) μετὰ τοῦ ἀγοραστοῦ συμφω-* 100r
ν<εῖν> περὶ τ<ῆς> προηγησαμένης ἐν τῷ πεπραμένῳ μισθώ(σεως). καὶ ὅτι τοῦ γείτονος κτίζοντ(ος) καὶ ἀμαυροῦντος φῶτ(α) κινεῖ κατὰ τοῦ μισθώσαντ(ος) ὁ ἔνοικος. ἔξεστι δὲ αὐτῷ καταλιμπάνειν καὶ τὴν μίσθω(σιν). εἰ δὲ περὶ τοῦ μισθοῦ ἐνάγεται, γίνεται ἀντέλλογος. τὸ αὐτό, εἰ καὶ τὰς θύρας καὶ θυρίδας ὁ μισθώσας οὐκ ἀνανεοῖ. καὶ ὅτι γεωργεῖν εὐκαίρως ὀφείλ(ει) ὁ μισθωτ(ὸς) καὶ τῆς ἀπαθείας φροντίζειν τῶν οἴκων. καὶ ὅτι ἀμέλ(εια) αὐτοῦ ἐστιν, ἐὰν δι' ἔχθραν αὐτοῦ ὁ γείτων ἐκκόψῃ δένδρ(α), αὐτὸς μέντοι ἐκκόπτων, ἀνά(γνωθι), ποίαις ἀγωγαῖς ὑπόκειται. καὶ ὅτι ἡ θεομηνία οὐκ ὀφείλ(ει) ἐπιζημία εἶναι τῷ μισθωσαμένῳ, εἴγε ἀφορήτως ἐβλάβησαν οἱ καρποί. καὶ περὶ τοῦ μισθωσαμένου ἐπὶ τῷ μετακομίσαι κίονα, τοῦ κίονος βλαβέντ(ος), ἢ κλασθ(έ)ν(το(ς) ἐν τῷ κουφίζεσθαι ἢ βαστάζεσθαι ἢ ἀποτίθεσθαι, πῶς οὐκ ἐνέχεται, εἰ μὴ ἀπὸ ἀμελείας οἰκείας καὶ τῶν ὑπουργούντων αὐτῷ. τὸ αὐτὸ καὶ περὶ πίθ(ου) καὶ ξύλων καὶ ἄλ-

23 in marg. sine signo : *ζήτ(ει) κε. οβ'* | 30-32 *καὶ — καρποί* thema deest in Ed. | 35 *πίθων* Ed.

14 *περὶ πενταετίας*

λων πραγμάτων. καὶ πῶς δοκεῖ στερεῖσθαι ἀμελείας. καὶ ὅτι παρὰ τοῦ ῥάπτ(ου) καὶ τοῦ κναφέως ὁ δεσπότ(ης) τὸ ἱκανὸν ὑποστὰς ἐπὶ τοῖς ἀπολλομ(έ)ν(οις), οὐκ ἀναγκάζεται τὴν ἐπὶ τῷ πράγματ(ι) ἀγωγ(ὴν) καὶ τὸν ἀπαιτ(οῦν)τ(α) τὰ κλοπιμαῖα λόγον αὐτοῖς ἐκχωρεῖν. (26) *Καὶ περὶ τοῦ ἐὰν δύο ἐν τῇ αὐτ(ῇ) ἡμέρᾳ μισθ(ώσωσιν) ἔργον, πῶς ὁ πρῶτ(ος) τὸ ἱκανὸν ὑφίσταται πρότ(ε)ρον.* (27) *Καὶ εἰ ὁ δεσπότ(ης) μικρόν τι λύ(σῃ) μέρος τοῦ οἴκ(ου), οὐ μειοῦται ὁ μισθ(ός), εἰ μὴ ἐν αὐτῷ ἦν ἡ μείζων χρῆ(σις). καὶ περὶ τοῦ ἐάν τις φοβηθεὶς εὐλόγως μετοική(σῃ), πῶς τὸν μισθὸν οὐ δίδω(σι), κἂν ὁ κίνδυνος οὐκ ἦν ἀληθ(ής), εἰ δὲ μὴ ἦν ἀληθὴς ἡ αἰτία τοῦ φόβου, χρεωστεῖ τὸν μισθόν.* (28) *Καὶ ὅτι, ἐάν τις μείνῃ κατοικῶν, δίδω(σι) καὶ τοῦ σαθρωθ(έν)τ(ος) μέρους τὸν μισθόν. τὸ αὐτό ἐστιν, εἰ ἄδειαν εἶχε μισθώσασθαι, οὐκ ἐμισθώσατ(ο) δέ, ἀλλ' ἔμενε, δίδω(σι) γὰρ τὸ μίσθωμα. εἰ δὲ ὁ μισθώ(σας) μὴ ποιήσει τῷ μισθωσαμένῳ εὐχέρειαν οἶκον μισθώσασθαι καὶ ὁ μισθωτ(ὸς) οἴκη(σ)ιν μισθώσηται, λαμβά(νει) παρὰ τοῦ μισθώσαντος, ὅσον ἄνευ δόλ(ου) δέδωκ(εν). εἰ δὲ δῶρον ἔσχε τὴν οἴκη(σ)ιν, πρὸς ἀναλογίαν τοῦ χρό(νου) μειοῦται τὸ μίσθωμα.* (29) *Καὶ ὅτι ὁ μισθωσάμενος ὕλην καὶ συμφωνή(σας) μὴ τεμεῖν μήτε καίειν μήτε παραχαράττειν μήτε συγχωρεῖν ἄλλῳ ταῦτα ποιεῖν καὶ τῶν παρὰ γνώμ(ην) αὐτοῦ ἐκκοπέντων τὸν κίνδυνον ἀναδέχεται ἢ βλαβέντων.* (30) *Καὶ περὶ τοῦ εἰ μισθώσομαι οἶκον καὶ πλείονος μισθώ(σω), ὁ δὲ δεσπότ(ης) ἢ διὰ τὴν σαθρότ(η)τ(α) θέλει ἐπισκευάσαι τὸν οἶκον ἢ διὰ κρείττονα ὄψιν, πότε ἐνέχεταί μοι εἰς τὸ πλέον τοῦ ποσοῦ, οὗ ἐμισθωσάμην παρ' αὐτοῦ, ἐγὼ δὲ ἐμίσθω(σα), καὶ πότε εἰς αὐτὸ ἐκεῖνο τὸ πρό(ς) με μίσθωμα. ἀνά(γνωθι), θαῦμα. ζήτ(ει) δὲ καὶ τὸ κάτω* (=34) *κε. τὸ λέγον Σκοπεῖν εἰώθαμεν, εἰ ἀναγκαίως κατέλυσε τὸν μισθωθ(έν)τ(α) οἶκον ὁ δεσπότ(ης). καὶ περὶ τοῦ ἐὰν μισθώσωμαι βαλανεῖον ἐπὶ τῷ λοῦσαι ἐνιαυτόν καὶ καυθ(ῇ) τῷ τρίτ(ῳ) μηνὶ ἢ πέσῃ, τοῦ λειπομ(έ)ν(ου) χρό(νου) τὸν μισθὸν ἀναλαμβάν(ω). καὶ περὶ τοῦ μισθωσαμ(έ)ν(ου) ἄλογον ἐπὶ τῷ βαστάσαι τι δῆλον καὶ βαρύτερον ἐπιθέντ(ος) αὐτοῦ βλαπτομένου, πῶς κινεῖται ἡ περὶ μισθώ(σεως) καὶ ὁ ἀκουίλιος. καὶ περὶ τοῦ ἐργολαβήσαντος ἔργον καὶ συμφωνήσαντος λαβεῖν μισθὸν κατὰ τόσους πόδας, πῶς καὶ πρὸ τοῦ κτίσαι τὸν οἶκον δύναται μετρεῖν. καὶ ὅτι ἐὰν συμφωνή(σας) ὁ μισθωτ(ὸς) ἀδιάφθορον ἀναδοῦναι τὸ ἐποίκιον ἄνευ βίας καὶ παλαιότ(η)τ(ος) καὶ ὁ δοῦλ(ος) αὐτοῦ καύσῃ αὐτὸ μὴ κατὰ τύχην, ὑπόκειται. ὁ γὰρ συμφωνῶν ἄνευ βίας, οὐ τὴν τῶν οἰκείων, ἀλλὰ τὴν τῶν ἐξωτικῶν ὑπεξαιρεῖν δοκεῖ. Καὶ ὅτι πολλῶν ἀναμὶξ σῖτον ἐκβαλλομένων ὁ ναύκληρ(ος) τῷ ἑνὶ*

---

3 *ἀναγκάζεται* sine negatione Ed. | 35-162,3, *καὶ ὅτι — γίνεται* verba (de patronis navium) desunt in Ed. | 20-21 *ἐπισκευᾶσαι* | 28 *βαστᾶσαι* | 31 *μετρᾶν*

ἀποδέδωκ(ε) καὶ | τὸ πλοῖον ἐναυάγησεν, οὐκ ἔχουσιν οἱ λοιποὶ κατὰ τοῦ **100v** ναυκλήρου. καὶ ὅτι δύο εἴδη εἰσὶ τῆς μισθώ(σεως) καὶ πῇ μὲν τὸ αὐτὸ ἀποδίδοτ(αι), πῇ δὲ οὐ τὸ αὐτό, ἀλλὰ τοῦ αὐτοῦ γένους. καὶ ἀνά(γνωθι), καὶ εἰ κεχωρισμένος ἦν ὁ ἑκάστου σῖτος, τί γίνεται. (31) *Καὶ ὅτι ἐὰν μισθώσας τινὶ ἀγρὸν εἰς γεωργίαν ἐπί τινας ἐνιαυτοὺς καὶ ἀποθανὼν ληγατεύσω σοι τὸν ἀγρὸν καὶ οὐ θέλ(ει) ὁ μισθωσάμενος γεωργεῖν τὸν ἀγρόν, οὐδεμίαν ἕξει κατ' αὐτοῦ ἀγωγ(ὴν) ὁ κληρονόμ(ος) μου μετατεθείσης τῆς νομῆς πρὸ(ς) τὸν ληγατ(ά)ρ(ιον). αὐτὸ(ς) μέντοι ὁ κληρονόμος μᾶλλον ἐνάγεται παρ' αὐτοῦ ἐξωθούμενος τῆς μισθώ(σεως), ὥσπερ ὅτε τις πωλήσας πρᾶγμα πρὸ παραδό(σεως) ληγατ(εύει) αὐτό. καὶ τῷ ἀγοραστῇ γὰρ καὶ τῷ ληγαταρίῳ ὁρᾷ.* (32) *Καὶ περὶ τοῦ ἐὰν μισθ(ώσῃς) μοι ἀγρὸν καὶ δημευθῶ, ἀποδίδως μοι τοῦ λειπομένου [χρόνου] τὸν μισθόν, οὐ μὴν τὸ διαφέρον, ὥσπερ καὶ ὁ πρὸ παραδό(σεως) δημευθ(εὶς) ἀγρό(ς). μόνον γὰρ τὸ τίμημα ἀποδίδοτ(αι) ὁ πράτ(ης). καὶ περὶ τοῦ ἐὰν μισθ(ώσω) σοι ποιῆσαί μοι οἶκον καὶ τὸ ἔδαφος ἐφιζάνει, οὐδὲν ἧττον ἐνέχῃ. καὶ περὶ τοῦ ἐὰν σὺ κωλύεις τὸν μισθωτ(όν) σου ἢ ἄλλος, ὃν δύνασαι κωλύσαι, εἰς τὸ διαφέρον ἐνέχῃ. εἰ δὲ μὴ δύνασαι κωλύσαι διὰ τὴν βίαν ἢ δυναστείαν τοῦ προσώπ(ου), μόνον τὸν μισθὸν ἀποδίδως.* (34) *Ταῦτα δὲ λέγομεν ἐπὶ τοῦ καλῇ πίστει μισθώσαντ(ος), οὐ μὴν τοῦ κακῇ καὶ μὴ δυναμένου ἀντιστῆναι τῷ δεσπότ(ῃ). καὶ ὅτι σκοπεῖν εἰώθαμεν, εἰ ἀναγκαίως ἢ μὴ κατέλυσε τὸν μισθωθ(έν)τ(α) οἶκον ὁ δεσπότ(ης) καὶ ὅτι κοινὸν ἔχοντες ἀγρὸν συνεφωνήσαμεν ἐνιαυτὸν παρ' ἐνιαυτὸν ἔχειν αὐτὸν ἐπὶ δήλῳ ποσῷ μεμισθωμένον. καὶ ἐν τῷ πέρατ(ι) τοῦ ἐνιαυτοῦ σου τοὺς καρποὺς ἔφθειρας τοῦ ἐπιόντος ἐνιαυτοῦ, ποίας ἀγωγ(ὰς) κατὰ σοῦ ἔχω, ἀνά(γνωθι). τὸ αὐτό ἐστι, κἂν δύο κεχωρισμένως ἀγροὺς ἔχοντες συμφωνήσωμεν τὸν τοῦ ἄλλου ἕκαστον μισθώσασθαι καὶ τοὺς καρποὺς συλλογίζεσθαι εἰς τ(ὸ) μίσθωμα.* (35) *Καὶ περὶ τοῦ ἐὰν ὑπὸ μέτρησιν ἔργον μισθωθ(ῇ) ἢ ὑφ' ὁμάδ(α), τίνι ἐγκινδυνεύεται τὰ πρὸ τῆς μετρήσεως ἢ δοκιμασίας.* (36) *Καὶ εἰ ἐνεπόδ(ισεν) ὁ μισθώσας δοκιμασθῆ(ναι) ἢ μετρηθῆ(ναι).* (37) *Καὶ ὅτι ὁ μισθώ(σ)ας τὰς ἰδίας ὑπηρεσίας καὶ μὴ ἐμποδίσας ἐργάζεσθαι, τοῦ χρό(νου) ὅλου τὸν μισθὸν λαμβάν(ει) καὶ ὁ συνήγορος μὴ ἐμποδίσας τῇ διαγνώσει οὐκ ἀναδίδω(σι) τὸ μίσθωμα.* (39) *Καὶ ὅτι ὁ* **λαβὼν μισθὸν** *ἐπὶ φυλακ(ῇ) πράγματ(ος) ἐγκινδυνεύεται περὶ τὴν αὐτοῦ φυλακήν. γίνωσκε δέ, ὅτι μὴ παρασχὼν τὴν φυλακὴν ἐνέχεται, εἰ δὲ αὐτὸ(ς) μὲν παρέσχεν, ὑφ' ἑτέρου δὲ ἐβλάβη, ἀνενόχλητος συντηρηθήσεται ὡς ὁ Ἰουλι(α)ν(ός) φη(σιν). καὶ κίνδυνον νόει κυρίως, ὅτι ἐπιγινώσκει τὸν συμβεβηκ(ό)τ(α) τῷ*

15 *ἐνέχομαι* Ed. | 18 cap. 33 Editionis desideratur in Tipuc. | 31 Cap. 38 Editionis desideratur in Tipuc.

8 *λεγατάριον*

πράγματ(ι) ἐκ τῆς ἀφυλαξίας. καί φη(σι) τὸ νόμιμ(ον) (40) *χωρὶς τῆς ἐξ ἑτέρου γινομένης εἰς αὐτὸ βλάβης, εἰ μὴ ἄρα ἠδύνατ(ο) φυλαχθῆναι. εἰ δὲ καὶ ὁ φύλαξ βλάψει αὐτό, ἐνέχεται.* (41) *Καὶ περὶ τοῦ κλέψαντ(ος) τὸν μισθωθ(έν)τ(α) δοῦλ(ον) ἢ* (42) *τραυματίζοντος.* (43) *Καὶ ὅτι δουλεία οὐ μισθοῦται.* (44) *Καὶ περὶ τοῦ ἐὰν μισθώσω σοι οἶκον καὶ δοῦλοί μου βλάψωσιν ἢ κλέψωσί σε, ποίᾳ ἀγωγ(ῇ) ὑπόκειμ(αι). καὶ ἐὰν μισθώσω σοι δοῦλον ἐπί τῷ ἔχειν σε αὐτὸν ἐν ἐργαστηρ(ίῳ) καὶ κλέψῃ.* (45) *Καὶ ὅτι ἡ ἑνὸς νούμμου μίσθω(σις) οὐκ ἔρρωται, δωρεᾶς γὰρ εἰσάγει μίμημα.* (46) *Καὶ περὶ τοῦ ἐὰν πολλοῖς μισθώσω ἢ πωλή(σω) σκοπῷ τοῦ ἕκαστον εἰς ὁλόκληρ(ον) ἐνέχεσθαι, πῶς, καθ' οὗ θέλω, χωρῶ.* (47) *Καὶ περὶ τοῦ μισθωσαμένου κινητὸν ἢ αὐτοκίνητον καὶ μὴ παραδιδόντος, πῶς ὑπόκειται τῷ | ἐνδίκῳ* **101**[r] *ὅρκῳ.* (48) *Καὶ ὅτι οἱ ἐπίτροπ(οι) ἢ κουράτ(ωρες), πρὶν ἐκτίσουσι τὰ τῆς κηδεμον(ίας), οὐ γίνονται μισθωτ(οὶ) τοῦ βα(σιλέως) ἢ τοῦ δημο(σίου), κἂν ἀποκρυψάμενός τις μισθώσηται, ὑπόκειται τῷ περὶ πλαστογραφίας ἐγκλήμ(α)τ(ι).* (49) *Καὶ περὶ τοῦ ἐν ἀγνοίᾳ στρατι(ώ)τ(η) ὡς παγανῷ μισθώσαντος.* (50) *Καὶ περὶ τοῦ, εἰ συμφωνήσ(ω) πρὸς τὸν μισθωτόν, ἵνα μὴ γεωργοῦντος αὐτοῦ ἐξῇ μοι μεταμισθοῦν ἑτέρῳ, ὥστε, εἰ ὀλιγωτέρου αὐτὸν μισθώσω, ἐπιγνῶναί μοι τὸ διαφέρον, αὐτοῦ μὴ γεωργ(οῦν)τ(ος), εἰ εἰς πλεῖον μισθώσω, οὐ δίδωμι αὐτῷ τὸ περιττόν, εἰ μὴ συνέδοξε. καὶ περὶ τοῦ ἐὰν μισθώ(σω) σοι ποιῆσαι ἔργον, ἐφ' ᾧ καθ' ἡμέρ(αν) σε λαβεῖν τὸν μισθὸν καὶ γένηταί τι ἐλάττωμα, καὶ εἰ συνέδοξε τὴν καλλονήν σε παρασχεῖν ἢ διὰ τὸ γενέσθαι τὸ ἔργον δοκιμα(σίᾳ) τοῦ δεσπότ(ου) ὡρίσθη καθημερινὸς μισθός.* (51) *Καὶ ἐὰν νομίζω μισθοῦν σοι δέκα νομίσματα, σὺ δὲ νομίζῃς πέντ(ε), οὐκ ἔρρωτ(αι). εἰ δὲ νομίζω πέντ(ε) καὶ σὺ δέκα, εἰς τὰ πέντ(ε) μόνα συνίσταται.* (52) *Καὶ ὅτι ὁ ἐγγυησάμενος τῷ τελώνῃ τῆς πό(λεως) ὑπὲρ τοῦ μισθωσαμένου παρ' αὐτοῦ, οὐκ ἐνέχεται τῇ πόλ(ει), οἱ μέντοι καρποὶ ὑπόκεινται τῇ πό(λει)* . (53) *Καὶ ὅτι ὁ ἐγγυήσάμενός τινα οὕτως · ἐγγυῶμαι αὐτὸν εἰς πᾶσαν αἰτίαν ἀπὸ τῆς μισθώσεως ἐγειρομένην, ἢ · εἰς ὅσον χρὴ τὸν μισθωτὸν καταδικασθῆ(ναι), ἢ · εἰς τ(ὸ) ἀζήμ(ιον) τὸν μισθώ(σαν)τ(α) φυλαχθῆναι, ἐνέχεται καὶ ἐπὶ τόκοις.καὶ οὐκ ὠφελεῖται ἐκ τοῦ νόμου τοῦ λέγοντος μόνον τὸ κε(φάλαιον) ζημιοῦσθαι τοὺς ὑπὲρ ἄλλων καταβάλλοντας. καὶ ὅτι ἀζημίως ἐξωθεῖται ὁ μισθώσας τὸν μὴ γεωργ(οῦν)(τα) τὸν ἀγρὸν χρησίμως μισθωτ(ὸν) ἢ μὴ καταβαλόντ(α) ἐμπροθέσμως τὸν μισθὸν ἢ ἁπλῶς μὴ γεωργοῦντα αὐτὸν καὶ πρὸ τῆς πενταετίας. καὶ ὅτι ὁ μισθ(ω)τ(ὸς) λαβὼν διατετιμημένον [δοῦλον] κινδυνεύει ἐπ' αὐτ(ῷ).* (54) *Καὶ ἐὰν κλασθῶ(σιν) ἢ διορυγῶσι τὰ ὡρεῖα, οὐκ ἐνέχεται ὁ δεσπότ(ης),*

---

4 *τραυματίζοντα* | 8 *εἰσάγει τίμημα* | 13 *εἰ γίνοντ αι* | 14 *ἀπογραψάμενός τις μισθ.* | 17 *ὀλιγώτερον* | 21 *καλονήν* | 23 *δέκα ii* | 29-30 *μισθωθ(έν)τα φυλ.*

εἰ μὴ τὴν φυλακὴν αὐτῶν ἀνεδέξατ(ο), οἱ μέντοι δοῦλοι ζήτ(ησιν) ἐμβάσανον ὑφίστανται διὰ τὴν τῶν οἰκημάτων εἴδη(σιν). καὶ περὶ τοῦ ἐὰν ὁ ἐξειληφὼς χωρὶς συμφών(ου) τὸν ἀγρὸν αὐξή(σῃ) ἢ κτίσῃ ἀναγκαίως ἢ χρησίμως, δύναται τὰς δαπ(ά)ν(ας) λαβεῖν. καὶ περὶ τοῦ ἐὰν χωρὶς αἰτίας καταλίποι τὸν ἀγρὸν ὁ μισθωτ(ὸς) πρὸ συμπληρώ(σεως) τοῦ χρό(νου). (55) *Καὶ περὶ τοῦ ἐὰν ὁ δανειστὴς μισθώσῃ τῷ χρεωστῇ τὸ ἐνέχυρον.* (56) *Καὶ περὶ ἐνοίκου ἐπὶ διετίαν μὴ φαινομ(έ)ν(ου). λέγει δὲ τὴν διετίαν πολὺν χρό(νον). καὶ σκόπει, τί δεῖ γενέσθαι, ἀνά(γνωθι).* (57) *Καὶ περὶ τοῦ ἐὰν μισθώσω σοι μέσαυλον καὶ χῶμα ἢ κόπρον πολλὴν ἐκεῖ συνάγων ὑγράνῃς τοὺς τοίχους τοῦ οἴκου μου καὶ καταπέσῃ.* (58) *Καὶ περὶ τοῦ ἐὰν πωλῶν τὸν οἶκον, ὃν ἐμίσθωσα, συμφωνή(σω) τὰ ἐνοίκ(ια) λαβεῖν τὸν ἀγοραστήν, τί δοκῶ λέ(γ)ειν. καὶ περὶ τοῦ ἐὰν ἐπερωτήσω τὸ διαφέρον, εἰ μὴ γένηται τὸ ἔργον, ὅπερ ἐμίσθω(σα), καὶ μὴ ὁρισθ(ῇ) καιρὸς τῇ συμπληρώ(σει). καὶ περὶ τοῦ μισθωσαμ(έ)ν(ου) βαλανεῖον καὶ συμφωνή(σαν)τ(ος) δοθῆναι αὐτῷ εἰς ἐπιμέλ(ειαν) ρ' νομίσματα, πῶς οὐ δύναται ἀπαιτεῖν αὐτά, εἰ [μὴ] παράσχῃ ἐγγύας, ὅτι δαπ(α)ν(ᾷ) αὐτά.* (59) *Καὶ περὶ τοῦ, ὅτι, ἐὰν τὸ γινόμενον ἔργον ἀπὸ σεισμοῦ παρασαλευθ(ῇ), τοῦ μισθώσαντός ἐστιν ὁ κίνδυνος.* (60) *Καὶ ὅτι δύναται καὶ μεταμισθοῦν ὁ μισθωτ(ὸς) καί, ἐὰν ἐπορθουμένου τοῦ οἴκ(ου) μείνῃ πέντ(ε) τυχὸν μῆνας ἔξω, οὐδὲν δίδω(σιν) οὔτε μὴν ἀναγκά(ζεται) μετὰ τὴν ἀνανέωσιν οἰκεῖν εἰς τὸν οἶκον, εἰ μὴ δέδωκ(εν) αὐτῷ ἐν τῷ μεταξὺ οἴκη(σιν) ἐπιτηδεί(αν) ὁ δεσπότ(ης). καὶ ὅτι τοῦ κναφέως ἀπολέσαντος τὴν ἐσθῆτά μου, εἰ καὶ δύναμαι | αὐτὴν ἀπαιτεῖν ἐξ ἄλλου, καὶ* **101v** *μὴ θέλω, καλῶς ἐνάγω τῷ κναφεῖ. εἰ δὲ θέλω, δαπανήμα(σι) τοῦ κναφέως κινῶ. καὶ περὶ τοῦ ἐὰν δόξῃ διαγνώσει τοῦ μισθώσαντος δοκιμασθῆναι ἢ ἀποδοκιμασθῆ(ναι) τὸ ἔργον καί τινα τῶν γεγονότων μεταποιηθ(ῇ) κατὰ γνώμην αὐτοῦ, πῶς ἐλευθεροῦται ὁ ἐργολάβος. καὶ ὅτι ἐπέτρεψά σοι ἐπιδεῖν, πόσον εἰς τὸ ἔργον δαπανᾶται καὶ ἐπήγγειλ(ας) σ' νομίσματα καὶ τὸ ἔργον ἐπὶ δήλῳ ποσῷ ἐμίσθωσά σοι δεδωκὼς ρ' νομίσματα καὶ μέρους αὐτῶν δαπανηθ(έν)τ(ος) ἔγνων μὴ δαπανᾶσθαι ἧττον τῶν τ' καὶ ἐκώλυσά σε κτίσαι, ἐὰν ἐπιμείνῃς κτίζων, ἀπαιτῶ σε τὰ λοιπὰ τῶν δαπανηθ(έν)των διὰ τῆς ἐπὶ τῇ μισθώ(σει) ἀγωγ(ῆς). καὶ περὶ τοῦ ἐὰν ὁρῶντος τοῦ μισθωτ(οῦ) τὸ θέρος ἐπάρ(ῃς) εἰδὼς ἀλλότρ(ιον) εἶναι. καὶ ὅτι προέγραψέ τις τῷ ὡρείῳ αὐτοῦ μὴ ὑποδέχεσθαι ἰδίῳ κινδύνῳ χρυσὸν ἢ ἄργυρον ἢ μαργαρίτ(ας), ἐὰν εἰδότ(ος) αὐτοῦ καὶ ἀνεχομένου εἰσενεχθῇ τι τούτων, ἐνέχεται τῇ ἐπὶ μισθώ(σει) ἀγωγ(ῇ) ὡς ἀπειπὼν τῷ προθέμ(α)τ(ι). καὶ περὶ τοῦ ἐὰν μισθώσωμαι δοῦλόν σου μουλίωνα καὶ φθείρῃ τὰς μούλ(ας), τί γίνεται, εἰ ὁ δοῦλ(ος) ἑαυτὸν ἐμίσθ(ωσεν) ἢ σύ. καὶ ὅτι ὁ μισθῶν ὑποζύγιον καὶ εἰδὼς τὴν ὁδὸν ἔχουσαν τελώνα(ς), αὐτὸς βαρεῖται τῷ τέλει τοῦ ὑποζυγ(ίου). καὶ ὅτι*

---

15 *ρ' ii* | 23 *θέλῃ, δαπαν.* | 27 *σ' ii* | 28 *ρ' ii* | 32 *τῶν ὡρείων*

τὴν φυλακήν, ἣν ὁ ὡρειάριος χρεωστεῖ ἐπὶ τοῖς πράγμ(α)σ(ι) τῶν μισθωτῶν, οὐ χρεωστεῖ τῷ ὡρειαρ(ίῳ) ὁ μισθώσας αὐτῷ τὸ ὡρεῖον, εἰ μὴ τὸ ἐναντίον συνεφωνήθ(η). (61) *Καὶ περὶ τοῦ ἐὰν χωρὶς συμφών(ου) φυτεύσας ὁ μισθωτὸς πλείονα πρόσοδ(ον) περιποιή(σῃ), πῶς λαμβάνει τὰς δαπ(ά)ν(ας) ἢ συλλογίζεται τὸ περισσὸν εἰς τὸ μίσθωμα. καὶ εἰ κόμισσον γένηται τὸ φορτ(ίον), πῶς ὁ ναύκληρ(ος) τὸ συμφωνηθ(ὲν) ναῦλον ἀπαιτ(εῖ).* (62) *Καὶ περὶ τοῦ ἐὰν πρὸ δοκιμα(σίας) πέσῃ τὸ ῥεῖθρον εἴτε ἀπὸ αἰτίας τοῦ ἐδάφους εἴτε ἐξ ἐλαττώματ(ος) τοῦ ἔργου, τίς ζημιοῦται. ὁ δὲ κακῇ πίστει σπείρας ἢ φυτεύσας τὸν ἀλλότρ(ιον) ἀγρὸν ἀπόλλυ(σι) πάντα. καὶ ἀνά(γνωθι) βι. ιε′ τί. α′ κε. ϛ′ θέ. α′ οὗ ἡ ἀρχή Ὁ κακῇ πίστει σπείρας ἢ φυτεύσας.* (63) *Καὶ ὅτι ὁ μισθώ(σας) ὡρεῖα κινδυνεύει ἐπὶ τοῖς ἐν αὐτοῖς φορτίοις, εἰ μὴ ἄρα τυχηρόν τι ἢ διορυγὴ συνέβη.* (64) *Καὶ ὅτι ὁ μισθωσάμενος ἔργον δύναται κινῆσαι τὴν κατὰ τοῦ μισθώσαντος ἀγωγ(ὴν) καὶ λαβεῖν τὰ δαπανήματ(α) μετὰ τῶν ἐν τῷ κλίματ(ι) συχναζόντων τόκων.* (65) *Καὶ ὅτι ὁ ἔνοικος, ἐφ᾽ ὅσον δίδω(σι) τὸ μίσθωμα, οὐκ ἐκβάλλεται παρὰ τοῦ δεσπότ(ου), εἰ μὴ ἄρα ἢ εἰς ἰδίαν χρείαν ἀναγκαίαν δέεται τοῦ οἴκου ἢ ἐπισκευάσαι βούλ(ε)τ(αι) ἢ ἔνοικος κακῶς αὐτῷ κέχρηται. σὺ δὲ νόει τουτὶ τὸ κε. ἐπὶ ἀγρά(φου) μισθώ(σεως) οἰκήματ(ος), ᾧ ἐχρήσατ(ο) καὶ ὁ Μονομάχος ἐν τῷ τοῦ πραιτ(ω)ρ(ίου) βι. λέ(γει) δὲ καὶ ὁ Θαλ(έ)λ(αιος) τὸ αὐτὸ ἐν βι. δ′ τοῦ κώ(δικος), διατάξει ξε′ κε. δ′* (=3). *ζήτει καὶ κε. ιδ′* (=13,9) *τὸ τέλος οὗ ἡ ἀρχή Ἐὰν μετὰ τὸ πληρωθῆναι τὸν χρό(νον) τῆς μισθώ(σεως).* (66) *Καὶ περὶ ὡρείου καὶ τῆς ἐν αὐτῷ τοιχωρυ(χίας), πῶς ἐκδίδω(σιν) ὁ δεσπότ(ης) τοὺς δούλ(ους), οὐκ ἀναγκάζεται δὲ τὸ ἀζήμ(ιον) ποιῆσαι, εἰ μὴ συμπεφώνητ(αι).* (67) *Καὶ ὅτι τὰ εἰσαχθέντα εἰς τὸν ἀγρὸν βουλομένου τοῦ δεσπότ(ου) ὑπόκεινται τῷ μισθώμ(α)τ(ι), ἐπὶ οἴκου καὶ τὰ ἀγνοοῦντος τοῦ δεσπότ(ου) εἰσαχθέντα ὑπόκεινται.* (68) *Καὶ ὅτι ὁ μισθωτὸς οὐ κωλύεται μεταμισθοῦν.* (69) *Καὶ ὅτι ὁ μισθωσάμενος ἐπί τινα χρό(νον) καὶ μετὰ τὴν ἐκμέτρησιν μείνας δοκεῖ καὶ ἄλλον ἐνιαυτὸν ἐπιμισθοῦσθαι, ὁ δὲ ἐγγυητὴς αὐτοῦ ἅμα τῷ πληρωθῆναι τὸν χρόνον τῆς μισθώ(σεως) οὐκέτι κατέχεται, εἰ μὴ ἄνωθεν μισθώσεται. ζήτ(ει) καὶ κε. πθ′* (=88) *οὗ ἡ ἀρχή Πληρωθέντ(ος) τοῦ χρό(νου) τῆς μισθώσεως.* (70) *Καὶ ὅτι ἡ | ἀπὸ τοῦ οὐρανοῦ ἐπιγινομένη ἀφορία τῷ δεσπότ(ῃ) κινδυνεύεται, εἰ μὴ* **102r** *τὸ ἐναντ(ίον) συνεφωνήθ(η) ἢ τὸ ἔθος τοῦ κλίματ(ος) τοῦτ(ο) βούλ(ε)τ(αι). καὶ ὅτι χρὴ τὴν συμβᾶσαν ἀφορίαν ἀπολογισθῆ(ναι) πρὸ(ς) τὰς γενομένας ἤδη ἀφορίας.* (71) *Καὶ ὅτι τὸν ἀγρόν, ὃν ἠγόρα(σεν) ἔχοντα μισθωτὸν, οὐκ*

---

8 9 *ὁ δὲ — πάντα* verba desunt in Ed.

---

12 *ἢ δι᾽ ὀργὴν συνέβη* | 18 *ἐπισκευᾶσαι* | 26 *δεσπότου καὶ εἰσαχθ.*

ἀναγκάζεται [συγχωρῆσαι] ὁ ἀγοραστὴς κατέχεσθαι παρὰ τοῦ μισθωτ(οῦ), εἰ μὴ ἄρα ἐπὶ τοιούτῳ συμφώνῳ ἠγόρα(σεν) ἢ ἄλλως δείκνυται συναινέσας εἰς τὸ μεῖναι τὸν μισθωτόν. ζήτ(ει) καὶ κε. κε' θέ. α'. περὶ δὲ ἀνδρ(ὸς) ἐπὶ πενταετ(ίαν) μισθώσαντ(ος) τὸν ἀγρὸν καὶ πρὸ τῆς πενταετίας λυθ(έν)τ(ος) τοῦ γάμ(ου), τί δεῖ γενέσθαι, ζήτ(ει) βι. κη' τί. η' κε. κδ' (=25) θέ. α' οὗ ἡ ἀρχὴ Ἐὰν ἐπὶ πενταετ(ίας). (72) Καὶ τελευτ(ήσαντος) τοῦ μισθωσαμένου παραπέμπεται ἡ μίσθωσις εἰς τοὺς αὐτοῦ κληρονόμ(ους), εἴτε πρόσκαιρος ἦν εἴτε διηνεκής. ζήτ(ει) καὶ κε. πζ' (=86) οὗ ἡ ἀρχὴ Καὶ ἡ μίσθω(σις) καὶ ἀγράφως δύναται γενέσθαι. (74) Καὶ ὅτι ὁ μισθωσάμενος ἀγρὸν αὐτὸς κινδυνεύει εἰς τὴν τῶν λῃστῶν ἔφοδον. (75) Καὶ περὶ τοῦ ἐὰν πολλοί τινες μισθώσωντ(αι) εἴτε διῃρημένως εἴτε κοινῇ, πῶς ἐνέχονται. ζήτ(ει) καὶ κε. μζ' (=46) οὗ ἡ ἀρχὴ Ἐὰν πολλοῖς πωλήσω ἢ μισθώσω. (76) Καὶ περὶ τοῦ ὀφείλοντ(ος) ἀποθρέψαι στρατι(ώ)τ(ας) καὶ φεύγοντ(ος) τὴν ὄχλησι(ν) καὶ συμφωνήσαντος δοῦναί τινι νομίσματα, ἵνα ἀναδέξηται αὐτὸς τὴν τοιαύτην φροντίδα. (78) Καὶ ὅτι, ἐφ' ὅσον ὁ τῆς μισθώ(σεως) παρεκτείνεται χρόνος, οὐ δύναται ὁ δεσπότ(ης) αὐξῆσαι τὸν κανόνα ἢ ἐκβαλεῖν τὸν μισθωσάμενον. ζήτ(ει) καὶ κε. ϟς' (=95) οὗ ἡ ἀρχὴ Ἑκατέρῳ ἡ δ(ιά)τ(αξις) ἐπιτρέπει. τοῦ δὲ χρό(νου) παραδραμόντος δύναται τοῦτο ποιεῖν, εἰ μὴ ἄρα ἀνανεωθ(ῇ) ἡ μίσθω(σις) ἢ ῥητῶς ἢ σιωπηρῶς. (80) Καὶ ὅτι κατὰ τὸ ἔθος τῆς χώρας γίνεται ἡ μίσθωσις, εἰ μὴ ἄρα ἐναντίον τι δόξει. τὸ δὲ παρά τινων γεγονὸς παρὰ τὴν συνήθειαν τοῦ κλίματ(ος) μίσθωμα, τοῦτο ἄλλοις πρόκριμα οὐ ποιεῖ. (82) Καὶ ὅτι ἀνυπάρκτως μισθοῖ τις τὸ ἴδιον, τὴν δὲ δεσποτείαν ἐν τῷ νομίζειν εἶναι ἀλλότρ(ιον) οὐ μεταφέρει. (83) Καὶ οὐκ ἐκβάλλετ(αι) ὁ μισθωσάμενος, διότι ἕτερός τις ἦλθε ποιῶν αὔξη(σιν). (85) Καὶ ὅτι πολλάκις κατὰ πλάνην τις τὸ ἴδιον μισθοῦται. καὶ ἡ πε(ρὶ) τὴν δεσποτείαν πλάνη, τουτέστι ὁ μισθωσάμενος καὶ λέγων ἑαυτὸν εἶναι δεσπότ(ην), εἰ ἡττηθ(ῇ), ἡ μίσθω(σις) κρατ(εῖ). (86) Καὶ ὅτι ἡ μίσθω(σις) καὶ ἀγράφως δύναται γενέσθαι, παραπέμπεται δὲ καὶ κατὰ κληρονόμων, οὐχὶ δὲ κατὰ τῆς γυναικός. εἰ δὲ καὶ μετὰ τελευτὴν τοῦ ἀνδρ(ὸς) παρὰ τῆς γυναικὸς ἐμισθώθ(η), ἐξ αὐτῆς τὸ μίσθωμα ἀπαιτεῖται. (87) Καὶ ὅτι ὁ μισθωσάμενος πρᾶγμα καὶ λέγων ἑαυτὸν δεσπότ(ην) εἶναι ὀφείλ(ει) πρότ(ε)ρ(ον) ἀποκαταστῆσαι τὴν νομὴν καὶ οὕτως πε(ρὶ) δεσποτ(είας) δικάσασθαι. (88) Καὶ περὶ τῆς ἐκμετρή(σεως) τοῦ χρό(νου) τῆς μισθώ(σεως). (89) Καὶ περὶ δεσπότ(ου) τοῦ ἀγροῦ συμφωνήσαντος αὐτὸν διδόναι, ἃ προέχρησε τοῖς γεωργοῖς καὶ ἐδαπάνησε, τῷ μισθωσαμένῳ τὸν

9 cap. 73 Editionis desideratur in Tipuc. | 15 cap. 77 item | 19 cap. 79 item | 22 Cap. 81 item | 25 cap. 84 item

1 ἀναγκάζομαι | 3-6 ζήτει — πενταετίας in margine sine signo | 12 ii, ἵνα

ἀγρὸν καὶ ἐπερωτηθ(έν)τ(ος) ἢ ψιλῶς εἰπόντος. (90) Καὶ ὅτι ἐν τῇ μισθώ(σει) καὶ ἐκλή(ψει) δόλ(ον) καὶ παραφυλακήν, οὐ μὴν καὶ τὰ τυχηρ(ά), οἷς οὐ δυνατὸν ἀντιστῆναι, καταφέροντ(αι). (91) Καὶ περὶ μισθωτ(οῦ) καταλύσαντος, ὃν ἐμισθώσατ(ο), οἶκον.(92) Καὶ ὅτι στρατ(ιώ)τ(ης) οὔτε μισθωτὸς ἢ διοικητὴς οὔτε ἐγγυητὴς ἢ μανδάτ(ωρ) μισθωτ(οῦ) δύναται γενέσθαι. (93) Καὶ ὅτι ὁ μισθωσάμενος οἶκον ἢ ἐργαστήρ(ιον) ἢ ἕτερον τόπ(ον) καὶ ἀποστὰς τῆς μισθώ(σεως) ἐπιφυεῖ τοῖς μετὰ ταῦτα μισθωσαμένοις, εἰ μὴ ἄρα πρὸς τὸν δεσπότ(ην) σύμφω(νον) κέκτηται ἢ πρὸ(ς) αὐτοὺς τοὺς μισθωσαμένους. καὶ παρὰ ταῦτα ἐναγαγὼν ἰδιώτ(η)ς μὲν ὢν μετὰ σφοδροτ(ά)τ(ας) πληγὰς ἐξορίζεται, στρατευόμενος δὲ δέκα χρυ(σίου) λιτρῶν πρόστιμ(ον) δίδω(σι). (94) Καὶ περὶ τῶν μισθωσαμένων πρᾶγμα καὶ μετὰ τὴν συμπλήρω(σιν) μὴ ἀποκαθιστώντων πρὸ καταδίκης, ἀλλὰ ἀναμένοντος ἄχρι αὐτοτελοῦς ἀποφά(σεως), ἵνα δίδω(σι) τό τε μίσθωθ(ὲν) καὶ ἔξωθ(εν) τὴν αὐτοῦ διατίμη(σιν). ζήτ(ει) καὶ τοῦ μη' (=47) κε. <θ>έ. α' οὗ ἡ ἀρχή Ὁ μισθωσάμενος κινητὸν | ἢ αὐτοκίνητον, (95) Καὶ ὅτι ἑκατ(έ)ρ(ῳ), καὶ τῷ μισθ(ώσαν)τ(ι) **102v**
καὶ τῷ μισθωσαμένῳ, ἔξεστιν ἐντὸς ἐνιαυτοῦ λύειν τὴν μίσθ(ωσιν) καὶ μηδὲ πρόστιμον διδόναι, εἰ μὴ ἐν ἀρχῇ τοῦ συναλλάγματος ἀπετάξαντ(ο) ἰδικῶς τῷ τοιούτῳ συμφώνῳ ἢ ἀγράφως ἀπεῖπον. καὶ ση(μείωσον), ὅτι προσέθετ(ο) τό · καὶ ἀγράφως ἀπεῖπον. (96) Καὶ ὅτι ἡ δ(ιά)τ(αξις) βούλεται τὸν στρατ(ιώ)τ(ην) μισθωσάμενον ἀλλότρ(ιον) ἐκπίπτειν τῆς στρατ(είας) καὶ μηκέτι αὐτὴν ἀναλαμβάνειν, μηδὲ ἐκ θείας φιλοτιμίας, ἀναδιδόντα καὶ εἴ τι ἐκ τοῦ δημο(σίου) λόγῳ ἀννόνων ἔλα(βε), τῶν μισθωσάντων μηδεμίαν ἀγωγ(ὴν) ἐχόντων κατὰ τῶν στρατι(ω)τ(ῶν). περὶ τοίνυν μισθώ(σεως) δημο(σί)ων πραγμάτων καὶ ποινῆς αὐτῶν καὶ λοιπῆς παρατηρή(σεως) ζήτ(ει) τί. β' τοῦ νς' [βι.] περὶ δὲ ἀερικῶν ἐνοίκων ζήτ(ει) βι. ξ' τί. ιθ'. περὶ δὲ τοῦ ὑποκειμένου τῇ πε(ρὶ) κλοπ(ῆς) ἀγωγ(ῇ) ἐκ τοῦ μὴ ἀποκαθιστᾶν μετὰ τὴν συμπλήρω(σιν) τῆς μισθώ(σεως) τὸ πρᾶγμα, ζήτ(ει) περὶ τούτ(ου) τὸ τέλος τοῦ γ' τί. τοῦ ν' βι. κε. νη' οὗ ἡ ἀρχή Κατὰ μίμησιν τοῦ βιαίως ἀφελομένου πρᾶγμα ἀλλότρ(ιον). καὶ βι. ξ' τί. ιβ' κε. ξη' (=67) θέ. ε' οὗ ἡ ἀρχή Ὁ μισθωσάμενος λαμβάνων καρποὺς μετὰ τὸ πληρωθῆναι τὸν χρό(νον) τῆς μισθώ(σεως). περὶ δὲ διδασκάλων καὶ ἰατρῶν ζήτ(ει) βι. ξ' τί. γ'. περὶ δὲ δανειστοῦ δυναμένου μισθοῦν τὸ ἐνέχυρον ζήτ(ει) βι. κε' τί. α' κε. κβ' θέ. β' οὗ ἡ ἀρχή Ὁ χρεώστης κατὰ παράκλησιν ἢ μίσθωσι(ν). καὶ τί. β' τοῦ αὐτοῦ κε' βι. κε. κγ' οὗ ἡ ἀρχή Καλῶς μισθοῖ τὸ ἐνέχυρον ὁ δανειστής. περὶ δὲ μισθωτ(οῦ) μὴ δεχομένου τὸν ἀγοραστὴν τοῦ ἀγροῦ ἢ τὸν παλαιὸν δεσπότ(ην) ζήτ(ει) τὸν ιζ' τί. τοῦ ξ' βι. περὶ τοίνυν μισθωτ(οῦ) μετὰ τὴν ἐκμέτρησιν τῆς μισθ(ώσεως) λαβόντος καρπούς, ποίους κερδαίνει καὶ ποίους δίδω(σι), ζήτ(ει) βι. κγ' τί. α' κε. ε' (=4) οὗ ἡ ἀρχή Ὁ μισθω-

---

5 ουδὲ ἐγγυητὴς | 7 μισθώσεως εἰ ἐπιφυεῖ | 15 κνητὸν

τ(ός) μετὰ τὸν χρό(νον) λαβὼν καρπούς. περὶ δὲ τοῦ μισθωσαμένου φυλακ(ὴν) πράγματος, πῶς οὐκ ἐνέχεται ἐπὶ τῇ παρ᾽ ἑτέρου γενομένῃ βλάβῃ, ζήτ(ει) βι. ιγ′ τί. α′ τὸ τέλος. ζήτ(ει) καὶ βι. β′ τί. β′ κε. δ′ (=5) οὗ ἡ ἀρχή Ἐν τῇ τοῦ ἔργου μισθώ(σει). καὶ κε. σιη′ (=211) οὗ ἡ ἀρχή Ἐν τ(ῷ) συναλλάγμα(τι), οὐ τοῖς ῥήμα(σι). καὶ τί. γ′ κε. λη′ οὗ ἡ ἀρχή Ἐν πᾶ(σ)ιν ἀντ(ὶ) γενομένου νοεῖται. καὶ βι. γ′ κε. ια′ θέ. α′ οὗ ἡ ἀρχή Ἀλλ᾽ οὐδὲ ἐκλήπτ(ω)ρ(α) ἢ ἀπαιτητὴν δημο(σίων) συντελειῶν. καὶ κε. ιγ′, ιδ′, ιε′. καὶ βι. ε′ τί. β′ κε. β′ (=3) οὗ ἡ ἀρχή Τὰς μισθώσεις δὲ παρὰ τῶν αὐτῶν εὐαγῶν οἴκων γίνεσθαι συγχωροῦμεν. καὶ βι. ζ′ τί. ε′ κε. ρβ′ (=95) οὗ ἡ ἀρχή Εἴ τις κατὰ μισθωτ(οῦ) τῶν βασιλικῶν πραγμάτων. καὶ κε. ργ′ (=96) καὶ ρδ′ (=97) καὶ κε. ρζ′ (=100) οὗ ἡ ἀρχή Ἐὰν μισθωτ(ὸς) δεσποτικός. καὶ βι. η′ τί. α′ κε. ις′ (=15 initio) περὶ τὰ μέσα οὗ ἡ ἀρχή Ἡ δ(ιά)τ(αξίς) φη(σι) μηδέποτε τὸν αὐτὸν καὶ συνηγορεῖν. καὶ βι. κδ′ τί. α′ κε. λζ′ (=38) οὗ ἡ ἀρχή Τὰ δοθέντα χρήματα, εἰ καὶ ἡ αἰτία. καὶ κε. λη′ (=39). καὶ τί. γ′ κε. ζ′ οὗ ἡ ἀρχή Ἐὰν ὁ ἀνὴρ ἔχων δανειστὰς ἐμίσθω(σε) τὸν ἴδιον ἀγρόν. καὶ κε. ιε′ οὗ ἡ ἀρχή Ὁ δανείσας μισθωτοῖς. καὶ τί. η′ κε. β′ οὗ ἡ ἀρχή Ἐὰν κναφεὺς ἀπολέσας μου ἱμάτ(ιον). καὶ βι. κε′ τί. β′ κε. ξζ′ οὗ ἡ ἀρχή Ἐὰν τὰ ἀνδράποδα μὴ ἰδικῶς ὑπετέθησαν. καὶ τί. ε′ κε. θ′ (=7) οὗ ἡ ἀρχή Μισθώσας σοι πρᾶγμα ἀπὸ καλανδῶν ἰουλίων. καὶ τί. η′ κε. ιδ′ οὗ ἡ ἀρχή Ἐὰν συμφωνήσῃς μετὰ τοῦ μισθωτοῦ. καὶ βι. μβ′ τί. α′ κε. κζ′ οὗ ἡ ἀρχή Καὶ ὁ τοκετ(ὸς) τῶν δούλων. καὶ κε. κη′ (=29) θέ. α′ οὗ ἡ ἀρχή Τὰ παρὰ τῶν μισθωτῶν διδόμενα. καὶ βι. μγ′ τί. α′ κε. πθ′ (=76) οὗ ἡ ἀρχή Ἐὰν τὸν ἐπὶ πενταετ(ίαν) μισθωσάμενον ἀγρὸν ἐξ ἐμοῦ. ζήτ(ει) καὶ τοῦ κβ′ βι. τί. α′ κε. προπαρατέλευτον (=85) οὗ ἡ ἀρχή Ἐάν τις [ἐν]ταλθεὶς παρ᾽ ἐμοῦ συγγράψασθαι. καὶ | βι. μ<δ′> τί. <γ′> κε. λε′ (=36) θέ. ς′ οὗ ἡ ἀρχή Ἐὰν **103r** γυνὴ πρὸς ὑπηρεσίαν ἔχουσά τινα. καὶ βι. μζ′ τί. α′ κε. ς′ (=5) οὗ ἡ ἀρχή Ἐάν τις δωρούμενός μοι κελεύσῃ τεμεῖν ἐκ τοῦ ἀγροῦ αὐτοῦ λίθ(ον). καὶ βι. ν′ τί. α′ κε. κς′ οὗ ἡ ἀρχή Εἰ τῷ ἀγρῷ σου ἀργύρῳ. καὶ θέ. α′ καὶ θέ. β′. περὶ τοίνυν μετοικη(σάντων) ἐνοίκων ζήτ(ει) βί. ξ′ τί. ιθ′ καὶ τί. β′ κε. κς′ (=27) οὗ ἡ ἀρχή Ὃ νέμομαι ψυχῇ, κἂν μισθώσωμαι. καὶ κε. κη′ θέ. ε′ οὗ ἡ ἀρχή Ὃ διὰ μισθωτ(οῦ) νέμομαι, ὁ κληρονόμος μου εἰ μὴ κατάσχῃ. καὶ τί. γ′ κε. ξ′ οὗ ἡ ἀρχή Ἐὰν ἀπόντος τινὸς παρασαλευθῇ νομή. καὶ βι. νγ′ τί. α′ ὅλον. καὶ τί. θ′ κε. μς′ θέ. α′ οὗ ἡ ἀρχή Ἐὰν οἱ πλέοντες ἀπόλλωνται

4-5 ἐν τοῖς συναλλάγμασι Ed. | 5 cap. 38 tit. 3 libri 2 deest in fragm. Ed. et Suppl. | 10 ἐάν τις κατὰ... Ed. | 15 ἀνὴρ ἔχων δαν. Ed. | 17 μοι τὸ ἱμάτιον Ed. | 19 ἰουλίου Ed. | 32 παρεισελευθῇ Ed. | 33 οἱ ἐμπλέοντες (sine ἐὰν) Ed.

19 καλανδῶν καὶ ἰουλίων | 23-25 ζήτ(ει) — συγγράψασθαι in margine sine signo | 29 περί — τί. ιθ′ in marg. sine signo | 34 πλέωντες

καὶ ἀποθάνωσι. καὶ βι. νβ' τί. α' κε. μζ' οὗ ἡ ἀρχή Ἐν οἷς συναλλάγμα(σι) καὶ χωρὶς ῥημάτων ἡ συναίνε(σις) ἀρκεῖ. καὶ βι. νς' τί. β' κε. μβ' θέ. α' οὗ ἡ ἀρχή Ἐὰν ὁ παρὰ τοῦ δημο(σίου) μισθωσάμενος πλείονος μεταμισθώσῃ. καὶ τί. δ' κε. δ' οὗ ἡ ἀρχή Τὰ τῷ δημο(σίῳ) διαφέροντα τέλη μισθούσθω. καὶ τί. ιε' κε. γ' οὗ ἡ ἀρχή Ὁ λαβὼν κτῆμα ἀπὸ τῶν ἰδιωτικῶν τοῦ βασιλέως. καὶ κε. η' οὗ ἡ ἀρχή Τὰ δημό(σια) κτήματα διηνεκῶς μισθούσθωσαν. καὶ κε. θ' καὶ ι' καὶ ὅλον τὸν τίτλον. καὶ βι. νη' τί. η' κε. ια' θέ. δ' οὗ ἡ ἀρχή Ἐὰν ὁ μισθ(ω)τ(ός) μου ἢ ὁ ξένος μου ἢ ἄλλος τις. καὶ βι. νθ' τί. α' κε. ιδ' θέ. α' οὗ ἡ ἀρχή Ὁ μισθωτὸς καὶ καὶ ὁ ἔνοικος. καὶ βι. ξ' τί. ιβ' κε. ιβ' οὗ ἡ ἀρχή Ὁ κναφεὺς κλαπέντ(ος) τοῦ δοθέντ(ος) αὐτῷ. καὶ κε. ιγ'. ἀνά(γνωθι) καὶ τοῦ παρόντος κ' βι. τί. β' μεθ' ὧν ἔχει παραπομπῶν. περὶ τοίνυν μισθώ(σεως) κηπουρῶν ζήτ(ει) βι. νε' τί. ιδ' ὅλον. περὶ τοίνυν μισθώ(σε)ων καὶ ἐκμισθώ(σε)ων καὶ μισθούντων καὶ μισθουμένων καὶ ὅτι ἐπὶ τῶν πολιτικῶν οἰκή(σε)ων σιωπηρῶς ὑπόκεινται τῷ μισθωτῷ τὰ εἰσαχθέντα, ζήτ(ει) βι. ια' τί. β' κε. δ' καὶ βι. ιγ' τί. γ' κε. α'. καὶ βι. ιε' τί. γ'. καὶ βι. κ' τί. α' κε. α' ἄχρι τοῦ ϛγ'. καὶ βι. κε' τί. β' κε. λβ' καὶ ξα'. καὶ βι. ζ' τί. ε' κε. ξς'. καὶ βι. νε' τί. ο' κε. θ'. ἀνά(γνωθι) καὶ βι. νς' τί. α' κε. η' θέ. β' καὶ γ'. καὶ βι. νη' τί. ιη'. καὶ βι. ξ' τί. ιθ' καὶ τοῦ λδ' βι. τί. α' κε. ιγ' καὶ τοῦ ν' βι. τί. γ' τὸ τέλος. καὶ βι. κε' τί. α' κε. κβ' θέ. γ'. καὶ τί. β' κε. κγ' καὶ τοῦ ξ' βι. τί. ιζ'. καὶ βι. κγ' τί. α' κε. ε' καὶ βι. ξ' τί. γ' καὶ τί. ιβ' κε. ιε'.

ΤΙ(ΤΛΟΣ) β'.

Περὶ ἐμφυτ(εύσεως) δικαίου.

(1) *Καὶ ὅτι ἡ ἐμφύτ(ευσις) ἰδικὰ νόμιμα ἔχει. καὶ εἰ μὲν βλάβη γένηται κατὰ παντὸς τοῦ πράγμ(α)τ(ος), ὁ δεσπότ(ης) κινδυνεύει, εἰ δὲ μερική, τῷ ἐμφυτευσαμένῳ [κινδυνεύεται] ὡς ἐπὶ μισθωσαμένῳ. ταῦτα δὲ κρατοῦσιν, εἰ μὴ ἄρα σύμφω(να) ἰδικὰ ἐγένοντ(ο) τῆς ἐπὶ τῷ πράγματ(ι) βλάβης. περὶ τούτ(ου) ἀνά(γνωθι) τὸ κ' βιβλίον τῶν Βασιλικῶν καὶ τὰς ἐν ἐκείνῳ παραδοθείσας σοι παραπομπ(άς).* (2) *Καὶ ὅτι περὶ τὰ δύο σφήλας ὁ ἐμφυτευθ(εὶς)*

---

2 cap. 42 tit. 2 libri 56 deest in fragmentis Editionis et Suppl. | 4 cap. 4 tit. 4 ejusdem libri item | 5 cap. 3 et 8 tit. 15 ejusdem libri item | 7 cap. 11 tit. 8 libri 58 item (lib. 58, tit. 8, cap. 11 Supplementi non congruit) | 8 cap. 14 tit. 1 libri 59 item

---

29 *σφάλας*

ἤ(γουν) μὴ καταβαλὼν τό μίσθωμα μήτε μὴν τῶν δημο(σί)ων ἀποχὰς δοὺς τῷ δεσπότ(ῃ), ἐκβάλλεσθαι αὐτὸν μηδένα λόγον ἔχοντα περὶ βελτιώσεως, καὶ μὴ δυνάμενον λέγειν, ὅτι οὐκ ὠχλήθην περὶ τοῦ ἐμφυτεύματος. καὶ περὶ τοῦ ἡνίκα προσφέρει ὁ ἐμφυτ(ευ)τ(ὴς) τὸν κανόνα καὶ ὁ δεσπότ(ης) μὴ βούλεται λαβεῖν, τί δεῖ γενέσθαι. (3) Καὶ περὶ ἐμφυτευτοῦ ἐμπονήματα ποιήσαντ(ος). καὶ ὅτι, εἰ μὲν συμπεφώνηταί τι περὶ τούτων, κρατεῖν τὰ συμπεφωνημ(έ)ν(α) | πε(ρὶ) τῆς ἐκποιήσεως αὐτῶν, εἰ δὲ μηδὲν συνεφωνήθ(η), **103**v μὴ ἐξεῖναι αὐτὸν χωρὶς τῆς γνώμης τοῦ δεσπότ(ου) τοῦ ἀγροῦ ἐκποιεῖν ταῦτα ἢ τὸ δίκαιον τῆς ἐμφυτεύσεως μεταφέρειν, ἀλλὰ διὰ μαρτυρίαν πέμψαι πρὸ(ς) τὸν δεσπότ(ην) περὶ τοῦ πόσον αὐτῷ δίδοται τίμημα μετὰ ἀληθ(είας). καὶ εἰ παραιτήσηται, μετὰ δύο μηνῶν παραδρομὴν καὶ παρὰ γνώμην αὐτοῦ πιπράσκειν, ᾧ ἐὰν βουληθ(ῇ) τὰ ἐμπονήματ(α), τῷ μέντοι μὴ κωλυθ(έν)τ(ι) ἐν τῷ ἐμφυτευτικῷ χαρτ(ίῳ) ἀγοράσαι τὰ ἐμπονήματα. καὶ τί ὀφείλ(ει) λαμβά(νειν) ὑπὲρ ὑπογρα(φῆς) καὶ συναινέ(σεως) ὁ δεσπότ(ης). λέ(γει) γάρ, ἵνα λαμβάν(ῃ) τὴν πεντηκοστὴν μοίραν τοῦ τιμήματος. καὶ κατὰ ποῖον τρόπον ἐκπίπτει ὁ ἐμφυτ(ευ)τ(ὴς) τῆς ἐμφυτεύσεως. (4) Ἀνά(γνωθι) καὶ περὶ τοῦ ἐὰν ἐπὶ τρισὶν ἐνιαυτοῖς ὁ ἐμφυτ(ευ)τ(ὴς) προσφέρῃ τὸ ἐμφύτευμ(α), ὁ δὲ δεσπότ(ης) ἀναβάλλεται δέξασθαι αὐτὸ ἢ ἐν τῇ βασιλίδ(ι) πόλ(ει) διάγων ἢ ἐν ἐπαρχίαις, τί δεῖ ποιεῖν τὸν ἐμφυτ(ευ)τ(ήν). ἀνά(γνωθι), ὡρ(αῖον) γάρ ἐστιν ἀνάγνωσμ(α). (5) Καὶ ὅτι, εἰ ἐπὶ διετίαν μὴ καταθεῖεν τὸν ἐμφυτευτικὸν κανόν(α) ἐπὶ τῶν ἐκκλησιαστικῶν, ἐπὶ δὲ τῶν ἰδιωτικῶν ἐπὶ τριετίαν, ἵνα ἐξωθ(ῶν)τ(αι) τῆς ἐμφυτεύσεως, μηδεμίαν ἀγωγ(ὴν) ἔχοντ(ες) περὶ τῶν ἐμπονημ(ά)των, ἀλλά, καὶ εἰ χεῖρον πεποίηκε τὸ πρᾶγμ(α), οἴκοθεν αὐτὸν ἀναγκάζεσθαι τὴν ἐπιμέλειαν καὶ ἀποκατάστασιν ποιεῖν τῆς ὄψεως. περὶ τοίνυν ἐμφυτ(εύσεως) ζήτ(ει) τοῦ γ' βι. τί. α' καὶ τοῦ ε' βι. τί. β' κε. β' (=3) οὗ ἡ ἀρχή Τὰς μισθώσεις δὲ παρὰ τῶν αὐτῶν εὐαγῶν οἴκων γίνεσθαι συγχωροῦμεν. καὶ κε. γ' (=5) οὗ ἡ ἀρχή Τὰς δὲ ἐμφυτεύσεις καὶ ὑποθή(κας) καὶ τὰς ὑπὲρ πενταετίαν μισθώσεις. ζήτ(ει) καὶ τὰς παραδοθ(εί)σ(ας) σοι ἐν τῷ αὐτῷ β' τί. τοῦ ει βι. παραπομπάς. καὶ τοῦ νδ' βι. τί. κθ'. καὶ τοῦ νε' βι. τί. η' καὶ τοῦ ιε' β' τί. γ' κε. α'. καὶ βι. μδ' τί. α' κε. [ξζ' θέ. ε'] οὗ ἡ ἀρχή Τὸν ἐμφυτευτικὸν ἀγρὸν καλῶς ληγατεύσω.

32 καλῶς τῷ δεσπότῃ ληγατεύω Ed.

18 δέξασθαι αὐτὸν | 20-21 καὶ ὅτι εἰ μὴ ἐπὶ | 28 ὑπὲρ πενταετία

ΤΙ(ΤΛΟΣ) γ'.

Περὶ πράγματ(ος) ἀντικαταλλαγῆς.

(1) Καὶ κατὰ τί διαφέρ(ει) τῆς πρά(σεως). καὶ ἐὰν ἐκνικηθ(ῇ) τὸ δοθὲν εἰς ἀνταλλαγήν. καὶ πότε οὐ δοκεῖ ἀνταλλαγὴ γενέσθαι. καὶ τί δύναται ἐνάγειν ὁ παραδιδοὺς τῷ μὴ παραδόντι. (2) Καὶ ποταπ(ὸς) ἐπὶ τῆς ἀνταλλαγῆς ὀφείλ(ει) παραδίδοσθαι ὁ δοῦλος. (3) Καὶ πότε ἀνταλλαγή καὶ πότε πρᾶ(σις) θεματίζεται. (5) Καὶ ὅτι, εἰ μὴ ἐπερώτ(ησις) ἢ παράδο(σις) παρακολουθήσῃ ἐπὶ ταύτ(ῃ), οὐκ ἔρρωτ(αι). (6) Καὶ ὅτι, ἐὰν δεδωκώς τινι πρᾶγμα λόγῳ ἀνταλλαγῆς κἀκεῖνος τὸ συμφωνηθ(ὲν) πρᾶγμα μὴ παρέσχε μοι, ἀλλ' ἐπώλ(ησε) τὸ παρ' ἐμοῦ δοθ(ὲν) αὐτῷ πρᾶγμα, κατὰ τοῦ ἀγοραστοῦ οὐδεμίαν ἔχω ἀγωγ(ήν), ἀνά(γνωθι). (7) Καὶ περὶ τοῦ λαβόντος ἐπὶ αἰτ(ίᾳ) πρᾶγμα. (9) Καὶ ὅτι ἐπὶ ἀργυρίοις ὁρίζεται ἡ πρᾶσις. καὶ περὶ τοῦ δόντ(ος) σῖτον, ἵνα λά(βῃ) ἔλαιον. (10) Καὶ περὶ τοῦ δεδωκ(ό)τ(ος) τινὶ πράγματ(α) ἐφ' ᾧ λαμβάνειν παρ' αὐτοῦ ῥητόν τι καθ' ἕκαστον μῆ(να) ἢ ἐνιαυτόν. ζήτ(ει) καὶ τοῦ δ' τί. τούτου τοῦ βι. κε. ε' οὗ ἡ ἀρχή Ἔνθα μὲν δίδωμι χρή-μ(α)τ(α) διὰ τὸ λαβεῖν πρᾶγμα. περὶ δὲ τοῦ, ὅτι, ἡνίκ(α) ἐκνικᾶται ἡ ἀνταλλαγή, δεῖ παραγγέλλειν τὸν λαβόντα καὶ ἵνα λά(βῃ) τὸ διαφέρον, ζήτ(ει) βι. ιθ' τί. ιθ' τὸ τέλος.

ΤΙ(ΤΛΟΣ) δ'.

[Περὶ τῶν προγεγραμμένων συμφώνων ἀγωγῆς].

(1-2) Περὶ ἀγωγῶν κινουμένων μεταξὺ τῶν συναλλασσόντων, ἡνίκα τις ἑτέρῳ δώσει πρᾶγμα ἢ ποιή(σει) τι ἐπὶ ὑποσχέσει τοῦ ἕτερον ἀντ(ὶ) τοῦ, οὗπερ ἐποίησε, λαβεῖν καὶ ἐπιλείπει ἀγωγ(ή). καὶ ὅτι ἐν ἀπορίᾳ ἰδικῆς | ἀγωγῆς ἁρμό(ζει), ὡς, ὅταν δοθ(ῇ) πρᾶγμα ἐπὶ τὸ διατιμηθ(ῆναι) **104r** καὶ κι<νεῖται> τῶν συνήθων ἀγωγῶν ἐπιλειπουσῶν. καὶ πότε λέγεται πρᾶσις καὶ πότε ἀνταλλαγή. (5) Καὶ περὶ τοῦ, εἰ δώσω σοι πρᾶγμα ἐπὶ τῷ δοῦναί μοι Πέτρον, πῶς ἐμοὶ ὁ Πέτρος ἐγκινδυνεύεται. καὶ ἁπλῶς εἰπεῖν, ποῖαι ἀγωγαὶ ἁρμό(ζουσιν), ἡνίκα σοι δώ(σω), ἵνα μοι δώσῃς ἢ ποιήσῃς ἢ γράψῃς ἢ [παράσχω] δοῦλον, ἵνα ἐλευθερώσῃς δοῦλόν σου καὶ μετὰ τὸ

---

6 cap. 2 Editionis deest in Tipuc. | 12 cap. 8 item | 27 cap. 3 et 4 item

---

27-28 τὸ δοῦναι | 29 δώσεις

ἐλευθερωθῆναι ἐκνικηθ(ῇ), ὃν δέδωκά σοι δοῦλον. ἤ, ἵνα κτίσω ἐν τῷ σῷ ἐδάφει συμφωνήσας ἢ σὺ ἐν τῷ ἐμῷ. καὶ ὅτι δυνατὸν τὴν φύσιν τῆς ἐντολῆς παρεξιέναι ἀπὸ συμφών(ου), ἵνα τυχὸν ὁ ἐνταλθ(εὶς) χρεωστῇ παραφυλακὴν ἢ μὴ δαπανήσῃ πλέον τῶν ι′ νομισμάτων, ἐπὶ γὰρ τοῖς κατὰ τὸ πλέον δαπανωμένοις ἀγωγ(ὴν) οὐκ ἔχει. καὶ ἔνθα ἠλευθέρωσα ἐπὶ τῷ ἐλευθερῶ(σαί) σε καὶ οὐκ ἠλευθέρωσας. (6) *Καὶ περὶ τοῦ ἐὰν πωλή(σω) σοι οἶκον, ἐφ' ᾧ ἕτερόν μου ἀνανεῶσαι, οὔκ ἐστι πρᾶσις, ἀλλ' ἡ περὶ τῶν προγεγραμμένων συμφώνων ἀγωγ(ή).* (7) *Ὁμοίως καί, ἐὰν δώσω σοι νομίσματα, ἵνα ἐλευθερώσῃς δοῦλ(ον).* (8) *Καὶ περὶ τοῦ ἐὰν δώσω σοι δοῦλόν μου ὡς κλέπτην εἰς ἐμβάσανον ζήτ(ησιν) καὶ εὑρεθ(ῇ) ἀναίτ(ιος), εἰ μὴ θέλω λαβεῖν τὸν δοῦλ(ον), ταύτην τὴν ἀγωγ(ὴν) κινῶ.* (9) *Καὶ περὶ τοῦ ἐὰν ἀποχ(ήν) σοι ποιή(σω) ἐπὶ τῷ μετατεθῆ(ναί) μοι χρεώστην σου ἀντὶ σοῦ.* (10) *Καὶ περὶ τοῦ ἐὰν ληγατεύσω χρῆ(σιν) μέρ(ους) τῆς οὐσίας μου καὶ λαβὼν ὁ ληγατ(ά)ρ(ιος) τὴν αὐτῆς διατίμη(σιν) μὴ ἀσφαλίσητ(αι).* (12) *Καὶ περὶ τοῦ ἐὰν πωλή(σω) τῇ γαμετῇ μου ἀγρὸν συμφωνή(σας) λυομένου τοῦ γάμου ἐξεῖναί μοι τοῖς αὐτοῖς τιμήμα(σιν) ἀναλαβεῖν αὐτόν, ἔχω ἐπὶ πᾶσι τούτοις τὴν τοιαύτην ἀγωγ(ήν). τὸ αὐτὸ καὶ περὶ τῶν ἄλλων προσώπων.* (13) *Κινεῖται ἡ περὶ προσυμπεφωνημένων ἀγωγ(ὴ) καὶ ἐὰν πρᾶγμα διατετιμημένον δώ(σω) σοι πωλῆ(σαι), ἐφ' ᾧ σε σχεῖν τὸ περισσὸν καὶ πωλή(σῃς) πλείονος. καὶ εἰ δώσω σοι δεσποτ(είαν) ἐδάφους, ἐφ' ᾧ κτίσαι καὶ δοῦναί μοι μέρος τοῦ οἴκου καὶ εἰ μὴ μετήνεγκα τὴν δεσποτ(είαν) τοῦ ἐδάφους, κοινωνία ἐστί. καὶ εἰ παῖδα θρεπτέον ἢ θρέμματα βοσκητέα δέδωκ(α) πρὸς καιρόν, ἐφ' ᾧ ὕστερον πραθῆναι καὶ μερίσασθαι ἡμᾶς τὸ τίμημα.* (14) *Καὶ περὶ τοῦ ἐὰν διὰ τὸ σῶσαι τὰ φορτ(ία) σου ῥίψῃς τὰ ἱμάτια εἰς τὴν θάλασσαν εἴτε χωρὶς αἰτίας. καὶ περὶ τοῦ ἐὰν ἀποδώσω δοῦλόν σου καὶ ἀπὸ ψύχους ἀποθάν(ῃ), ποία ἀγωγὴ ἁρμό(ζει) ἐπὶ τοῖς ἐσθήμα(σι) καὶ ποία ἐπὶ τῷ δούλ(ῳ) σῳζομένης καὶ τῆς ἐγκληματικῆς κ(α)τηγορίας. καὶ περὶ τοῦ ἐὰν ἀλλότρ(ιον) σκεῦος ῥίψω εἰς τὸν βυθὸν οὐκ ἐπὶ τῷ κερδᾶναι, ἀλλ' ἐπὶ τῷ ζημιῶσαι τὸν δεσπότ(ην), ἐνέχομαι τῷ ἀκουιλ(ίῳ). καὶ περὶ τοῦ ἐὰν τὰ πεσόντα εἰς τὸν ἀγρόν μου ἀκρόδρυά σου βοσκή(σω), πῶς ἐνέχομαι τῇ ἰμφακτούμ.* (15) *Καὶ περὶ τοῦ ἐὰν παράσχῃς μοί τι ὑπὲρ τοῦ μηνῦσαι τὸν φυγάδα σου, οὐκ ἀναλαμβάν(εις), εἰ μὴ συνέδοξε δοθῆναι. τότε γὰρ ἡ παροῦσα ἀγωγὴ χώραν ἔχει καὶ ἡ περὶ δόλ(ου), εἰ παρηκολούθ(η)σ(ε) δόλος.* (16) *Καὶ εἰ ἐπέτρεψάς μοι λαβεῖν ἐκ τοῦ ἀγροῦ σου λευκόγειον καὶ ἀναπληρῶ(σαι) τὸν τόπ(ον), καὶ ἐὰν ἐπέτρεψάς μοι σπεῖραι ἐν τῷ ἀγρῷ*

14 cap. 11 Editionis deest in Tipuc.

2 *συμφωνήσω* | 4 *ι′ ii* | 7 *πράσις* | 8 *σοι ii* | 21 *μέρους* | 22 *βοσκητέον*

σου καὶ λαβεῖν τὸν καρπὸν κωλύων με λαβεῖν, χώρα τῇ περὶ δόλ(ου). (17) Καὶ περὶ τοῦ ἐὰν παράσχω σοι οἴκη(σιν). καὶ περὶ τοῦ ἐὰν παράσχω σοι διατετιμημένον πρᾶγμα, ἐφ' ᾧ ἢ αὐτὸ ἀγαγεῖν μοι ἢ τὸ τίμημα, καὶ ἀπόλητ(αι), πρὶν ἢ πραθ(ῇ). καὶ περὶ τοῦ ἐὰν παράσχω σοι διατιμήσασθαι καὶ λέγῃς ἀπολέσθαι, ποίας ἀγωγ(ὰς) ἔχω. καὶ περὶ τοῦ ἐὰν ἐπί τινας ἡμέρ(ας) ἀντικιχρᾶν ἀλλήλοις βόας συμφωνήσωμεν καὶ οἱ σοὶ ἀποθάνωσι παρ' ἐμοί, ἡ τῶν προσυμπεφωνημένων ἀγωγ(ὴ) ἔχει χώραν. καὶ περὶ τοῦ ἐὰν σοῦ πιπράσκοντός μοι πρᾶγμα παρακαλέσω σε ἐᾶσαί μοι αὐτό, | ἐφ' ᾧ 104v δεῖξαι τοῖς ἐμπείροις, καὶ ἀπόλ(η)τ(αι) ἐμπρησμῷ, οὐ κινδυνεύω. φυλακὴν γὰρ χρεωστῶ. καὶ περὶ τοῦ ἐὰν ὁ λαβὼν ἐπὶ συνθήκ(ῃ) ἀρραβῶνος δακτυλίους μὴ δίδω(σι) τοὺς ἡττηθ(έν)τ(ας) τῷ νικήσαντι, πῶς κινεῖται κατ' αὐτοῦ ἡ πραεσκρίπτ(ις) βέρβ(ις). (18) Καὶ περὶ τοῦ ἐὰν παράσχω σοι νομίσματα ἐπὶ τῷ δοῦναι Πέτρῳ, εἰ ἀγάγῃ τὸν φυγ(ά)δ(α) μου καὶ μὴ ἀγάγῃ. (19) Καὶ περὶ τοῦ ἐὰν ᾔτησάς με δανεῖσαί σοι καὶ μὴ ἔχων δέδωκα πρᾶγμα πωλῆσαι καὶ χρήσασθαι τῷ τιμήματι. καὶ περὶ τοῦ ἐὰν ὑπόθωμαι ὑπὲρ σοῦ πρᾶγμα καὶ δόξῃ δοῦναί μοί σε ἐγγυητ(ήν), εἰ μὴ μισθὸν ἔλαβ(ον), ἡ πραεσκρίπτ(ις) βέρβις χώραν ἔχει. (20) Καὶ περὶ τοῦ ἐὰν πρασίμ(ους) ἵππους ἔχων παράσχω σοι γυμνάσαι καὶ ἀποδοῦναι, εἰ ἀπαρέσουσί σοι, καὶ νικήσας μετ' αὐτῶν, οὐ θέλῃς ἀγοράσαι. καὶ περὶ τοῦ ἐὰν μούλας ἐπὶ τῷ γυμνάσαι δώ(σω) σοι, ἵνα, εἰ μὲν ἀρέσωσιν, ἀγοράσῃς, εἰ δὲ ἀπαρέσουσι, δίδῳς τι καθ' ἡμέρ(αν), καὶ ἀφέλωνται αὐτὰς εἴσω τῆς προθεσμίας λῃσταί. καὶ περὶ τοῦ ἐὰν βουλομένου σου σκεῦος ἀγορά(σαι) ὁ τεχνίτ(ης) ἀγαγὼν ἐάσῃ παρὰ σοὶ καὶ ἀπαρεσθεὶς πέμψῃς αὐτὸ διὰ τοῦ δούλου σου, καὶ ἀπόλ(η)τ(αι) ἄνευ δόλ(ου) σου καὶ ἀμελείας. (21) Καὶ ὅτι ἐν ἀτονίᾳ ἀγωγ(ῆς) ἢ παραγρα(φας) ἰμφακτοὺμ δίδοτ(αι). (22) Εἰ μὲν ἐπὶ τῷ δῶρον ῥαφῆναι ἢ κναφῆναι δοθ(ῇ) τι, χώρα τῇ ἐντολ(ῆς), εἰ δὲ δοθ(ῇ) ἢ ὁρισθῇ μισθός, τῇ πε(ρὶ) μισθ(ώσεως). εἰ δὲ ἐπὶ τῷ μετὰ ταῦτα δοθῆναι τὸ συνδοκοῦν ὑπὲρ μισθοῦ, ἡ τῶν προσυμπεφωνημένων ἀγωγ(ὴ) κινεῖται. (23) Τὸν δακτύλ(ιόν) σου ἔλα(βον) ἐπὶ τῷ ἰδεῖν καὶ ἔπεσεν εἰς τὸν ποταμόν, ἡ πραεσκρίπτ(ις) βέρβ(ις) κινεῖται, ἡ λεγομένη ἄνωθεν ἰμφακτούμ. (24) Καὶ ὅτι δέδωκ(ά) σοι ρ' νομίσματα, ἵνα ἐκ τῶν ἡμιεκατοστιαίων αὐτῶν τόκων συντελῇς ὑπὲρ ἐμοῦ καὶ εἰ μὲν πλείων εἴη ὁ τόκος, ἵνα τὸ περιττὸν δῷς μοι, εἰ δὲ ἥττων, ἵνα ἐκ τοῦ καφαλαίου μειοῦται. εἰ δὲ καὶ ἀναλωθ(ῇ) καὶ αὐτὸ, εἴ τι παράσχῃ(ς), ἀπαιτ(ήσῃς) με, ἡ προσυμπεφωνημένων ἀγωγ(ὴ) κινεῖται. (25) Καὶ περὶ τοῦ ἐὰν τεκτονικὰς ὑπηρεσίας τοῦ δούλου μου παράσχω ἐπὶ τῷ λαβεῖν

18 γυμνῶσαι Ed.

6 ἀποθάνουσι | 7 ἢ τῶν | 8 πιπράσκοντος μου | 12-13 ἰὶ ἐπὶ | 19 νικήσῃς | 25 ἴμφακτουμ | 30-1 ρ' ἰὶ |

τοσαύτας ἢ τὸ φαινόλιον ἐπὶ τῷ λαβεῖν στιχάρ(ιον). (26) *Καὶ περὶ τοῦ ἐὰν δώ(σω) σκεῦος ἐπὶ τῷ λαβεῖν τὸν αὐτὸν σταθμὸν ἢ ἵνα τὸ σκεῦος ἢ τὸν ἄργυρον δῷς.* (27) *Καὶ ἔτι τὸ διδόμενον ἰατροῖς καὶ τεχνίτ(αις) ποσὸν ἐν ταῖς καλάνδαις οὔκ ἐστι μισθός. καὶ ἐπὶ τοῖς τοιούτοις. ἐάν τι ἐν ταῖς τοιαύταις ὑπηρεσίαις γένηται παρὰ τὸ προσῆκον, ἰμφακτοὺμ ἀγωγ(ὴ) ἁρμό(ζει).*

ΒΙ(ΒΛΙΟΝ) κα'. ΤΙ(ΤΛΟΣ) α'.

Περὶ μαρτύρων εὐυπολήπτων καὶ ἀτίμων.

(1) *Καὶ ὅτι ἀξιοπίστους εἶναι δεῖ τοὺς μάρτυρας. καὶ παρέχοντ(αι) καὶ ἐπὶ χρηματικῶν καὶ ἐγκληματικῶν, εἰ μὴ κεκώλυντ(αι) ἀπὸ νόμου ἢ ἐξκουσσατεύοντ(αι). περὶ δὲ ἀρχόντων κεκωλυμ(έ)νων καὶ μαγ(ισ)τρ(ιαν)ῶν ζήτ(ει) τὸν β' τί. τοῦ ς' βι. καὶ περὶ τοῦ, εἰ καὶ πλείονος ἀριθμοῦ μαρτύρων ὁ νόμος μνημονεύσει, πῶς οἱ δικασταὶ τοὺς ἀρκοῦντας δέχοντ(αι).* (2-3) *Καὶ τί ζητητ(έον) ἐπὶ τῶν μαρτύρων. καὶ ὅτι καὶ χωρὶς δημο(σί)ων ὑπομνημάτων ὡς ἐπὶ τὸ πλεῖστον, εἰ καὶ μὴ πάντ(ο)τ(ε), ἡ ἀλήθ(εια) δείκνυται διά τε τοῦ τῶν μαρτ(ύ)ρων ἀριθμοῦ, τῆς ἀξίας, τῆς αὐθ(εν)τ(είας) καὶ τῆς συμφώ-ν(ου) φήμης. τινές φα(σιν) ἐπὶ συμφώ(νου) φήμ(ης) μὴ ἐπάγεσθαι ὅρκον, ὅπερ δοκ(εῖ) μοι ἐπαχθές. ὅμως ἀνά(γνωθι) βι. λε' <τί. β'> κε. κε' θέ. ς'* (?) (Ed. III, 549,3) *οὗ ἡ ἀρχή Ἐὰν δὲ ὅλως πλείονες μάρτυρες οὐχ εὑρίσκωντ(αι), καὶ τὰ λοιπά. φη(σὶ) δέ, ἵνα ἐπόμνυτ(αι), καὶ εἰ ἐπὶ τῶν ἀξιολόγων ἐκείνων ὁ ὅρκος τελεῖτ(αι), καὶ χωρὶς ὅρκ(ου) οὐκ εἰσακούοντ(αι), πολλῷ μᾶλλον ἐπὶ τ(οῦ) χυδαίου πλήθ(ους) προβήσεται ἡ ἀγωγ(ή) μοι* (?), *εἰ δὲ τοῦτο <ἐ>ῶμεν, λοιπὸν καὶ ὁ ἀξιωματ(ικὸς) οὐκ ἀπαιτηθ(ήσε)τ(αι) ὅρκον προστιθέναι ἢ ἀπὸ τῆς ἀξίας ἢ αὐθεντ(εί)ας καὶ ἑτ(έ)ρ(ας) συμφώ(νου) φήμ(ης). ζήτ(ει) καὶ κε. νς'* (=56,6) *οὗ ἡ ἀρχή Ἐπειδὴ ἴσμεν. Καὶ ὅτι τοῖς μάρτ(υ)σ(ι) καὶ οὐ τοῖς ἐκμαρτυρίοις [πιστευτέον], αὐτοπροσώπως γὰρ ἐρωτῶνται παρὰ τῶν δικαστῶν ἐπὶ τῶν ἐγκλημάτων. καὶ ὅτι ὁ θέλων ἐπισχεῖν τοὺς μάρτυρας διδότω αὐτοῖς δαπάνας. καὶ τίνες οὐ μαρτυροῦσιν ἐν τῷ περὶ βίας. | λέ(γει) δέ, ὡς οὐ μαρ-* **105**r
τυρεῖ ἀπελεύθ(ε)ρ(ος) κατὰ πάτρωνος ἢ παιδὸς αὐτοῦ οὔτε ἄνηβο(ς) καὶ ἁπλῶς εἰπεῖν πρόσωπα ὑπεξαιρεῖ διάφο(ρα), ἃ καὶ ἀνά(γνωθι). ποιεῖται δὲ καὶ γυναικὸς μνείαν ποιησαμένης πόρον ἐκ τοῦ οἰκείου σώμ(α)τ(ος) καὶ τοῦ λαβόντος χρήματα ἐπὶ τῷ μαρτυρῆσαι ἢ μὴ μαρτυρῆσαι. (4) *Καὶ τίνες ἄκοντες ἐπὶ ἐγκληματ(ικῷ) οὐ μαρτυροῦσι κατὰ συγγενῶν ἢ πατρώνων. πλὴν ὁ ἀπελεύθ(ε)ρ(ος) οὐχ ἑκὼν μαρτυρεῖ, ὡς κε. λς' τούτ(ου) τοῦ τί.* [*δηλοῖ*]. (5) *Καὶ τίς λέγεται ἐπὶ τούτ(ῳ) πενθ(ε)ρ(ὸς) ἢ γαμβρός. ζήτ(ει) δὲ τοῦ με' βι. τί. γ'.* (6) *Καὶ ὅτι ὁ κελεύεσθαι δυνάμενος οὐ μαρτυρεῖ.* (7) *Καὶ τίνες καὶ ἄκοντες καὶ αὖθις οὐ μαρτυροῦσι. καὶ ἁπλῶς εἰπεῖν, τίνες*

5-6 *περὶ δὲ — ς' βι.* in margine sine signo | 11-19 *τινές — ἴσμεν* in margine cum signo ad *συμφώνου* lin. 10-11 spectante | 19 *ἐπεὶ δὲ ἴσμεν* Ed.

---

20 *ἐρῶνται* | 28 *οὐ ἑκὼν* | 29-30 *ζήτ(ει) — τί. γ'* in marg. sine signo

τυπ(οι), ἀλλ' ἀτονησάντων πολλάκ(ις) αὐτῶν δύναται ὁ πρωτότυπο(ς) ἐπανελθὼν καὶ ἐναγόμενος εἴσω τῆς διετίας ἢ καὶ μὴ ἐναγόμενος ποιῆσαι τὰ περὶ τῆς ἀναργυρίας διηγορευμένα τοῖς νόμοις. (78) Καὶ ὅτι χώραν ἔχει ἡ τῆς ἀναργυρίας παραγρα(φή), κἂν ἐνώμοτό(ς) ἐστιν ἡ ὁμολογία ὅρκον ἔχουσα περὶ τῆς τῶν κεχρεωστημένων ἀποδ(όσεως). περὶ δὲ τοῦ τὸν ἐναγόμενον περὶ κινητοῦ πράγματος, ἐὰν ὕποπτός ἐστι, μεσεγγυᾶ(σθαι), εἰ μὴ δίδωσιν ἐγγύας, ζήτ(ει) βι. ζ' τί. ιδ' κε. ζ' θέ. α' (=2) οὗ ἡ ἀρχή Ἐὰν ὕποπτός ἐστιν ὁ περὶ κινητοῦ πράγματ(ος) ἐναγόμενος. περὶ δὲ ἐπερωτ(ήσεως) δανείων καὶ τῆς τούτων εὐλόγου καὶ ἀλόγου καταβολῆς καὶ διαστίξεως ζήτ(ει) τοῦ κς' βι. τί. ε'. περὶ δὲ τοῦ ὑπὸ προθεσμίαν ὁμολογήσαντ(ος) χρεώστου καὶ ποινὴν ἐπερωτ(η)θ(έν)τ(ος) ζήτ(ει) βι. ζ' τί. ις'. καὶ βι. θ' τί. δ' καὶ τὰς ἐν αὐτῷ παραπομπ(άς). καὶ βι. νβ' τί. α'. καὶ γὰρ τουτὶ τὸ βι. διαλέγεται περὶ παντοίων ἐνοχῶν. ζήτ(ει) καὶ βι. μγ' τί. <ε'> κε. ιβ' οὗ ἡ ἀρχή Ἐάν τις ἐν ῥητῷ χρό(νῳ). περὶ δὲ χρεώστου δημευθ(έν)τ(ος) μὴ ἐνέχεσθαι τοῖς δανεισταῖς ζήτ(ει) βι. κς' τί. α' κε. οδ' οὗ ἡ ἀρχή Ἐὰν ὁ χρεώστης εἰς ἥμισυ δημευθεὶς ἐξορισθ(ῇ). Ὁ δὲ ἐκστάς, εἰ εὐπορή(σει), ἐνέχεται, ὡς βι. θ' τί. ε' [κε. δ']. φη(σὶ) γάρ. Καὶ τίνες ἀτιμοῦνται τῶν δανειστῶν καὶ ὅρκον ὑπέχειν περὶ τῆς ἀπορίας αὐτῶν. καὶ πῶς ὁ δανειστὴς πέμπεται εἰς νομ(ήν), καὶ εἰ κρύπτεται πρὸς παραγρα(φὴν) ὁ χρεώστης. περὶ δημεύσεως χρεώστου ζήτ(ει) βι. ξ' τί. ξη' [κε. η' ?]. περὶ τοῦ, τίς τοίνυν λέγεται δανειστής, ζήτ(ει) βι. β' τί. β' κε. η' (=10) οὗ ἡ ἀρχή Δανειστής ἐστιν ὁ ἐξ οἱασοῦν αἰτίας χρεωστούμ(ε)ν(ος). καὶ κε. νε' (=52) οὗ ἡ ἀρχή Δανειστής ἐστιν ὁ μὴ δυνάμενος διὰ διηνεκοῦς παραγρα(φῆς) ἀποκινεῖσθαι. καὶ κε. ρη' (=105) οὗ ἡ ἀρχή Χρεώστης ἐστὶν ὁ καὶ ἄκων μεθοδευόμενος. καὶ τί. γ' κε. ιδ' οὗ ἡ ἀρχή Ἐὰν μὴ προστεθῇ ἡμέρ(α) ῥητή. ζήτ(ει) καὶ βι. νβ' τί. α' κε. α'. καὶ κε. ιη' οὗ ἡ ἀρχή Ὁ ἀπαιτῶν προῖκα οὐ δοκεῖ ἐξ ἐπικερδοῦς αἰτίας ἔχειν. περὶ δὲ χρεώστου ἀποκρύπτοντος ἑαυτὸν ἔμαθ(ες), καθὼς δὴ καὶ προείρηταί σοι. πλὴν ἀνά(γνωθι) καὶ βι. ιθ' τί. α' κε. ϟζ' (=94) τὸ τέλος. καὶ γνώσεις καὶ περὶ ἀγοραστοῦ ἀποκρύπτοντος ἑαυτόν, οὗ ἡ ἀρχή Ἐὰν ἐπὶ τῷ τοιούτῳ συμ|φώνῳ πωλήσ(η) τις. ἀνά(γνω- **116v**
θι) καὶ τὰς ἐν αὐτῷ παραπομπάς. καὶ τοῦ παρόντος κγ' βι. τὸν γ' τί. περὶ τοίνυν δανειστῶν ἀνά(γνωθι) καὶ τοῦ κς' βι. τί. β' καὶ δ' καὶ τὰς ἐν αὐτοῖς παραπομπάς. καὶ τί. ε' ὅλ(ον). περὶ δὲ τῶν δανειζόντων ἢ ἄλλως πως συν-

---

25 cap. 14 tit. 3 libri 2 in Editione sic incipit : *ἐπὶ πασῶν τῶν ἐνοχῶν, ἐφ' ὧν ἡμέρα οὐ τίθεται...* | 30 initium citatum deest in fragm. Edit. et Suppl. ; res convenit cum cap. 94

---

6 *ὕπ. ἐστιν ἵνα μεσεγγυᾶ(ται)* | 10-14 *περὶ — χρόνῳ* in marg. sine signo | 31 *παραπαραπομπάς*

ἀλλαγματαποιούντων, τὰ δὲ γραμματεῖα μὴ ὡς οἰκεῖα, ἀλλ' ὡς δυνατοῦ προσώπου ποιούντων ζήτ(ει) βι. ζ' τί. θ'. μὴ λάθ(ῃ) σε δὲ καὶ ὁ γ' τί. τ(ο)ῦ ι' βι. [κε. ζ' θέ. θ'] (= I, 499,50 Ed.), *ἔνθα φη(σίν)· Ἐὰν βεβαιώσωμαι τὸν παρὰ σοῦ δανειζόμενον εὔπορον εἶναι. πε(ρὶ) δὲ δανειστοῦ μὴ ἀριθμ(οῦν)τ(ος) καὶ λαβόντος ἢ δεύτερον λαβόντος ἢ κατὰ ψῆφον λαβόντος ζήτ(ει) βι. ιδ' τί. α' κε. κθ' θέ. γ'* (=4) *οὗ ἡ ἀρχὴ Ἡνίκα ὁ δανειστὴς μὴ ἀπαριθμή(σ)ας λά(βῃ). περὶ δὲ τοῦ μὴ ὀχλεῖσθαι ἕτερον ἀνθ' ἑτέρου ἢ ἀλληλεγγύως εἰσπράττεσθαι ζήτ(ει) βι. νς' τί. α'* (?) *καὶ τὸ τέλος τοῦ γ' τί. τοῦ παρόντος βι. περὶ δὲ δύο δανεισαμένων ὁμοῦ καὶ ἑνὸς ἀπαιτουμ(έ)ν(ου) τὸ ὅλον χρέ(ος) ζήτ(ει) βι. κς' τί. γ' κε. δ' οὗ ἡ ἀρχὴ Ὁ δανειστὴς ἄδειαν ἔχει.*

ΤΙ(ΤΛΟΣ) β'.

Περὶ τοῦ τοὺς τελευτῶντας ἤγουν τὰ λείψανα αὐτῶν μὴ ἐνυβρίζεσθαι παρὰ τῶν δανειστῶν.

(1) *Καὶ περὶ ποινῆς τῶν τολμησάντων τοῦτο ποιῆσαι ἢ καὶ ζώντων αὐτῶν καταλαβόντων τὴν οἰκίαν αὐτῶν τῶν χρεωστῶν καὶ ἐνοχλούντων τοὺς οἰκείους αὐτοῦ καὶ τὴν γαμετήν. ἢ καὶ σήμαντρα κατ' οἰκείαν ἐξουσίαν τιθέντων μὴ πρότερον ψήφου καὶ τάξεως νομίμης μετὰ τὴν τοῦ λεγομένου χρεωστεῖν τελευτὴν φυλαχθείσης. καὶ εἰ περὶ τὴν ταφήν τις ἁμάρτ(οι) τοῦ χρεώστου. ἐνταῦθά φη(σι) περὶ τοῦ ταύτης τῆς πό(λεως) καὶ τῶν πραιτ(ω)ρ(ίων) ἐπάρχου. καὶ φανερῶς λέ(γει) ἕτερον ἐκεῖνον καὶ ἕτερον τοῦτον εἶναι.* (2) *Καὶ περὶ τοῦ μὴ αἰτιᾶσθαι πρὸ τῆς τῶν ἐννέα ἡμερ(ῶν) προθεσμίας τοῦ πένθους καὶ τῆς ἐπὶ τῇ παραβά(σε) ποινῆς. καὶ ὅτι πρόκριμα μὴ ὑφίσταται ἐκ τούτ(ου) τῷ ἐνάγοντι, εἴπερ τυχὸν ἐκ τῆς τῶν ἡμερ(ῶν) παραρεύσεως ἀποκλείεται.* (3) *Καὶ περὶ τῶν κατεχόντων τὰ τέκνα τῶν χρεωστῶν εἰς ἐνέχυρον ἢ εἰς δουλικὴν ὑπηρεσίαν. καὶ τῆς ἐπ' αὐτοῖς ποινῆς.* (4) *Καὶ πε(ρὶ) τοῦ, ὅτι συναινοῦσα γυνὴ δανειζομένῳ τῷ ἀνδρὶ αὐτῆς καὶ ὑποτιθεμ(έ)ν(ῳ) τὰ ἴδια οὐ κατέχεται, κἂν πολλάκις τοῦτο ποιήσῃ ἐπὶ τῷ αὐτῷ συναλλάγματι, εἰ μὴ ἄρα δειχθῇ τὰ δανεισθ(έν)τ(α) προχωρηθ(έν)τ(α) εἰς πράγματα αὐτῆς. ζήτ(ει) καὶ βι. κδ' τί. δ' κε. α' οὗ ἡ ἀρχὴ Μήτε γαμετὴ ὑπὲρ τοῦ ἀνδρός. καὶ βι. κθ' τί. α' τὸ τέλος. καὶ τί. ἔσχατον* (=7) *τοῦ κθ' βι. καὶ βι. κε' τί. ζ' κε. λβ'* (=33) *οὗ ἡ ἀρχὴ Ἡ γυνή, εἰ καὶ ὑπὲρ ἄλλου δέδωκεν ἐνέχυρον. καὶ βι. ιθ' τί. η' κε. οδ'* (=72) *οὗ ἡ ἀρχὴ Ἐὰν ὁ ἀνὴρ πωλή(σῃ) τῇ γυναικὶ*

---

3 *ἐὰν διαβεβαιώσ.* Ed. | 31 *ἐνέχυρα* Ed.

---

4 *παρὰ σοῦ τὸν δανειζ.* | 22-23 *ὑφισταμένου... τοῦ ἐνάγοντος*

πρᾶγμα διαφέρον. περὶ ὕβρεως λειψάνου καὶ ταφῆς ἀνά(γνωθι) βι. ξ′ τί κα′ κε. α′ θέ. β′, ε′ (=4). *περὶ δὲ λειψάνων τῶν τιμωρηθ(έν)τ(ων) ζήτ(ει) βι. ξ′ τί. ξθ′. περὶ τοίνυν χρεωστῶν ἀπόρων ζήτ(ει) βι. κδ′ τί. α′ κε. ις′ οὗ ἡ ἀρχή Οὐκ ἀναγκάζονται οἱ ἄποροι χρεῶσται δουλεύειν. καὶ βι. θ′ τί. γ′ καὶ τί. ε′ κε. ζ′ οὗ ἡ ἀρχή Εἴ τις διὰ παραγραφὴν κρύπτεται. καὶ βι. ιθ′ τί. α′ κε. παρατέλευτον* (=94). *καὶ βι. κς′ τί. β′ κε. β′* (=II, 106, 41 Ed.) *οὗ ἡ ἀρχή Εἰ γάρ τις δανείσειε χρυσίον τῇ τοῦ δεδανεισμένου περιουσίᾳ πιστεύων, ὁ δὲ εἰς ἔκτισιν μὲν χρυ(σίου) οὐκ εὐποροίη. περὶ τοίνυν χρέους ἀπαιτ(ήσεως) καὶ χρεωστούντων καὶ χρεωστουμένων. καὶ περὶ ἐκστά(σεως) καὶ χωρισμοῦ καὶ διαπρά(σεως) τῶν ὑπαρχ(όν)τ(ων). καὶ τίνες προτιμῶνται εἰς τὴν | ἐξώ(νησιν) αὐτῶν. καὶ περὶ τεκ(νο)ποιουμένου παρὰ τοῦ χρεώστου* **117r** *εἰς παραγρα(φὴν) τοῦ δανειστοῦ καὶ τῶν ἀρνουμένων τὰ ἴδια χειρόγρα(φα) καὶ τοῦ μὴ ἐπέχεσθαι τὴν γαμετὴν ὑπὲρ ἀνδρός, εἰ καὶ συνῄνε(σε) τῷ δανειακῷ γραμματ(είῳ), μήτε πατέρα ὑπὲρ παίδων. καὶ μὴ κατέχεσθαι τὰ τῶν χρεωστῶν τέκνα. καὶ περὶ ἀντελλόγου χρέους ζήτ(ει) βι. β′ τί. ς′ κε. κβ′. καὶ βι. θ′ τί. γ′ κε. ια′, ιθ′, λα′. καὶ τί. ε′, κε. γ′, ε′, η′. καὶ τί. ς′. καὶ τί. η′ καὶ τί. ιη′* (?) *κε. β′ ἄχρι τοῦ κβ′. καὶ βι. ζ′ τί. β′ κε. λ′. καὶ βι. ς′ τί. ιθ′ κε. θ′ καὶ ἄχρι τοῦ οα′* (?). *καὶ τί. γ′ κε. ιδ′ πᾶ(ν). καὶ βι. ιε′ τί. δ′ κε. ιη′* (=19), *κη′. καὶ τί. α′ κε. ϟδ′* (?) . *καὶ βι. ιθ′ τί. η′ κε. ιδ′* (=13). *καὶ τί. δ′ καὶ ε′. τί. ιδ′. καὶ βι. κε′ τί. α′ κε. ιθ′* (=20?). *καὶ τί. ζ′. η′, κε. η′. καὶ τί. β′ κε. κ′. καὶ βι. ξ′ τί. ς′ κε. κγ′* (=25?). *ζήτ(ει) καὶ βι. ζ′ τί. ε′ κε. μα′. καὶ τί. δ′. καὶ τοῦ κβ′ βι. τί. α′. καὶ βι. ξ′ τί. ξη′. καὶ βι. λε′ τί. ιδ′ κε. ξζ′* (?), *πθ′* (?), *ϟε′* (?). *καὶ βι. να′ τί. δ′. καὶ βι. ν′ τί. γ′. καὶ βι. μγ′ τί. ε′ κε. θ′. καὶ τί. α′ κε. ρλς′. καὶ βι. ζ′ τί. ιε′. καὶ βι. νβ′ τί. α′. βι. ια′ τί. α′ κε. ιγ′. καὶ βι. κδ′ τί. α′, γ′, δ′. καὶ βι. ζ′. καὶ βι. ιθ′ τί. η′ κε. οδ′* (=93?).*καὶ βι. λθ′ τί. α′. καὶ βι. κς′ τί. α′, γ′, δ′, τί. ζ′, ε′.*

ΤΙ(ΤΛΟΣ) γ′.

Περὶ τόκων τῶν ὁθενδήπ(ο)τ(ε) ἀπαιτουμ(έ)νων καὶ καρπῶν καὶ πραγμάτ(ων) καὶ πάσης προσθήκης καὶ ὑπερθέ(σεως).

(1) *Καὶ ὅτι ἐπὶ τῶν καλῇ πίστει ἀγωγῶν ὀφφικίῳ τοῦ δικάζοντος ὁρίζεται ὁ τόκο(ς) πρὸς τὸ ἔθος τοῦ κλίματος, ἐν ᾧ τὸ συνάλλαγμα γέγονεν,*

3-4 initium citatum in tit. 1 libri 24 Editionis non inveni | 5 initium citatum cap. 7 tit. 5 libri 9 in tit. 5 libri 9 Editionis non inveni ; cf. p. 211,30 | 8-15 *περὶ τοίνυν — τέκνα* verba desunt in Editione | 16-17 Ed. tit. 18 libri 8 non praebet | 17-18 Ed. cap. 71 tit. 19 libri 6 non exhibet

ὥστε μέντοι μὴ ὑπερβῆναι τὸν νόμιμον. καὶ πότε ὁ κοινωνὸ(ς) καὶ πρὸ ὑπερθέ(σεως) δίδω(σι) τόκ(ον). περὶ δὲ τοῦ, πότε δίδω(σιν) ὁ δανειστὴς τόκους τῷ χρεώστῃ, ζήτ(ει) βι. κε′ τί. α′ κε. ς′ θέ. β′ οὗ ἡ ἀρχή Ἐὰν πλείονος ὁ δανειστὴς πωλή(σῃ) τὸ ἐνέχυρον. καὶ βι. ιδ′ τί. α′ κε. ιβ′ [θε. ε′] διαλεγ(όμεν)ον περὶ τόκων τῶν ἐξ ἐντολῆς ἐπιφυομένων, οὗ ἡ ἀρχή Ἐὰν κατὰ ἐντολήν σου ἀγορά(σω) πρᾶγμα. ἀνά(γνωθι) καὶ τὰ ἐν αὐτῷ τῷ κε. θέματα. καὶ ὅτι ἐπιτέτραπται τῷ δικαστῇ ἐπὶ τῶν βοναφίδε ἀγωγῶν διαγινώσκειν περὶ τῶν τόκων. τόκων δὲ οὐ περὶ πάντων, ἀλλὰ τῶν μέχρι τῆς αὐτοῦ ἀποφά(σεως). ὑπὲρ γὰρ τοῦ καιροῦ τοῦ μετὰ τὴν ἀπόφασιν. περὶ τοίνυν τόκων ἀπαιτουμ(έ)ν(ων) καὶ ἀργυροπρατικ(ῶν) καὶ τῶν μετὰ ὑπέρθε(σιν) ἀπαιτουμένων ἀνά(γνωθι) νε(α)ρ(ὰν) ρς′ καὶ βι. ζ′ τί. ς′ κε. α′ καὶ βι. θ′ τί. γ′ κε. πε′, πη′, πθ′. καὶ βι. ιη′ τί. ζ′ κε. ε′. καὶ τοῦ κδ′ (?) βι. τί. ς′ κε. μζ′, ιγ′ καὶ ἄχρι τοῦ ος′. καὶ τί. δ′ κε. δ′, ε′, καὶ βι. κδ′ τί. ς′ κε. κ′. καὶ βι. κε′ τί. β′ κε. α′ θέ. δ′. καὶ τί. ζ′ κε. μα′. καὶ βι. κς′ τί. δ′ κε. ξε′. καὶ τί. ε′ κε. γ′, λ′, ρθ′, ρι′. καὶ οβ′. καὶ βι. να′ τί. δ′ κε. ις′. καὶ βι. νδ′ τί. α′ κε. ιε′ ιη′. καὶ βι. νς′ τί. ς′ κε. ιζ′. καὶ βι. κε′ τί. α′ τὸ τέλος. καὶ βι. ξ′ τί. ς′. καὶ βι. ιθ′ τί. η′ κε. οδ′. Οὐκ ὀφείλ(ει) περὶ τόκων διαγινώσκειν οὐδὲ ἀπαιτεῖν ἀσφάλειαν τὸν καταδικασθέ(ν)τ(α). ὅτι δὴ τελεῖ τόκους, ἐφ᾽ ὅσον μὴ πληροῖ τὰ ἀπὸ τῆς ἀποφάσεως. σὺ δὲ νόει, ὅτι διαφέρ(ουσιν) αἱ καλῇ πίστει ἀγωγ(αὶ) τῶν στρίκτων, ὅτι ἐπὶ μὲν τῶν καλῇ πίστει ἀγωγῶν ὁ μὲν ἐνάγων κτᾶται ἔνοχον εἴτε ἑκὼν εἴτε ἄκων, ὁ δὲ ἐναγόμενος παντὶ τρόπῳ ἑκὼν γίνεται ἔνοχος. ἐπὶ τούτῳ γὰρ συνῆλθ(ε) τῷ συναλλάγματι. καὶ τοῦτό ἐστι γνώρισμα τῶν καλῇ πίστει ἀγωγῶν. εἰσὶ δὲ καλῇ πίστει ἀγωγ(αὶ) ἡ περὶ παραθήκ(ης), ἡ περὶ μισθώ(σεως), ἡ περὶ ἐντολ(ῆς), ἡ περὶ ἀπαιτ(ήσεως) κληρονομίας, ἡ περὶ διοική(σεως) ἀλλοτρ(ίων) πραγμάτων, ἡ δε πεκουλ(ίῳ), καὶ ἡ περὶ κοινωνίας. ἐπὶ δὲ τῶν στρίκτων ἄκων γίνεται ἔνοχο(ς) ὁ ἐναγόμενο(ς), ὥσπερ ἐστὶν ἡ δάμνη ἰφέκτη καὶ ἡ περὶ ληγ(ά)τ(ου). καὶ πότε ἐπὶ τῆς ἐπιτροπῆς ἀπαιτοῦνται τόκοι ἐπὶ δικαστ(η)ρ(ίῳ) κατενεχθέντος τοῦ τῆς ἐπιτροπῆς λόγου ἢ ἔξω δικαστηρ(ίου). καὶ πε(ρὶ) τοῦ, εἰ σφραγίσει ὁ ἐπίτροπ(ος) τὰ χρήματ(α) καὶ ἀπόθητ(αι). ἀνά(γνωθι) καὶ βι. θ′ τί. α′ κε. κγ′ οὗ ἡ ἀρχή Ἐπίτροπο(ς) ἢ κουράτωρ ἢ ἀλλοτρ(ίου) πράγματ(ος) διοικητ(ής). (2) Καὶ ἐπὶ προσωπικῆς ἀγωγ(ῆς) μετὰ προκάταρξιν καρ<ποὶ> ἀπαιτοῦνται καὶ | τοκετοὶ οἱ μετὰ ταῦτα ληφθέντες. (3) Καὶ περὶ 17
κληρονόμ(ου) ὑπέρθε(σιν) μετὰ τὴν ψῆφον καὶ τὴν τετράμηνον εἰς τὴν καταβολὴν τοῦ ληγ(ά)τ(ου) ἢ πρὸ τῆς προκατάρξεως ὑπερθεμένου, πότε ἀπαιτ(εῖ) καρπούς. καὶ ὅτι τῆς μετὰ ψῆφον τετραμήνου καρποὶ οὐκ ἀπαιτ(οῦν)τ(αι). καὶ ὅτι, ἐάν τις γράψας τινὰ κληρονόμον καταξιώσῃ αὐτὸν

---

1 τὸ νόμιμον Ed. | 9-17 περὶ τοίνυν — οδ′ in margine sine signo | 12 cap. 5 tit. 7 libri XVIII desideratur in Ed. et in Suppl., extat in Zach. | 19-30 σὺ δὲ νόει — ἀπόθητ(αι) excursus de actionibus deest in Editione

ἐν καιρῷ τῆς αὐτοῦ τελευτῆς ἀποκαταστῆσαί τινι τὴν κληρονομίαν, οὗτος τὰ πράγματ(α) μόνον ἀποκαθίστη(σιν), οὐ μὴν τὰ γινόμενα ἐκ τούτων. καρποὶ τυχὸν καὶ τόκοι. πλὴν εἰ μὴ ἄρα ἰδικῶς καὶ περὶ τούτων ἠξιώθ(η). ἔστι δέ, ὅτε καὶ τοὺς καρποὺς καὶ τοὺς τόκους ἀναγκάζεται ὁ κληρονόμος ἀποκαταστῆσαι, κἂν μὴ ἰδικῶς ἠξιώθη περὶ τούτου παρὰ τοῦ διαθεμένου. τοῦτο δὲ συμβαίνει, ὅταν ὁ διαθέμενος οὕτως εἶπεν· ἀξιῶ σε, ὦ κληρονόμε, ἀγρόν μου παρακρατοῦντ(α) τὴν κληρονομίαν ἀποκαταστῆσαι τῷ υἱῷ μου γινομένῳ τοιᾶσδε ἡλικίας, καὶ ῥητῶς εἴπῃ· διὰ τὸ θέλειν με τὰ πράγματα παρὰ τοῖς ἐπιτρόπ(οις) εἶναι, δίδωσι τοὺς καρπούς. καὶ ἀργύρου ἢ χρυ(σοῦ) ἐσκευασμένου ληγατευθ(έν)τος), πότε οὐ δίδοται ἢ δίδοται τόκο(ς). (4) Καὶ περὶ τοῦ ὅτι, ἐὰν ἐπερωτ(ήσω) δοθῆναί μοι πρᾶγμα, μόνον λαμβάνω. εἰ δὲ καὶ προσθήσω σχολαίαν νομὴν παραδοθῆναί μοι, λαμβάνω καὶ τοὺς μετὰ ταῦτα ληφθέντας καρπ(οὺς) καὶ τοκετούς. ταῦτα δὲ τὰ ῥήματα ποτὲ μὲν ἀπαιτοῦσι δεσποτ(είαν) παραδοθῆναι, ποτὲ δὲ ψιλὴν παράδοσιν, ὥσπερ ἐπὶ τοῦ πράτ(ου). καὶ ἀνά(γνωθι). καὶ περὶ τοῦ ἐὰν κατὰ ἀνακοινισμὸν τοῦ χρέους ἐπερωτηθ(ῇ) ὁ πράτ(ης). (5) Καὶ τί ἀπαιτεῖται ἐπὶ τῶν καλῇ πίστει ἀγωγῶν. λέ(γει) γὰρ αἰσχρὸν πόρον μὴ ἀπαιτεῖσθαι. (6) Καὶ ὅτι ἐπὶ τῆς περὶ ἐν πράγματι δαπανήματ(ος) ἀγωγῆς, ἐὰν ὁ δεσπότ(ης) ἐπὶ πολὺν χρό(νον) παράσχῃ τόκον, καὶ ὁ πατὴρ ὑπὲρ προικὸς τῆς θυγατρ(ός), ἀναγκάζονται οἱ κληρονόμοι αὐτῶν παρασχεῖν. σὺ δὲ γίνωσκε, ὅτι δ(ιά)τ(αξίς) ἐστι κελεύουσα μετὰ διετίαν ἀπαιτεῖσθαι τῆς προικὸς τόκ(ον). (7) Καὶ περὶ χρεώστου τῷ δανειστῇ προσαγαγόντος τὸ χρέος καὶ μὴ θέλοντι λαβεῖν, τί δεῖ γενέσθαι εἰς ἀναστολὴν τῶν τόκων. καὶ πότε καὶ ὑπερτιθεμένου τοῦ δανειστοῦ λαβεῖν ὁ χρεώστης ἀπαιτεῖτ(αι) τόκους. ἀνά(γνωθι) τοῦ κϛ′ βι. τί. ε′ κε. λ′ καὶ οβ′, ὅπερ φη(σίν), ὅτι, κἂν τυχηρῶς ἀπόλ(η)τ(αι) τὸ χρέος, εἰ καὶ μετὰ τοῦτα ζητῶν τοῦτο ὁ δανειστὴς ὑπερέθετο, ὁ χρεώστης τῷ δανειστῇ ἐγκινδυνεύεται. (8) Καὶ ποῖα ἐκ τῶν ληγατευθέντων διδόμενα μετὰ ὑπέρθε(σιν) λογίζονται ὡς καρπ(οί), ὡς ἡ γονὴ τῶν ἵππων, καὶ ποῖα ὡς πρᾶγμα, ὡς ἡ γονὴ τῆς γονῆς, καὶ οὐχ ὡς καρπό(ς), καὶ ὁ τοκετὸς τῆς δούλ(ης). (9) Καὶ ὅτι, ἐὰν ὁ δανείσας ἐπερωτ(ήσῃ) τὸ διπλοῦν ἐξ ὑπερθέ(σεως), μέχρι μόνου τοῦ νομίμου τόκου ἔρρωτ(αι) κατὰ τὸ μέτρον ἑκάστου χρόνου. ἀνά(γνωθι) καὶ κε. μγ′ (=44) οὗ ἡ ἀρχή Ἀντὶ τόκων. καὶ κε. ξβ′ (=63) οὗ ἡ ἀρχή Οὐ δύναταί τις πρόστιμον ἐπερωτᾶν. καὶ κε. ξθ′ (=70) οὗ ἡ ἀρχή Ὁ μὲν τόκος ἀπὸ συμφώ(νου) δύναται. καὶ ὅτι ὁ ἐπερωτ(ήσας) τόκους ἐλαφροὺς δύναται μείζονας μέχρι τῶν νομίμων ἐξ ὑπερθέ(σεως) ἐπερωτᾶν. εἰ δὲ μὴ ἦν ὁ τὰ χρήματα ὀφείλων δέξασθαι, οὐκ ἀπαιτεῖται ὑπὲρ ἐκείνου τοῦ χρό(νου) τοὺς μείζους ὁ χρεώστης. (10) Καὶ πότε ὁ νομεὺς

10 λεγατευθ(έν)τ(ος) | 27 ἐκκινδυνεύεται | 31 μέτρον ἑκατέρου τόκου; emendavi sec. Editionem et Dig. XXII, 1, 9: pro modo cuiusque temporis

δίδω(σι) τὸν μετὰ προκάταρξιν τοκετὸν καὶ πότε τὸν πρὸ τῆς προκατάρξεως. (11) *Καὶ περὶ πολιτικῶν δανείων καὶ τῶν ἐν αὐτοῖς τόκων. καὶ ὅτι ταὐτὰ σχεδὸν καὶ περὶ ἐπιτρόπ(ου) λέγομεν. καὶ ἀνά(γνωθι).* (12) *Καὶ ὅτι ὁ ἐπερωτηθ(εὶς) | μείζον(ας) τόκους, ἐὰν μὴ καταβάλῃ τοὺς ἥττονας, ἐν* **118r** *ἑκάστῃ καταβολῇ διδοὺς τοὺς ἥττονας, ἐκφεύγει τοὺς μείζονας, μὴ διδοὺς δέ, μιᾶς καταβολῆς τοὺς μείζονας τόκους ἀπαιτεῖται.* (13) *Καὶ ὅτι ὁ προσομολογήσας ἡμιεκατοστιαῖον καὶ ἐπὶ πολὺν χρό(νον) ἥττονα δεδωκὼς ἔχει παραγρα(φὴν) ἀπαιτούμενος τὸν ἡμιεκατοστιαῖον, εἰ μὴ ὑπέρθε(σιν) ἐποίησεν ἐπὶ τῇ ἐξ ἔθους δόσει. καὶ ὅτι ὁ φροντιστὴς τῶν πραγμάτων μου ἢ ὁ προκουράτ(ω)ρ, ὑπὲρ ὧν τοῦ δεσπότ(ου) τὰ χρήματα μὴ ἐδάνεισαν, οὐ παρέχουσι τόκους, πλὴν εἰ μὴ ἄρα σύνηθες ἦν τῷ δεσπότ(ῃ) ταῦτα δανείζειν. καὶ περὶ τόκων ἀργῶν χρημάτων.* (14) *Καὶ ὅτι μετὰ ὑπέρθε(σιν) καὶ ὁ τοκετὸς τῆς ληγατευθείσης δούλης δίδοται. καὶ περὶ τοῦ κελευσθ(έν)τ(ος) μετὰ θάνατ(ον) χωρὶς προσόδ(ου) ἀποκαταστῆσαι εἴτε κληρονομίαν εἴτε δούλην.* (15) *Καὶ ὅτι τῶν πρὸ προκατάρξεως ἢ μετὰ προκάταρξιν ὀφφικίῳ τοῦ δικαστοῦ ἀποκαθισταμένων καρπῶν τόκοι οὐκ ἀπαιτοῦνται.* (16) *Καὶ ὅτι ὁ πόλει δωρούμενος οὐκ ἀπαιτεῖται τόκους. καὶ ὅτι ὁ παρὰ τοῦ δημο(σίου) ἀγοράζων οὐ δίδω(σι) τόκους πρὸ παραδό(σεως), ἐν ᾧ τοὺς καρποὺς οὐκ ἔλα(βε).* (17) *Καὶ περὶ τοῦ δανεισαμένου ἐπὶ τόκοις ἐλαφροῖς καὶ ὁμολογήσαντος διδόναι βαρυτέρους, εἰ ἐν οἱῳδήποτε καιρῷ ὑστερήσωσι. καὶ ὅτι ὁ διὰ φιλοτιμ(ίας) ἐπὶ πολὺν χρό(νον) μὴ ἀπαιτήσας τόκους οὐ καλῶς ἀπαιτεῖ τοὺς προλαβόντας. καὶ περὶ τοῦ ἐάν τις σαμαρίτ(ης) καταλείψῃ φιδ(εϊ)κόμι(σσὸν) ἢ ἄλλῳ προσώπ(ῳ) μὴ δυναμένῳ λαβεῖν τοῦτο, ὁ δημό(σιος) πᾶν κέρδος καὶ τὸ ἀπὸ τόκων ἀφαιρεῖται τοῦ κληρονόμου. καὶ περὶ κληρονόμου μὴ καταβαλόντος τὸ καταλειφθὲν τῷ ἀνήβῳ ληγάτ(ον) ἐν τῷ μὴ ἔχειν αὐτὸν ἐπίτροπ(ον), πῶς οὐ χρεωστεῖ τόκον. ὁ γὰρ τόκος οὐ διὰ κέρδο(ς) ἐπενοήθ(η) τοῦ ἐνάγοντο(ς), ἀλλὰ διὰ ὑπέρθεσι(ν) τοῦ καταβάλλοντο(ς). τὸ αὐτὸ καὶ ἐπὶ τοῦ μὴ λαβόντος διὰ τὸ ἀπεῖναι διὰ δημο(σίαν) χρείαν καὶ πάντων τῶν ἐξ εὐλόγου αἰτίας ἀποκαθισταμένων. καὶ πότ(ε) ἡ ἀγωγ(ὴ) τῆς μισθώ(σεως) τόκους ἀπαιτ(εῖ), τουτέστιν ἀπὸ συμφώ(νου) ἢ ὑπερθέ(σεως). καὶ πότε ὁ δημό(σιος) δίδω(σι) τόκους ἢ οὐ δίδω(σι). καὶ πότε καὶ αὐτὸς ἀπαιτ(εῖ). καὶ ὅτι ὁ τόκους ἐλαφροὺς χρεωστῶν ἰδιώτ(ῃ) ἡμιεκατοστιαίους δίδω(σι), μεθὸ τὸ χρέος αὐτοῦ εἰς τὸν δημό(σιον) περιέλθ(ῃ). καὶ ὅτι οἱ τὰ πολιτικὰ διοικοῦντες καὶ οἱ γενόμενοι κουράτ(ω)ρ(ες) τῶν ἔργων τόκ(ον) διδόασι τῶν παρ' αὐτοῖς μεινάντων χρημάτων, οὐ μὴν τῶν δοθέντων τοῖς ἐργολάβοις, κἂν ἀμελῶς δεδώκ(ασιν), εἰ μὴ ἄρα δόλ(ον) ἥμαρτ(ον). καὶ περὶ τοῦ παρακελευσαμ(έ)ν(ου) ἐπὶ τῇ πό(λει) στῆναι εἰκόνας ἢ ἀνδριάντας καὶ μὴ ὁρίσαντ(ος) χρόνον. καὶ μεθ' ὃν δίδοτ(αι) τόκος.*

---

3 ταῦτα σχεδὸν | 4 καταβάλλῃ | 35 δίδω

(18) *Καὶ περὶ ἐκνικηθ(έν)τ(ος) πράγματ(ος) τοῦ πραθ(έν)τ(ος) συμφών(ου) γενομένου κατ' ἀρχάς, ὥστε τὸν πράτ(ην) δοῦναι τὸ τίμημα, πῶς μετὰ τὴν ἐκνίκη(σιν) λαμβά(νει) τόκον. καὶ ἡ ζημία τοῦ μέσου χρό(νου) αὐτὸν ὁρᾷ. καὶ περὶ πράτ(ου) τελευτῶντος μετὰ παράδοσι(ν), πῶς τοῦ τιμήματος δίδω(σι) τόκ(ον), εἰ μὴ πολλάκις ἀποθή(σῃ). ζήτ(ει) καὶ τὸ ζ' κε. οὗ ἡ ἀρχή Ἐὰν μὴ θελήσαντο(ς) τοῦ δανειστοῦ δέξασθαι τὸ χρέος. καὶ κε. νζ'* (=58) *οὗ ἡ ἀρχή Ὁ δανεισάμενος ἐπὶ ἐλάττονι τόκῳ.* (19) *Καὶ ὅτι ὁ ψιλ(ὴν) δεσποτ(είαν) ἀπαιτῶν, ἐξ ὅτουπερ ἡ χρῆ(σις) τῶν καρπῶν φθαρῇ, λαμβά(νει) τοὺς καρπούς, ὁ δὲ χρῆ(σιν) τῶν καρπῶν ἀπαιτούμενο(ς) τοὺς καρπούς, οὓς ἔλα(βε), δίδω(σιν). ἐπὶ δὲ τῆς ἐσθῆτο(ς) καὶ τῶν σκευῶν καρπός ἐστιν, ὅσον ἠδύνατ(ο) μισθοῦσθαι. ζήτ(ει) | καὶ κε. μη'* (=49) *οὗ ἡ ἀρχή Καρπ(ὸς)* **118v**
πράγμ(α)τ(ός) ἐστι. (20) *Καὶ περὶ παρανόμ(ου) τόκου μιγέντος τῷ κε(φαλαίῳ).* (21) *Καὶ ὅτι ὁ εὐλόγως ὑπερτιθέμενος οὐ ποιεῖ ὑπέρθε(σιν), τυχόν, ὅτι πρὸ(ς) εὐλύτω(σιν) τοῦ χρέους ζητ(εῖ) φίλους ἢ ἐγγυητ(ὰς) ἢ προβάλλεται παραγρα(φή),* (22) *εἰ μὴ διὰ περιγρα(φὴν) προσποιεῖται* (23) *ἢ ἄφνω διὰ δημο(σίαν) χρείαν ἀπεδήμη(σε) μὴ δυνηθεὶς ἐᾶσαι διεκδικητ(ὴν) ἢ δέσμιος ἢ αἰχμάλωτ(ος) γέγονε. καὶ ὅτι ἔσθ' ὅτε καὶ πράγματι ὑπέρθε(σις) γίνεται, τυχὸν ἐὰν [ὁ] ἐναγόμενο(ς) οὐ φαίνεται.* (24) *Καὶ ὁ μὴ καταβαλὼν μέν, ἑτοίμως δὲ ἐναγόμενο(ς) οὐ ποιεῖ ὑπέρθε(σιν), εἴπερ δικαίαν αἰτίαν ἔχει. καὶ ὅτι τοῦ ἐναγομένου ὑπέρθε(σιν) ποιοῦντος καὶ ὁ ἐγγυητ(ὴς) ἐνέχεται. καὶ πότε γίνεται ὑπέρθε(σις) τῷ δανειστῇ, κἂν μὴ αὐτῷ γένηται, ἀλλὰ τυχὸν τῷ φροντιστῇ αὐτοῦ. ζήτει καὶ κε. κη'* (=27) *οὗ ἡ ἀρχή Ἡ γενομένη τῷ τελευτήσαντι. καὶ ὅτι ὁ τὸν ἀπ' ἐμοῦ κλέψαντα συλλαβὼν φροντιστής μου περιποιεῖ μοι τὴν φανερὰν κλοπήν. καὶ ὁ φροντιστὴς τῶν πραγμάτων μου ὀχλῶν τῷ ὁμολογήσαντί μοι δούλ(ῳ) διηνεκῆ μοι ποιεῖ τὴν περὶ ἐπερωτ(ήσεως) ἀγωγ(ήν).* (25) *Καὶ ὅτι ὁ εἰδὼς σὺν ἑτέρῳ κοινὸν ἔχειν ἀγρὸν καὶ τοὺς καρποὺς ἄκοντος ἢ ἀγνοοῦντο(ς) τοῦ κοινωνοῦ λαμβάνων οὐ δεσπόζει αὐτῶν, εἰ μὴ κατὰ τὸ ἀναλογοῦν αὐτῷ μέρο(ς). καὶ ὁ κακῇ πίστει νομεὺς τῶν ὁπωσοῦν σπαρέντων καρπῶν οὐ δεσπόζει. καὶ ὅτι ὁ καλῇ πίστει νομεὺς τοὺς καρποὺς λαμβάνων δεσπόζει αὐτῶν, κἂν ἄλλος αὐτοὺς ἔσπειρε. καὶ ποῖον δίκαιον ἔχει ἐπὶ τῇ λήψει τῶν καρπῶν. καὶ ὅτι ὁ βόνα φίδε ἀγρὸν ἢ οἰκέτην ἀγοράσας, κἂν ὕστερον τοῦτον γνῷ ἀλλότρ(ιον), εἰς τὸ γενέσθαι δεσπότ(ην) τῶν συναγομένων ἐκ τοῦ ἀγροῦ καρπῶν ἢ εἰς τὸ προσπορισθῆ(ναι) αὐτῷ οὐδὲν κωλύ(ει).* (26) *Καὶ ὅτι ἡ θήρα καρπὸς οὐκ ἔστι τοῦ ἀγροῦ, εἰ μὴ ἐξ αὐτῆς ὁ καρπὸς αὐτοῦ συνίσταται.* (27) *Καὶ ὅτι ἡ τῷ τελευτήσαντι γενομ(έ)ν(η) ὑπέρθε(σις) καὶ τοῖς κληρονόμ(οις) αὐτοῦ ἁρμό(ζει).* (28) *Καὶ ποῖα λέγονται τῶν πραγμάτων καρπ(οί). ὁ γὰρ ἄν(θρωπ)ος οὐκ ἔστι καρπό(ς).* (29) *Καὶ ὅτι εἴτε τόκ(ον) τις ὑπέρμετρον εἴτε τόκους τόκων ἐπερωτ(ήσει), τὸ παράνομ(ον) ἀφαιρεῖτ(αι) καὶ τὸ λοιπὸν ἀπαιτ(εῖ)τ(αι).* (30) *Καὶ ἀπὸ ψιλ(οῦ) συμφώ(νου) ταῖς πόλεσιν ἀπαιτ(εῖ)τ(αι) τόκ(ος).* (31)

Καὶ ὅτι τὸ χωρὶς δήλης ποσότ(η)τ(ος) ἐπερωτῆσαι τοὺς ἁρμόζοντας τόκ(ους) οὐδέν ἐστιν. ἐπὶ ἀργυροπρατικῶν συναλλαγμάτων παρορᾶται τὸ τοιοῦτον κε(φάλαιον). ἐκεῖ γάρ, εἰ μὴ προσθή(κη) ποσότ(η)τ(ος), διμοιραῖον λέγεται, ὡς τί. δ' κε. ε' ἐν τῷ τέλει τοῦ παρ(όν)τ(ος) βι. (=Ed. II, 738-9). (32) *Καὶ πότε ἀπὸ προσώπ(ου) καὶ οὐκ ἐκ πραγμάτων γίνεται ὑπέρθε(σις). ἡ δὲ ὑπέρθε(σις) οὐκ ἀπὸ νόμου ὁρίζεται, ἀλλ' ἀπὸ τῆς τοῦ δικαστοῦ δοκιμασίας. καὶ οὐκ ἀρκεῖ πρὸς ἀπόδειξιν τῆς ὑπερθέ(σεως) τὸ ὀχληθῆ(ναι) τὸν δοῦλον τοῦ ἀπόντ(ος) παρὰ τοῦ δανειστοῦ ἢ φροντιστοῦ αὐτοῦ. καὶ πότ(ε) καὶ ὀχληθεὶς ὁ χρεώστης καὶ ὑπερθέμενος οὐ δοκεῖ ὑπερτιθέναι. καὶ ὅτι ἐπὶ τῶν καλῇ πίστει ἀγωγῶν ἀπὸ ὑπερθέ(σεως) χρεωστεῖται τόκος. καὶ ἔνθα υἱοῦ συναλλάξαντος ὁ πατὴρ ἐνάγεται. καὶ εἰ ὁ υἱὸς ἢ ὁ πατὴρ ποιή(σῃ) ὑπέρθε(σιν), πότε λέγεται εἶναι ὑπέρθε(σις) ἢ μή. καὶ ὅτι ἐπὶ δύο ἐναγομένων καὶ ὁμολογησάντων ἡ ἑτέρου ὑπέρθε(σις) τὸν ἕτερον οὐ βλάπτει. ζήτ(ει) καὶ τοῦ κβ' βι. τί. ε' κε. κη' οὗ ἡ ἀρχή Ὁ ὅρκο(ς) ὁ <ἐ>παχθεὶς παρ' ἑνὸς τῶν δύο ἁμοῦ. καὶ ὅτι, ἐὰν ὁ ἐγγυητ(ὴς) μόνος ὑπέρθε(σιν) ποιή(σῃ), τόκους οὐκ ἀπαιτ(εῖ)τ(αι) ἀπὸ τῆς ἰδίας ὑπερθέ(σεως), ὥσπερ ἐὰν τὸν ὁμολογηθ(έν)τ(α) δοῦλον φονεύσῃ, οὐτιλίᾳ δὲ ἀγωγῇ ἐνέχεται.* (33) *Καὶ πε(ρὶ)* | 119r *τοῦ ἐὰν καλῶς δανεισθῶ(σι) τὰ πολιτικὰ χρήμ(α)τ(α) καὶ οἱ τόκ(οι) καταβάλλωντ(αι) ἢ οὐ καταβάλλωνται.* (34) *Καὶ ὅτι οἱ τόκοι τάξιν ἐπέχουσι καρπῶν καὶ οὕτω φυλάττεται ἐν τοῖς ληγάτοις καὶ ἐν ταῖς ἀποκαταστάσεσι καὶ τῇ κατὰ τῶν ἐπιτρόπων ἀγωγ(ῇ) καὶ ταῖς λοιπαῖς καλῇ πίστει ἀγωγ(αῖς). τὸ αὐτὸ καὶ ἐπὶ τῶν λοιπῶν προσθηκῶν.* (35) *Καὶ μετὰ προκάταρξιν τρέχει ὁ τόκ(ος).* (36) *Καὶ ὅτι τὰ ἐνοίκια καρπός ἐστι.* (37) *Καὶ περὶ διοικοῦντος τὰ πράγματά μου καὶ δανεισαμένου καὶ καταβαλόντο(ς) δανειστῇ μου, πῶς, οὓς δίδω(σι) τόκ(ους), λαμβάν(ει) καὶ ἐξ ἐμοῦ, εἰ δ' οἴκοθ(εν) δέδωκ(ε), τοὺς ἐν τῷ κλίματι συχνάζοντας λαμβά(νει).* (38) *Καὶ ὅτι καὶ ἐπὶ τῶν προσωπικῶν ἀγωγῶν ἀπαιτοῦνται καρπ(οί), ὡς, ὅταν ἀγρὸ(ς) ἐν προικὶ δοθῇ καὶ μὴ γένωνται οἱ γάμοι. καὶ ποίους δηλαδὴ ἀπαιτεῖται καρποὺς ὁ ἀνήρ. καὶ ὅτι καὶ ὁ μὴ χρεωστῶν καταβαλὼν ἀγρὸν ἢ θανάτ(ου) αἰτ(ίᾳ) δωρησάμενος ἀπαιτεῖ καρπούς. καὶ ἡ πρὸς περιγρα(φὴν) τῶν δανειστῶν ἀνακαλουμένη ἀγωγ(ὴ) τὰ ἐκποιηθ(έν)τ(α) μεθοδεύει καρπ(ούς). καὶ ὅτι τὸ ῥῆμα τῆς ἀποκαταστάσεως καὶ καρποὺς σημαίνει καὶ ἐπὶ τῆς περὶ βίας παραγγελίας. καὶ ὅτι ὁ κατὰ φόβον παραδεδωκὼς πρᾶγμα οὐ δοκεῖ λαμβάνειν αὐτό, εἰ μὴ καὶ τοὺς καρποὺς λά(βῃ) καὶ οὐ ζημιοῦται ἐκ τῆς ἰδίας ὑπερθέ(σεως). καὶ ὅτι ἡ ἐξστιπουλ(ά)τ(ου) οὐκ ἀπὸ ὑπερθέ(σεως), ἀλλὰ μετὰ προκάταρξιν ἀπαιτεῖ καρπούς. καὶ ὅτι*

---

15 *ὁ ὅρκος ἐπαχθεὶς* Ed.

---

20 *λεγάτοις*

ἢ ἐξ ἔμπτο ἀπαιτ(εῖ), καὶ ἐπὶ τῆς κοινωνίας κοινοποιοῦνται. σὺ δὲ γίνωσκε, ὅτι ἐξ ὧν ἐν τῷ παρόντι τί. ἀνέγνων, συνάγεται, ὅτι αἱ βόνα φίδε ἀγωγ(αὶ) τόκους μὲν τοὺς μετὰ μόραν, σπανίως δὲ καὶ τοὺς πρὸ μόρας, καρποὺς δὲ τοὺς ὁτεδήπ(ο)τ(ε) ληφθέντας ἀπαιτοῦσιν, αἱ δὲ στρίκται τόκους μὲν τοὺς μετὰ μόραν, καρποὺς δὲ τοὺς μετὰ προκάταρξιν. καὶ περὶ τοῦ ἐὰν τῆς δεσποτ(είας) οὔσης ἐμῆς τὴν φυσικὴν ἀπαιτῶν νομήν, ὡς ἐπὶ παραθήκ(ης) καὶ τοῦ ἐν χρή(σει) δοθ(έν)τ(ος), λαμβά(νω) καρπ(ούς). καὶ ἐπὶ τοῦ βίᾳ ἢ λάθρ(ᾳ). καὶ περὶ τοῦ ὑπερθεμένου διελέσθαι τὸν κοινὸν ἀγρόν, εἰ ἐγὼ γεωργήσω, πῶς μεριζόμεθ(α) τοὺς καρποὺς ἐξαιρουμένης τῆς δαπάνης. ζήτ(ει) καὶ κε. με′ (=46) οὗ ἡ ἀρχὴ Τὸ δαπανώμενον. καὶ ὅτι ἐπὶ τῶν λοιπῶν καλῇ πίστει ἀγωγῶν πάντες οἱ καρποὶ δίδονται. ζήτ(ει) καὶ βι. ιδ′ τί. α′ κε. ι′ θε. β′ οὗ ἡ ἀρχὴ Ὁ διοικητής μου τῶν ὄντων παρ᾽ αὐτῷ χρημάτων. (39) Καὶ περὶ ἵππων ληγατευθέντων, πῶς ἀπὸ ὑπερθέ(σεως) ἡ γυνὴ κεχρεώστηται, ἱπποφορβίου δὲ ἢ ἀγέλης ληγατευθ(εί)σ(ης) καὶ χωρὶς ὑπερθέ(σεως) ἡ γυνὴ δίδοτ(αι). (40) Καὶ ὅτι, μέχρις οὗ πραθ(ῇ) τὸ ἐνέχυρον, ὁ τόκος ψηφίζεται. (41) Καὶ ὅτι ὁ τῇ ἐκκλήτῳ δικάζων τῆς κατὰ τοῦ ἐπιτρόπ(ου) ἀγωγῆς, ἐὰν εὕρῃ δι᾽ ὑπέρθε(σιν) τὸν ἐπίτροπ(ον) ἐκκαλεσάμενον, δύναται καταδικάζειν αὐτὸν εἰς τοὺς τόκους τοῦ μέσου χρό(νου). καὶ περὶ δανειστοῦ θέλοντος τὸ πᾶν λαβεῖν, εἰ ὁ χρεώστης μέρος προσαγά-γ(ῃ) καὶ μὴ δεχομένου αὐτὸς σφραγίσῃ καὶ ὑπόθητ(αι), πῶς οὐ κουφίζεται τῶν τόκων, εἰ μὴ ἄρα ἐπὶ τῷ μερικῶς καταβληθῆναι ἐδανείσατ(ο). ζήτ(ει) καὶ τοῦ παρ(όν)τ(ος) βι. τί. α′ κε. κα′ οὗ ἡ ἀρχὴ Φιλαγάθως ἀναγκάζεται ὁ ἐνάγων ἐν μέρει. καὶ ὅτι, ἐὰν συμφωνή(σω) δοῦναι τὸ δάνειον μετὰ τῶν συνδοξάντων τόκων καὶ μή ἐστι δῆλον, περὶ ποίων συνεφωνήθ(η), οὐκ ἀπαιτοῦνται. (42) Καὶ ὅτι οἱ μετὰ τὸ προσπορισθῆ(ναι) τὴν δεσποτ(είαν) τοῦ ληγάτ(ου) ἐκ τῆς γῆς λαμβανόμενοι καρποὶ τῷ ληγατ(α)ρ(ίῳ) διαφέρουσιν, εἰ καὶ τὸ πλεῖστον τοῦ ἐνιαυτοῦ | 119′ μέρος ἐξῆκε πρὸ τῆς προχωρή(σεως). (43) Καὶ περὶ τοῦ ἐὰν τῷ δημο(σίῳ) καταβαλὼν ἐκχωρηθῶ τὸ χρέος σου, πότ(ε) ἀπαιτῶ σε τόκους καὶ πότ(ε) οὔ. (44) Καὶ ὅτι ἀντὶ τόκων οὐκ ἔξεστι ποινὴν ἐπερωτᾶν ὑπὲρ τὸν νόμιμον τόκον. ζήτ(ει) καὶ κε. ξβ′ (=63) οὗ ἡ ἀρχὴ Οὐ δύναταί τις πρόστιμον ἐπερωτᾶν. καὶ κε. ξθ′ (=70) οὗ ἡ ἀρχὴ Ὁ μὲν τόκο(ς) ἀπὸ συμφώνου. (45) Καὶ περὶ καρπῶν ληφθέντων ἐξ ὧν ἀλλήλοις ἐδωρή(σα)ντ(ο) συνοικοῦντες πραγμά(των) καὶ τῶν ἐν αὐτοῖς καρπῶν, καὶ ποῖοι κερδαίνονται ἢ μή. (46) Καὶ ποῖα μειοῦσι τοὺς καρπούς, ὡς τὰ καταβληθέντα εἰς τὴν συλλογὴν τῶν καρπῶν. ζήτ(ει) καὶ κε. λη′ θέ. η′ (=5) οὗ ἡ ἀρχ(ή) Καὶ ἐπὶ τοῦ βίᾳ ἢ λάθρ(ᾳ). (47) Ὁ ἕτοιμος ὢν ἐναχθῆναι οὐ ποιεῖ ὑπέρθε(σιν). (48) Καὶ περὶ τοῦ ἐὰν ἐληγάτευσα τῇ γυναικί μου χρῆ(σιν) τῶν καρπῶν τοῦ τρίτ(ου) τῆς οὐσίας μου καὶ δεσπο-

---

1-5 excursus de usuris et fructibus desideratur in Editione

τ(είαν) ὑπὸ αἵρε(σιν) τήν · εἰ σχοίη παῖδας, καὶ τῶν κληρονόμων πε(ρὶ) πλαστοῦ καὶ ἄλλων ἐγκλημάτων κατηγορησάντων αὐτῆς, ἐπεσχέθη ἡ τοῦ ληγάτ(ου) ἀπαίτ(ησις). καὶ ἐν τῷ μεταξὺ τέτοκ(ε) παῖδα καὶ ἀπελύθ(η) τοῦ ἐγκλήμ(α)τ(ος), λαμβά(νει) καὶ τοὺς καρπούς. (49) *Καὶ ὅτι καρπ(ὸς) πράγματ(ός) ἐστι καὶ τὸ δύνασθαι ἐνεχυράζειν αὐτό.* (50) *Καὶ ὅτι, κἂν ἄγρα(φος) ἐπερώτ(ησις) γένηται περὶ τόκων, ἔρρωτ(αι). ζήτ(ει) τὸν δ' τί. ἓν κε.* (= Ed. II, 738,56). *φη(σὶ) γάρ, ὥσπερ διαβάλλ(ει) τοὺς λέγοντ(ας), ὅτι τόκ(ος) ἀνεπερωτητ(έος) οὐκ ἀπαιτ(εῖ)τ(αι) καί φη(σι) δημῶδες τυγχάνειν τὸ τοιοῦτον. καὶ ὅτι ἐν πολλοῖς θέμα(σιν) ἀπαιτ(εῖ)τ(αι), ὅπερ δίδοτ(αι) καὶ τοῖς ἀργυροπράτ(αις).* (51) *Καὶ ὅτι ὁ ἀγοραστὴς μὴ προσενεγκὼν τῷ πράτ(ῃ) τὸ τίμημα, κἂν τὰ μάλιστα ἐσφράγισεν αὐτὸ καὶ ἀπέθετ(ο), ὅμως τόκους δίδω(σι) τοῦ τιμήματ(ος), ἐὰν ἔλα(βε) τὸ πρᾶγμα. ζήτ(ει) καὶ κε. ξς'* (=67) *οὗ ἡ ἀρχή Ὁ χρεώστης βουλόμενος προσαγαγεῖν τὸ χρέος καὶ στῆσαι τοὺς τόκους.* (52) *Καὶ ὅτι οἱ ἀπὸ συμφών(ου) τόκ(οι) καταβληθέντες οὐ δύνανται ἀναλαμβάνεσθαι οὐδὲ εἰς κεφάλαιον καταλογίζονται, μὴ καταβληθέντες δὲ οὐκ ἀπαιτοῦνται. ζήτ(ει) κε. ἐναντ(ίον) ἐκ φάκτ(ου) ξε' οὗ ἡ ἀρχή Ὁ μὴ κεχρεωστημένος τόκος, εἰ μὲν πρὸ τοῦ κε(φαλαίου) καταβληθῇ.* (53) *Καὶ ὅτι τὸ δοθὲν ἐπί τινι ἐνέχυρον οὐ παρακρατεῖται ἐπὶ τοῖς τόκοις, χωρὶς συμφών(ου) δηλονότι, εἰ μὴ ἔγκαρπό(ς) ἐστιν. εἰ δὲ σύμφω(νον) προβῇ, καλῶς διακατέχετ(αι) καὶ ἐπὶ τοῖς συμφωνουμένοις τόκοις τὸ ἐνεχυραζόμενον.* (54) *Καὶ ὅτι ὁ μείζονα τόκον ἐπερωτηθείς, τουτέστι ἡμιεκατοστιαῖον, ἐλάττονα δὲ καταβαλὼν ἐπὶ πολὺν χρόνον, τουτέστιν ἀπὸ τρίτ(ου) δωδεκάτ(ου) ἑκατοστῆς, ὅ ἐστιν πενταούγκιον, δοκεῖ σιωπηρῶς σύμφωνον ἔχειν τοιοῦτον, ὥστε ἐλάττονα τόκον καταβαλεῖν. ζήτ(ει) καὶ κε. ιγ' οὗ ἡ ἀρχή Ὁ προσομολογήσας ἡμιεκατοστιαῖον. ζήτ(ει) καὶ κε. νς'* (=57) *οὗ ἡ ἀρχή Ὁ δανειστὴς ἐπί τινα χρό(νον) ἐλάττονας τόκους λαβών.* (55) *Καὶ περὶ δανειστοῦ, [ἐὰν] προσαγομένου αὐτῷ τοῦ χρέους ἀνελλιπῶς μετὰ τῶν τόκων παρὰ τοῦ χρεώστου μαρτύρων παρόντων μὴ βουληθ(ῇ) δέξασθαι, ὁ δὲ μετὰ τὸ προσαγαγεῖν σφραγίσας ἀπόθητ(αι). εἰ δὲ ἄπεστι(ν) ὁ δανειστής, δεῖ τῷ ἄρχοντι προσιέναι. ζήτ(ει) καὶ τὸ ξς'* (=67) *κε. οὗ ἡ ἀρχή Ὁ χρεώστης βουλόμενος προσαγαγεῖν τὸ χρέος.* (56) *Καὶ ὅτι ὁ δανειστὴς ὀφείλ(ει) δεικνύειν, ὅτι χρεωστεῖται κε(φάλαιον), οὐ μὴν ἀλλὰ καὶ τόκους. εἰ γὰρ πρὸ(ς) καιρὸν λάβῃ τοὺς μὴ δόξαντας τόκους, οὐ προκριματίζει τὸν χρεώστην εἰς τὸ μετέπειτα.* (57) *Καὶ ὅτι ὁ δανειστὴς ἐπί τινα χρό(νον) ἐλάττονας τόκους λαβὼν πρόκριμα πάσχει ἐπὶ τοῖς ἐπερωτηθ(εῖ)σ(ι) τόκοις. καὶ ἀνά(γνωθι) τὸ θέμα.* (58) *Καὶ περὶ τοῦ δανεισαμένου ἐπὶ ἐλάττονι τόκῳ καὶ συμφωνήσαντος μείζονα τόκον ἐξ ἀγνωμοσύνης, ἐὰν μὴ*

---

3 *λεγάτου* | 6-10 *ζήτ(ει)* — *ἀργυροπράτ(αις)* in margine sine signo | 35 *πάσχῃ*

αὐτό(ς) ἀγνωμονή(σῃ), ἀλλὰ βουληθ(ῇ) προσαγαγεῖν, ὁ δὲ δανειστὴς μὴ δέξηται. καὶ πε(ρὶ) τοῦ ἐὰν σφραγίσῃ τὸ κε(φάλαιον) καὶ ἀπόθητ(αι). (59) Καὶ ὅτι καρπῶν δανειζομένων δύναται | καὶ <ὁ> ἀπὸ συμφώ(νου) τόκ(ος) **120r** ἀπαιτεῖσθαι. ζήτ(ει) καὶ κε. λ' οὗ ἡ ἀρχὴ Ἀπὸ ψιλοῦ συμφών(ου). (60) Καὶ ὅτι οἱ ἐκ τοῦ ἐνεχυριασθέντ(ος) ἀγροῦ λαμβανόμενοι καρποὶ κουφίζουσι τὸ χρέος. (61) Καὶ περὶ τῶν καλῇ πίστει ἀγωγῶν, πῶς ὀφφικίῳ τοῦ δικαστοῦ καταφέρονται οἱ τόκοι. ἐὰν δὲ ὁ δικαστὴς μὴ καταδικά(σῃ) εἰς τόκους καὶ μὴ παρακολουθ(ήσῃ) ἔκκλητος, ἀπόλλυτ(αι) ὁ τόκος. οὐδεμία γάρ ἐστιν ἀγωγ(ὴ) περὶ αὐτοῦ. (62) Καὶ περὶ τοῦ λαβόντος οἶκον εἰς ἐνέχυρον, ἐφ' ᾧ ἀντὶ τόκων καταμένειν ἐν αὐτῷ. καὶ εἰ καὶ πλέον τοῦ νομίμου τόκου τὸ ἐνοίκ(ιόν) ἐστι, πῶς ἰσχύει. εἰ δὲ μισθώσας ἑτέρῳ τὸν οἶκον λαμβά(νει) τὸ μίσθωμα, πότε, εἴ τι ὑπὲρ τὸν νόμιμον τόκον δυνηθῇ λαβεῖν, τοῦτο εἰς κε(φάλαιον) λογίζεται τῷ χρεώστῃ. (63) Καὶ ὅτι οὐ δύναταί τις πρόστιμον ἐπερωτᾶν ὑπὲρ τὴν τῶν νομίμων τόκων ἀπαίτ(ησιν). ἀνά(γνωθι) καὶ κε. ξθ' (=70) τούτ(ου) τοῦ τί. οὗ ἡ ἀρχὴ Ὁ μὲν τόκος ἀπὸ συμφών(ου). (64) Καὶ περὶ τοῦ ἐάν τις νομίσματα δανείσας καὶ βουλόμενος πλείονα τόκον λαβεῖν καὶ εἰδώς, ὅτι ἐπὶ τῶν καρπῶν ἔξεστι μείζονα τόκον ἐπερωτῆσαι, τὸ χειρόγρα(φον) οὐχ ὡς νομισμάτων δανεισθέντων, ἀλλ' ὡς καρπῶν παρεσκεύασε γενέσθαι, ἄχρηστόν ἐστι τὸ συνάλλαγμα ὡς κατὰ περιγρα(φὴν) τῶν νόμων γενόμενον. (65) Καὶ ὅτι διὰ τὴν τῶν καρπῶν ἀδηλίαν τὸν συμφωνήσαντα ἀντὶ τόκων λαμβάν(ειν) καρπ(οὺς) κερδαίνει, κἂν πλείονας λά(βῃ) καρπούς. (66) Καὶ περὶ μὴ κεχρεωστημ(έ)ν(ου) τόκου, πῶς, εἰ μὲν πρὸ τοῦ κε(φαλαίου) καταβληθ(ῇ), καταλογίζεται εἰς κε(φάλαιον), εἰ δὲ μετὰ τὸ κε(φάλαιον), ἐπειδὴ οὐκ ἔχει, εἰς τί καταβληθῆναι, ἀναλαμβάνεται. (67) Καὶ περὶ χρεώστ(ου) βουλομένου προσαγαγεῖν τὸ χρέος καὶ στῆσαι τοὺς τόκους, πῶς ὀφείλ(ει) διαμαρτύρασθαι τὸν δανειστὴν καὶ οὕτως προσαγαγεῖν καὶ μετὰ τὴν προσαγωγὴν ἀποθέσθαι ἐν δημο(σίῳ) τόπῳ. δημό(σιον) δὲ τόπον καλεῖ ἢ τοὺς εὐκτηρίους τόπους ἢ ὅπου ὁ ἄρχων κελεύσει ταῦτα ἀποτεθῆν(αι). καὶ λύεται τὸ ἐνέχυρον καὶ ὁ κίνδυνος τῶν ἀποτεθέντων τοῦ δανειστοῦ ἐστι. (68) Βοηθεῖται δὲ καὶ ὁ πρωτότυπος καὶ ὁ ἐγγυητὴς αὐτοῦ. (69) Καὶ περὶ τοῦ ἐὰν ὁ χρεώστης κεφάλαιον καὶ τόκον καταβαλὼν μὴ ἐμνημόνευσεν, ἐπὶ τίνι καταβάλλ(ει), ὁ δανειστής, εἰ θέλει, εἰς τόκ(ον) καταλογίζεται μόνον τὸ καταβληθέν. ζήτ(ει) καὶ βι. κε' τί. α' κε. λε' (=34) οὗ ἡ ἀρχὴ Ἡ τιμὴ τοῦ πραθέντο(ς) ἐνεχύρου. καὶ τί. ζ' κε. κβ' οὗ ἡ ἀρχὴ Ἐὰν ἀνδράποδ(ον) ἐδόθ(η) εἰς τὸ ἐνέχυρον. καὶ βι. κϛ' τί. ε' κε. ρζ' (=109) οὗ ἡ ἀρχὴ Ἐάν τις ἀπὸ πολλῶν συναλλαγμάτων χρεωστῇ. (70) Καὶ ὅτι ὁ τόκ(ος) ἀπὸ συμφών(ου) διὰ παρακατασχέσεως ἐνεχύρων λαμβάνεσθαι παρὰ

---

4 καὶ ἀπὸ ψ. συμφ. Ed. | 16 τις ii | 18 ὡς ii | 35 εἰς ἐνέχυρον Ed.

---

21 κερδαίνειν

τοῦ δανειστοῦ δύναται. ἐὰν δὲ ἀντὶ τόκ(ου) πρόστιμον συμφωνή(σῃ), οὐδὲ ἀγωγὴν ἔχει ἀπὸ τοῦ συμφών(ου), ἀλλ' οὐδὲ παρακατάσχεσιν. (71) *Καὶ ὅτι ἐπὶ καρπῶν δανειζομένων ἔξεστι καὶ πλείονα τόκον ἐπερωτᾶν διὰ τὸ τῶν καρπῶν ἄδηλον.* (72) *Καὶ ἡ μ(ήτ)ηρ διοικοῦσα τὰ τῶν παίδων πράγματα τόκους ἀπαιτεῖται ὡς πᾶς ἄλλος διοικητ(ής).* (73) *Καὶ ὅτι οὐ μόνον ἐπὶ χρυ(σίου) δανειζομένου, ἀλλὰ καὶ ἐπὶ ἀργύρου καὶ ἐπὶ ἐσθῆτος ἀπαιτεῖται νόμιμος τόκος, ἐὰν προβῇ χειρόγραφον.* (74) *Καὶ ὅτι ἡ ἐπὶ τῷ κε(φαλαίῳ) καὶ τῷ τόκῳ προσωπικὴ ἀγωγ(ὴ) τῇ τριακονταετίᾳ φθείρεται, ὁμοίως καὶ ἐπὶ καρπῶν. καὶ περὶ τόκ(ων) τῶν ὀφειλόντων δίδοσθαι ἑκάστῳ προσώπῳ καὶ ἐπερωτᾶσθαι ἤ(γουν) συγκλητικ(οῖς) ἐμπόροις, ἀργυροπρά-τ(αις), ναύτ(αις).* (75) *Καὶ ὅτι τόκους οὐδεὶς ἀπαιτεῖ. ζήτ(ει) καὶ βι. κε' τί. β' [κε. νθ'] οὗ ἡ ἀρχὴ Ὁ δεύτ(ε)ρ(ος) δανειστὴς ἐν τῷ προ(σ)φέρειν* | *τὸ* **120v** *χρέος.* (76) *Καὶ ὅτι ὁ δανείζων γεωργῷ μὴ λαμβανέτ(ω) εἰς ὑποθ(ήκην) τὴν γῆν αὐτοῦ, τόκον δὲ ἀπαιτείτω αὐτόν, ἐπὶ μὲν καρπῶν ὀγδόην μοῖραν, ἐπὶ δὲ χρυ(σίου) κατὰ ε' νομίσματα κεράτιον ἕν. καὶ ἐὰν λά(βῃ) τοιοῦτον τόκ(ον), ἀναγκαζέσθω ἀποδιδόναι, ὅσα ἔσχεν ἐνέχυρα παρ' αὐτοῦ, κἂν γῆ, κἂν βο-σκήματ(α), κἂν ἀνδράποδ(α) εἴη. ὁ γὰρ παρὰ τὰ εἰρημένα γεωργῷ δανείζων καὶ τοῦ χρέ(ους) ἐκπίπτει. μὴ λάθ(ῃ) σε ὁ τοῦ κε' βι. τί. ς', ὅστις τοῖς δα-νεισταῖς δίδω(σι) προσκύρωσιν τῶν στρατειῶν τῶν ἐκ τοῦ γένους πάντων τοῦ στρατιώτου ἐκλιπόντων. ζήτ(ει) καὶ βι. κε' τί. ε' κε. κη'* (=26) *οὗ ἡ ἀρχή Ἐὰν ὁ ἐκβιβαστὴς προφά(σει) χρέους λά(βῃ) τινὸς γεωργόν. καὶ κε. κθ'* (=27) *οὗ ἡ ἀρχή Οὐδὲν τῶν εἰς γεωργίαν ἐπιτηδείων.* (77) *Καὶ μηδένα παντελῶς ἐνεχυριασμὸν γίνεσθαι ἔν τινι τόπῳ ἢ ἐν πανηγύρεσι μήτε στρεβλοῦ(σθαι), ἐπεὶ δίδω(σιν) ἐν τετραπλῷ, ὃ ἔλα(βε), καὶ ἐκπίπτει τῆς αὐτοῦ ἀγωγῆς καὶ σωματικῶς τιμωρεῖται. περὶ ἐνεχυριασμ(οῦ) ἀλληλεγγύου, ζήτ(ει) καὶ βι. νς' τί. α'. εἰ δέ τις ἄρχων ῥαθυμή(σῃ) περί τι τῶν εἰρημένων, ὑπομένει βασιλ(ικὴν) ἀγανάκτη(σιν).* (78) *Καὶ ὅτι οἱ κατὰ μικρὸν καταβαλ-λόμ(ε)ν(οι) τῷ διπλῷ σύμψηφίζονται, κἂν μὴ καθάπαξ ὑφ' ἓν κατεβλή-θησαν.* (79) *Καὶ ὅτι πᾶσα θεία καὶ βασιλικὴ ἑρμηνεία ἰσχὺν ἔχει νόμου. καὶ περὶ τῶν λαβόντων χρυ(σίον) πό(λεως), ἐφ' ᾧτε ἀντ' αὐτοῦ διδόναι τι τέλος τῇ πό(λει), τούτους ἀναγκάζεσθαι μέχρις ἂν ἔχοιεν τὸ χρυσίον, εἰσφέρειν τὸ ὑπὲρ αὐτοῦ συμπεφωνημένον ὑπὲρ ἑκάστου ἔτους μὴ κεχρημέν(ους) τῇ παρούσῃ ἡμῶν διατά(ξει) ὡς ἐκείνης ἐπὶ δανειστ(ῶν) γραφείσης, ταύ-*

---

21 *ἐὰν ἐκβιβ... λάβῃ γεωργόν* Ed. | 26-27 excursus de magistratu desideratur in Ed.

---

1 *δύνανται* | 15 *ε' νν* | 19 *στρατιῶν* | 22 *καὶ ὅτι μηδένα* | 24 *στρε-τ'βλου* | 26 *περὶ — τί α'* in marg. sine signo

της δὲ περὶ πό(λεως) τῆς ἐν ἴσῳ τοῖς δημο(σίοις) κηδομέν(ης). περὶ τοίνυν τῶν κατ' ἔθος τοῦ κλίματος τόκων ζήτ(ει) βι. β' τί. γ' κε. λδ' οὗ ἡ ἀρχή Καὶ ἐν τῇ ἐπερωτή(σει) καὶ ἐν τοῖς λοιποῖς συναλλάγμα(σι). περὶ δὲ τοῦ, ὅτι ὁ δανεισάμενος καὶ μὴ ὀχληθεὶς ὀφείλ(ει) καταβάλλειν καί, εἰ μέρος καὶ μὴ ὁλόκληρον καταβάλῃ, ὑπόκειται τῇ ποινῇ, ζήτ(ει) βι. νβ' τί. α' κε. κβ' οὗ ἡ ἀρχή Ἐάν τις δανεισάμενος διαπόντιον. ζήτ(ει) καὶ τοῦ παρ(όν)τ(ος) κγ' βι. τί. α' κε. ς' (=5) οὗ ἡ ἀρχή Ὁ χρεωστῶν μοί τι, ἐὰν ἐμποδίσῃ δοῦναι αὐτό. ζήτ(ει) καὶ βι. β' τί. β' κε. ριζ' (=114) οὗ ἡ ἀρχή Ὁ καταβάλλων, εἰς ὅσον ἦν ἡ ἀγωγ(ή). καὶ βι. λη' τί. η' κε. θ' οὗ ἡ ἀρχή Οἱ στρατηγοὶ καὶ εἰς τόκους ὑπόκεινται. καὶ βι. κδ' τί. α' κε. ιβ' οὗ ἡ ἀρχή Ὁ δωρησάμενος θανάτ(ου) αἰτίᾳ. καὶ κε. ιη' (=17) οὗ ἡ ἀρχή Μὴ ἐξέστω τῷ δανειστῇ ἀπαιτεῖν τὸν χρεώστην. καὶ τί. β' κε. νζ' οὗ ἡ ἀρχή Ὁ δανειστὴς οὐ συνωθεῖται εἰς τὸ ἀπαιτῆσαι τὸ χρέος. καὶ τί. γ' κε. η' οὗ ἡ ἀρχή Ἐὰν ὁ χρεώστης ἄτοκον ἔχῃ τὸ χρέος. καὶ βι. λ' τί. α' κε. κα' (=20,1) οὗ ἡ ἀρχή Ἐὰν γυνὴ τόκ(ον) ἐπηρώτ(ησε) τῆς προικός. καὶ βι. νδ' τί. ι' κε. β' (=2, 7) οὗ ἡ ἀρχή Ὁ εἰς ὁλόκληρον ἐγγυησάμενος τὸν μισθωσάμενον πολιτικὰ τέλη. καὶ βι. νς' τί. α' κε. θ' θέ. γ' (=1) οὗ ἡ ἀρχή Μὴ καταβαλόντες ἐμπροθέσμως οἱ τελῶναι. καὶ τί. β' κε. ς' θέ. α' οὗ ἡ ἀρχή Ὁ δημό(σιος) καὶ τόκ(ον) ἀπαιτ(εῖ). καὶ τί. ς' κε. ιδ' οὗ ἡ ἀρχή Οὐδεὶς ἀπαιτεῖται τόκ(ον). καὶ μάλιστα τὸ ιε' κε. οὗ ἡ ἀρχή Ὥσπερ ὁ ἰδιώτ(ης) ἐνέχυρον δεδωκὼς ἀπαιτεῖ καὶ τοὺς ἀπὸ συμφών(ου) τόκους. καὶ κε. ις'. περὶ δὲ καρπῶν ζήτ(ει) βι. β' τί. γ' κε. ο' (=72) οὗ ἡ ἀρχή Καρπὸς πράγματός ἐστι. καὶ βι. λε' τί. α' κε. κ' (=22) θέ. ζ' (=1) οὗ | ἡ ἀρχή Εἰ μὴ προστεθ(ῇ) ποιό- **121**r
της τῶν ληγατευθ(έν)τ(ων) νούμμων, τὸν στοχασμὸν αὐτῶν λαμβάνομεν. καὶ τί. ια' κε. ιθ' (=18) οὗ ἡ ἀρχή Ἐν τῇ ἀποκαταστά(σει) τῆς κληρονομ(ίας). καὶ κε. κγ' (=22) θέ. γ' (=2) οὗ ἡ ἀρχή Ἐπὶ τῶν χωρὶς αἱρέ(σεως) ἀποκαταστά(σε)ων. καὶ κε. κη' (=27) θέ. α' (=0) οὗ ἡ ἀρχή Ἐὰν ἀναγκασθεὶς ὁ κληρονόμος. καὶ κε. ξ' (=55) καὶ τὰ ἐν αὐτῷ θέματα, οὗ ἡ ἀρχή Αἱ ἀγωγαὶ διὰ τῆς ὑπεισελεύσεως τῆς κληρονομίας. καὶ κε. ξα' (=56) θέ. α' οὗ ἡ ἀρχή Γυνὴ δοῦσα προῖκα συνεφώνησε. καὶ κε. μς' (=41) θέ. α' οὗ ἡ ἀρχή Ἐν τῇ ἀποκαταστάσει τῆς κληρονομίας καὶ οἱ τόκοι. Καὶ κε. νθ' (=54) οὗ ἡ ἀρχή Ἐὰν ἀξιώσω τὸν κληρονόμον μου τὸ περιερχόμενον εἰς

---

3 *τοῖς συναλλάγμ.* Ed. | 8-9 *καταβαλών, εἰς ὃ* Ed. | 10 *τόκους ἐνέχονται* Ed. | 18-19 in fragm. tit. 2 libri 56 Editio habet initium cap. 6 ex scholio Basil. 23, 3, 17 haustum : *Ἐὰν τὸ δημόσιον ἰδιώτην διαδέξηται...* ; sententia fragmentorum convenit cum initio citato | 21 cap. 16 tit. 6 libri 56 deest in fragm. Ed. | 31-32 verba cum fragm. Ed. non congruunt, congruunt cum Suppl. p. 163.

---

31 *τοκετοὶ*

αὐτόν. καὶ κε. ξε' (=60) θέ. ε' οὗ ἡ ἀρχὴ Ἐάν τις ἀξιωθ(ῇ) λαβεῖν νομίσματα ποιοῦντα τὸ τρίτ(ον) τῆς κληρονομ(ίας). καὶ τί. ις' τοῦ αὐτοῦ λε' βι. κε. κη' (=26) οὗ ἡ ἀρχὴ Οἱ κληρονόμοι μὴ ἐκδικήσαντες τὸν φόνον τοῦ βιαίως τελευτήσαντος. καὶ βι. μα' τί. ζ' κε. ιζ' (=15) οὗ ἡ ἀρχὴ Ἡ θυγάτ(η)ρ μετὰ λύ(σιν) τοῦ γάμου ὑπέρθε(σιν) μετὰ τὴν συνεισφοράν. καὶ βι. μβ' τί. α' κε. κ' θέ. β' (=1) οὗ ἡ ἀρχὴ Ἐὰν ἀγρὸν κληρονομιαῖον πωλή(σῃ). καὶ θέ. δ' καὶ ε', ιγ'. καὶ κε. κς' οὗ ἡ ἀρχὴ Αἱ γοναὶ τῶν θρεμμάτων. καὶ κζ' καὶ κε. λδ' (=36) θέ. δ' (=5) οὗ ἡ ἀρχὴ Καρπὸς νοεῖται ὁ μετὰ ὑπεξαίρε(σιν). καὶ κε. λζ' οὗ ἡ ἀρχὴ Ὁ δὲ καλῇ πίστει καταλογίζετα(ι) τὴν δαπ(ά)ν(ην). καὶ κε. μη' οὗ ἡ ἀρχὴ Ἐὰν ἀπαιτ(ῇ) τὰ τιμήματα τῆς πραθείσης κληρονομίας. καὶ κε. να' οὗ ἡ ἀρχὴ Ὁ κληρονόμο(ς) τοῦ μαινομένου τοὺς ἐν μέσῳ καρπούς. καὶ βι. νη' τί. ιδ' κε. γ' οὗ ἡ ἀρχὴ Ἀφ' οὗ ἐκδοθῶ(σι) τὰ νόμιμα παραγγέλματα. καὶ βι. μα' τί. α' κε. κδ' (=23) θέ. α' οὗ ἡ ἀρχὴ Ὁ τοκετὸς τῆς ληγατευθείσης δούλης. καὶ βι. μδ' τί. β' κε. μγ' (=41) θέ. α' οὗ ἡ ἀρχὴ Ἐὰν ληγατ(εύσω) τινὶ ἀγρὸν μετὰ δέκα χρό(νους). καὶ τί. β' κε. [πγ'] οὗ ἡ ἀρχὴ Οἱ ἀφήλικ(ες) ἐν τοῖς ληγάτ(οις). ἑρμηνεύει γὰρ ἐπὶ τῶν ληγάτων, ἀπὸ πότ(ε) τρέχει ὁ τόκος. καὶ τί. γ' κε. κς' οὗ ἡ ἀρχὴ Ὁ ὑπέρθε(σιν) ποιήσας. καὶ τί. κβ' κε. ε' (=5,6) οὗ ἡ ἀρχὴ Τῇ προσηγορίᾳ τῶν ὑπαρχόντων. καὶ βι. ν' τί. α' κε. μς' (=47) οὗ ἡ ἀρχὴ Ὁ καλῇ πίστει ἀγοράσας δεσπόζει τῶν καρπῶν. καὶ θέ. α'. περὶ τοίνυν διαπρά(σεως) ἐνεχύρων καὶ ὑποθηκῶν, κἂν ταῖς γυναιξὶν ὑπόκεινται, πότε δύνανται οἱ δανεισταὶ πωλεῖν ταῦτα ἢ μή, ζήτ(ει) βι. κε' τί. ζ' ὅλον. περὶ δὲ τοῦ, πότε δοκεῖ τις ὑπερτίθεσθαι ἢ μή, ζήτ(ει) βι. β' τί. γ' κε. ιδ' οὗ ἡ ἀρχὴ Ἐὰν μὴ προστεθ(ῇ) ἡμέρα ῥητή. καὶ βι. ιγ' τί. β' κε. λδ' οὗ ἡ ἀρχὴ Ὁ μὴ ἀνασχόμενος δοῦναι τὴν παραθ(ήκην), ἕως οὗ λά(βῃ) νομίσματα. καὶ βι. ζ' τί. ϛ' ὅλον. καὶ βι. θ' τί. γ' κε. πε' (=73) οὗ ἡ ἀρχὴ Ἐὰν ἐπὶ τῇ καταδίκῃ ὑπέρθητ(αι) ὁ ἐναγόμενος. καὶ βι. κγ' τί. α' κε. μ' (=42) οὗ ἡ ἀρχὴ Δανεισάμενος παρὰ σοῦ τριάκο(ντα) νομίσματα. καὶ βι. κδ' τί. α' κε. ε' οὗ ἡ ἀρχὴ Ἐὰν παράσχω σοι ἀπελθεῖν. καὶ βι. κς' τί. α' κε. ϟ' οὗ ἡ ἀρχὴ Ἐὰν ἐγγυήσηταί τις. καὶ κε. ϟα'. καὶ τί. δ' κε. ιγ' (=14) οὗ ἡ ἀρχὴ Τὸ χωρὶς αἱρέ(σεως) χρεωστούμενον. καὶ κε. λ' (=31) οὗ ἡ ἀρχὴ Ἐάν, ὅπερ ἐπηρώτ(ησα).

5 *περὶ τὴν* Ed. | 10 *κἂν ἀπαιτῇ* Ed. | 12 cap. 3 tit. 14 libri 58, qui est de interdictis, desideratur in Ed. et Suppl. fragmentis | 18 19 fragm. Ed. hoc exhibet : *καὶ περὶ τοῦ, τίνα σημαίνει... τὰ ὑπάρχοντά μοι* | 20 *δεσπόσει* Ed. ; corr. jam Heimb. in annot. | 23-24 Ed. exhibet : *ἐπὶ πασῶν τῶν ἐνοχῶν, ἐφ' ὧν ἡμέρα οὐ τίθεται* | 29 *σοι ἐπὶ τῷ ἀπελθεῖν* Ed.

1-2 *λαβεῖν ii* | 15-17 *καὶ — τόκος* in margine cum signo ad *τινὶ* lin. 15 spectante ; post *τί. β' κε.* lacuna extat in cod. | 16 *λεγάτ(οις)* | 17 *λεγάτων* | 25 *λά(βῃ) ii* | 28 *τριάκο(ντα) ii*

καὶ βι. κθ′ τί. α′ κε. νβ′ οὗ ἡ ἀρχή Ἐὰν γυνὴ τὸν κεχρεωστημένον αὐτῇ δοῦλον. καὶ βι. κη′ τί. η′ κε. θ′ οὗ ἡ ἀρχή Ἐὰν γυνὴ ὑπέρθε(σιν) ποιή(σῃ). καὶ κε. κε′ (=26) *οὗ ἡ ἀρχή Εἰ καὶ τοῦ ἀνδρὸς ὑπέρθε(σιν) ποιήσαντος. καὶ κε. νε′* (=57) *οὗ ἡ ἀρχή Ἐὰν ὁ πατὴρ θάψῃ τὴν γυναῖκα. καὶ βι. μα′ τί. ζ′ κε. ιζ′* (=15) *οὗ ἡ ἀρχή Ἡ θυγάτ(η)ρ. καὶ βι. μβ′ τί. α′ κε. ις′ οὗ ἡ ἀρχή Ὁ μέντοι ὑπὸ ἡμέραν. καὶ βι. μγ′ τί. α′ κε. κγ′ καὶ ἄχρι τοῦ ρκα′. καὶ βι. μδ′ τί. β′ κε. οθ′* (=74) *οὗ ἡ ἀρχή | Ἐὰν ὁ κληρονόμος λέ(γῃ) χώραν* **121v** *ἔχειν τὸν φαλκίδ(ιον). καὶ τί. γ′ κε. κβ′* (=22, 2) *οὗ ἡ ἀρχή Ἐὰν ὁ ληγατευθεὶς δοῦλ(ος). καὶ κε. κς′ οὗ ἡ ἀρχή Ὃς ὑπέρθε(σιν) ποιήσας. καὶ τί. δ′ κε. β′. καὶ τί. ε′ κε. ς′ οὗ ἡ ἀρχή Ἐὰν συναπτῶν δύο ἐτῶν. καὶ κε. κδ′ οὗ ἡ ἀρχή Ἐὰν ἐληγάτευσα τῇ γαμετῇ μου. καὶ τί. θ′ κε. η′ οὗ ἡ ἀρχή Ἐὰν τὸν ἐν πίθ(οις) οἶνον. καὶ τί. ιβ′ κε. α′. καὶ τί. ιδ′ κε. ι′ οὗ ἡ ἀρχή Ἐὰν ὁ εἷς τῶν κληρονόμων. καὶ τί. ιζ′ κε. γ′ θέ. α′ οὗ ἡ ἀρχή Οὕτως εἶπον· Πέτρῳ ὁ κληρονόμος μου. καὶ βι. νβ′ τί. α′ κε. κβ′ ὅλον οὗ ἡ ἀρχή Ἐὰν τις δανεισάμενος. καὶ κε. μδ′* (=44, 3) *οὗ ἡ ἀρχή Ἐὰν ἐξ ἐπερωτή(σεως). καὶ βι. νγ′ τί. θ′ κε. κθ′ οὗ ἡ ἀρχή Ἐὰν ὁ ἔμπορος ἐν τῷ τόπῳ. καὶ βι. νδ′ τί. ιγ′ κε. α′.*

ΤΙ(ΤΛΟΣ) δ′.

Περὶ ἀργυροπρατικῶν συναλλαγμάτων.

Καὶ ὅτι, εἰ ἐγγυητ(ήν) τινα λάβῃ ἢ μανδάτ(ω)ρ(α) ὁ ἀργυροπράτ(ης) ἢ ἀντιφωνητήν, εἰ μὲν μηδὲν συμφωνηθ(ῇ), χώραν ἔχει ἡ δ(ιά)τ(αξις) ἡ λέγουσα, ὥστε τοὺς πρωτοτύπ(ους) παρόντας καὶ εὐποροῦντας ἐνέχεσθαι, ἐὰν δὲ συμφωνηθ(ῇ), ὥστε χωρεῖν αὐτὸν καὶ κατὰ τοῦ ἐγγυητ(οῦ), ἔρρωτ(αι) τὸ σύμφωνον. καὶ εἴ τις παρὰ τὰ εἰρημένα ποιή(σει), προστιμᾶται δέκα λίτρ(αις). καὶ γὰρ ἔξεστιν ἑκάστῳ τῶν ἰδ(ί)ων δικαίων καταφρονεῖν. καὶ περὶ ἀργυροπράτ(ου) στρατευσαμένου καὶ [στρατεύσαντος] τοὺς αὐτοῦ παῖδας, πῶς δοκεῖ κατὰ πρόληψιν ἐξ ἀλλοτρίων ποιεῖσθαι τὰς στρατ(είας). ὅθεν ὑπόκεινται σιωπηρῶς, εἰς ἃ χρεωστοῦσι(ν), εἰ μὴ ἄρα δειχθῶσι(ν), ὅτι ἄλλοθ(εν) εἰσὶν αἱ τοιαῦται στρατ(εῖαι). καὶ τοῦτο τὸ προνόμ(ιον) ἄλλος οὐκ ἔχει. καὶ περὶ τοῦ ἐὰν ἀργυροπράτ(ης) δανείσῃ ἐπὶ ἀγορα(σίᾳ) πράγ-

1 *ἐὰν ἡ γυνὴ* Ed. | 10 Ed. fragm. ex Tipuc. : *καὶ περὶ τοῦ ἐὰν οὐσούφρουκτος ἐπὶ διετίᾳ* | 16 tituli 9 libri 53 locum in Ed. lex Rhodiorum maritima tenet

29 *στρατεῖαι*

ματ(ος), πῶς ἔχει προγενεσίαν ὑποθήκ(ης) ἐπὶ τῷ ἀγορασθέντι δεικνύων μέντοιγε, ὅτι ἐκ τῶν χρημάτων αὐτοῦ ἠγοράσθ(η). ταῦτα δὲ νόησον, εἴπερ μνήμη γένηται ὑποθήκ(ης) ἐν τῷ συναλλάγματι. εἰ δὲ ἀγράφως δέδωκ(ε) δάνειον, τυχὸν κόσμια ἢ χρήματα, ἐκδικεῖ αὐτὰ μὴ ἔχων ὑποθήκην ἐπ' αὐτοῖς, ἢ προτιμώμενος ὅλως τῶν ἐχόντων ὑποθήκ(ην). ζήτ(ει) καὶ βι. κε' τί. ε' κε. ζ' (=5) θέ. α' οὗ ἡ ἀρχὴ Ἐὰν ὑπόθωμαί σοι τὰ ἐσόμενά μοι. καὶ τί. β' κε. νδ' οὗ ἡ ἀρχὴ Ἐὰν δανεισάμενός τις ἐξ αὐτῶν ἠγόρα(σέ) τι, οὐχ ὑπόκειταί τοῦτο. καὶ κε. β' τοῦ ε' τί. οὗ ἡ ἀρχὴ Ὁ γενικὴν ὑποθ(ήκην) ἔχων. καὶ κε. λς' (=33) οὗ ἡ ἀρχὴ Ὁ πρότερο(ς) δανειστής. καὶ κε. γ' οὗ ἡ ἀρχὴ Ὁ πρῶτος δανειστὴς τὸ χρέος εἰ καινοποιήσεται. καὶ θέ. β'. καὶ κε. κα' (=19) θέ. α' οὗ ἡ ἀρχὴ Ἐδάνεισα μαρμαραρίῳ. καὶ βι. λζ' τί. θ' κε. β' οὗ ἡ ἀρχὴ Ἐὰν ἐκ τῶν χρημάτων τῶν κηδεμονευομένων ὀνόματι οἰκείῳ δανείσωσι. καὶ βι. λη' τί. γ' κε. κη' οὗ ἡ ἀρχὴ Κουράτ(ω)ρ τις καταστὰς ἀνήβῳ χρήματα εὑρὼν ἀποτεθέντα. καὶ τί. θ' κε. γ' οὗ ἡ ἀρχὴ Ἐὰν δὲ χρήμασιν ἀνήβου ἕτερος ἄνηβος ἀγρὸν ἀγορά(σῃ). ζήτ(ει) καὶ τοῦ ιθ' βι. τί. ιε' ὅλον καὶ ἀνά(γνωθι). καὶ ὅτι ἀγράφως συναλλάσσον(τ)ες οἱ ἀργυροπρᾶται δύνανται ἀπαιτεῖν ἀνεπερώτητ(ον) διμοιριαῖον τόκον. καὶ ὅτι ἐπὶ πολλῶν θεμάτων καὶ ἀνεπερώτητ(οι) τρέχουσι τόκ(οι) καὶ ἐκ συμφώνου μόνου τίκτονται. ζήτ(ει) καὶ τοῦ γ' τί. τούτ(ου) τοῦ βι. κε. λ' οὗ ἡ ἀρχὴ Καὶ ἀπὸ ψιλοῦ συμφώνου. καὶ κε. να' (=42) οὗ ἡ ἀρχὴ Οἱ ἀπὸ συμφών(ου) τόκοι. καὶ κε. νη' (=59) οὗ ἡ ἀρχὴ Καρπῶν δανειζομένων δύναται. καὶ ὅτι, ἐὰν ἐν ἀγοραίῳ ἢ ἐν ἰδιοχείρῳ ἢ ἐν ὑπογρα(φῇ) ἀργυροπρατικῶν | λογοθεσίων κατάθηταί τις χρεωστεῖν, ἐνέχεται καὶ οὗτος καὶ οἱ κληρονό- 122^r μ(οι) αὐτοῦ ταῖς προσωπικαῖς ἀγωγαῖς. ταῖς γὰρ ὑποθηκαρίαις οὐ κατέχεται, εἰ μὴ ἄρα καὶ τοῦτο ἔδοξε. καὶ ὅτι, εἰ μὲν συμφωνήσαιεν ῥητὸν τόκον, τοῦτον [δεῖ] δίδοσθαι τὸν συμπεφωνημένον. εἰ δὲ τοῦτο μόνον γέγραπται, ὡς ἐπὶ τόκῳ τὸ δάνεισμα συνέστη, μὴ δύνασθαι τοὺς συμβάλλοντας λέγειν ὥς, ἐπειδὴ οὐχ ὥρισται τόκο(ς), διὰ τοῦτο ἄτοκόν ἐστι τὸ χρέος, ἀλλὰ κατὰ πρόληψιν, ὡς τοῦ διμοιριαίου τόκου ῥητῶς ὀνομασθ(έν)τ(ος), οὕτως τὴν εἴσπραξιν γίνεσθαι. ἐπὶ δὲ τοῖς λογοθεσίοις εἰ κ ὶ μὴ μνήμη γέγονε τόκου, ἐξεῖναι τὸν τόκον αὐτοῖς τὸν διμοιραῖον ἀπαιτεῖν. καὶ ὅτι ἐάν τις ἐν ἀργυροπρατικῷ συμβολαίῳ ἢ ἐν λογοποιίᾳ τὴν αἰτίαν ἐγγράψῃ τοῦ δανείου, οὐ δύναται ἀπαιτεῖν τὸν δανείσαντα τὰς τῶν αἰτιῶν ἀποδείξεις, ἀλλὰ μόνον ὅρκον αὐτῷ ἐπάγει πρὸ συμπληρώσεως τῶν χρό(νων) τῆς ἀναργυρίας.

10 χρέος ἐκαινοποίησε Ed. | 11 μαρμαρίῳ Ed.

20 καὶ κε. ια'

DESCLEE & C.
EDITORI PONTIFICI

208 VATICANA 25572
V 455 Patzes, M.
AUTHOR Studi E Testi
Vol. 51
TITLE Libr. LX Basilicorum summari.
~~Libros XIII-XXIII ed. F. Doelger.~~

DATE DUE	BORROWER'S NAME
	STORAGE - CBPL

25572